ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΞΥ ΤΩΝ ΤΡΟΠΙΚΩΝ ΠΕΡΙΦΕΡΕΙΑΣ.

cap. 10.



Ἐκ τεθειμένης δὴ τῆς πηλικότητος τῶν ἐν τῷ κύκλῳ εὐθειῶν, πρῶτον ἂν εἴη καθάπερ εἴπομεν, δεῖξαι, πόσον ὁ λοξὸς καὶ διὰ μέσων τῶν ζωδίων κύκλος, ἐγκέκλιται πρὸς τὸν ἰσημερινὸν, τουτέστι τίνα λόγον ἔχει ὁ δι' ἀμφοτέρων τῶν ἐκκειμένων πόλων μέγιστος κύκλος, πρὸς τὴν ἀπολαμβανομένην αὐτοῦ, μεταξὺ τῶν πόλων περιφέρειαν, ἣ ἴσην ἀπέχει δηλονότι, καὶ τῶν τροπικῶν ἑκατέρου σημείων, τὸ κατὰ τὸν ἰσημερινόν. αὐτόθεν δ' ἡμῖν τὸ τοιοῦτον ὀργανικῶς καταλαμβάνεται, διὰ τοιαύτης τινὸς ἁπλῆς κατασκευῆς. ποιήσωμεν γὰρ κύκλον χάλκεον, σύμμετρον τῷ μεγέθει, τετορνευμένον ἀκριβῶς, τετράγωνον τῆς ἐπιφανείας, ᾧ χρησόμεθα μεσημβρινῷ, διελόντες αὐτὸν εἰς τὰ ὑποκείμενα τοῦ μεγίστου κύκλου τμήματα τξ. καὶ τούτων ἕκαστον εἰς ὅσα ἐγχωρεῖ μέρη. ἔπειτα ἕτερον κυκλίσκον, λεπτότερον, ὑπὸ τὸν εἰρημένον ἐναρμόσαντες, οὕτως ὥστε τὰς μὲν πλευρὰς αὐτῶν ὑπὸ μιᾶς μένειν ἐπιφανείας, πριάγεσθαι δὲ ἀκωλύτως ὑπὸ τὸν μείζονα δύνασθαι τὸν ἐλάσσονα κύκλον, ἐν τῷ αὐτῷ ἐπιπέδῳ, πρὸς ἀρκτοὺς τε καὶ μεσημβρίαν. προσθήσομεν ὑπὸ δύο τινῶν κατὰ διάμετρον τμημάτων τοῦ ἐλάσσονος κύκλου, κατὰ τῆς ἑτέρας τῶν πλευρῶν πρισμάτια μικρὰ, ἴσα νεύοντα πρὸς ἄλληλά τε, καὶ τὸ κέντρον τῶν κύκλων ἀκριβῶς παραθέντες κατὰ μέσου τοῦ πλάτους αὐτῶν, γνωμόνια λεπτὰ σωνάπτοντα τῇ τοῦ μείζονος καὶ διηρημένου κύκλου πλευρᾷ. ὃν δὴ καὶ ἐναρμόσαντες ἀσφαλῶς, ὑπὸ τῶν παρ' ἕκαστα χρειῶν, ὑπὸ συλίσκου συμμέτρου, καὶ κατασήσαντες ἐν ὑπαίτρῳ τῆς τοῦ συλίσκου βάσιν, ἐν ἀκλινεῖ πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον ἐδάφει, παραφυλάξομεν ὅπως τὸ ἐπίπεδον τῶν κύκλων, πρὸς μὲν τὸ τοῦ ὁρίζοντος ὀρθὸν ἦ, τῷ δὲ τοῦ μεσημβρινοῦ παράλληλον. τούτων δὲ τὸ μὲν πρότερον διὰ καθετίου μεθοδεύετο, κριμναμένου μὲν ἀπὸ τοῦ κατὰ κορυφὴν ἐσομένου σημείου, τηρουμένου δὲ, ἕως ἂν ἐκ τῶν ὑποτεμάτων διορθώσεως, ὑπὸ τὸ κατὰ διάμετρον ποιήσηται τὴν πρόσνευσιν. τὸ δὲ δεύτερον μεσημβρινῆς γραμμῆς εὐσήμως εἰλημμένης, ἐν τῷ ὑπὸ τὸν συλίσκον ἐπιπέδῳ, καὶ περιφερομένων εἰς τὰ πλάγια τῶν κύκλων, ἕως ἂν παράλληλον τῇ γραμμῇ τὸ ἐπίπεδον αὐτῶν διοπτεύηται. τοιαύτης δὴ τῆς θέσεως γινομένης, ἐτηροῦμεν τῆς πρὸς ἄρκτους καὶ μεσημβρίαν τοῦ ἡλίου παραχώρησιν, παραφέροντες ἐν ταῖς μεσημβρίαις, τὸν ἐντὸς κυκλίσκον, ἕως ἂν τὸ ὑποκάτω πρισμάτιον ὅλον ὑφ' ὅλου τοῦ ὑπεράνω σκιασθῇ. καὶ τούτου γινομένου διεσήμαινεν ἡμῖν, τὰ τῶν γνωμονίων ἄκρα, πόσα τμήματα τοῦ κατὰ κορυφὴν ἑκάστοτε τὸ τοῦ ἡλίου κέντρον ἀφέστηκεν, ὑπὸ τοῦ μεσημβρινοῦ. ἔτι δὲ εὐχρηστότερον ἐποιούμεθα τὴν τοιαύτην παρατήρησιν, κατασκευάσαντες αὐτὶ τῶν κύκλων, λιθίνην, ἢ ξυλίνην πλινθίδα τετράγωνον, καὶ ἀδιάστροφον, ἐν συμμέτρῳ πλάτει καὶ βάθει πρὸς τὸ βεβηκέναι κατὰ κρόταφον, ὁμαλὴν μέντοι καὶ ἀποτετραμμένην ἔχουσαν ἀκριβῶς τὴν ἑτέραν τῶν πλευρῶν, ἐφ' ἧς κέντρῳ χρησάμενοι σημείῳ τινί, πρὸς τῇ μιᾷ τῶν γωνιῶν, ἐγράψαμεν κύκλου τεταρτημόριον ἐπιζεύξαντες ἀπὸ τοῦ κατὰ τὸ κέντρον σημείου μέχρου τῆς γεγραμμένης περιφερείας, τὰς τὴν ὑπὸ τὸ τεταρτημόριον ὀρθὴν γωνίαν περιεχούσας εὐθείας. καὶ διελόντες ὁμοίως τὴν περιφέρειαν εἰς τὰς ἐννενήκοντα μοιρ. καὶ τὰ τούτων μέρη. μετὰ δὲ ταῦτα ὑπὸ μιᾶς τῶν εὐθειῶν, τῆς μελλούσης ὀρθῆς τε ἔσεσθαι, πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον καὶ πρὸς μεσημβρίαν τῆς θέσιν ἕξειν, ἐμπολήσαντες ὀρθὰ καὶ ἴσα πάντοθεν δύο κυλίνδρια μικρὰ κατὰ τὸ ὅμοιον τετορνευμένα, τὸ μὲν ἐπ' αὐτοῦ τοῦ κατὰ τὸ κέντρον σημείου, περὶ αὐτὸ τὸ μέσον, τὸ δὲ, πρὸς τῷ κάτω πέρατι τῆς εὐθείας. ἔπειτα ἱστάντες ταύτην τῆς καταγεγραμμένην τῆς πλινθίδος πλευρὰν παρὰ τὴν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, διηγμένην μεσημβρινὴν γράμμην, ὥστε καὶ αὐτὴν παράλληλον ἔχειν τὴν θέσιν, τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ, καὶ καθετίῳ διὰ τῶν κυλινδρίων ἀκλινῆ τε καὶ ὀρθὴν πρὸς τὸ ἐπίπεδον τοῦ ὁρίζοντος, τὴν δι' αὐτῶν εὐθείαν ἀκριβοῦντες, ὑπὸ θεματίων πάλιν τινῶν λεπτῶν, τὸ ἐνδέον διορθουμένων, ἐτηροῦμεν ὡσαύτως ἐν ταῖς μεσημβρίαις, τῆς ἀπὸ τοῦ πρὸς τῷ κέντρῳ κυλινδρίου γινομένην σκιὰν, παρατιθέντες τί πρὸς τῇ καταγεγραμμένῃ περιφερείᾳ, πρὸς τὸ, καταδηλότερον αὐτῆς τὸν τόπον φαίνεσθαι. καὶ ταύτης τὸ μέσον σημειούμενοι τὸ κατ' αὐτοῦ τμῆμα, τῆς τοῦ τεταρτημορίου περιφερείας ἐλαμβάνομεν, διασημαῖνον δηλονότι, τῆς κατὰ πλάτος ὑπὸ τοῦ μεσημβρινοῦ πάροδον τοῦ ἡλίου. ἐκ δὴ τῶν τοιούτων παρατηρήσεων, καὶ μάλιστα τῶν περὶ τὰς τροπὰς αὐτὰς ἡμῖν ἀνακρινομένων, ὑπὸ πλείονας περιοδοὺς τὰ ἴσα καὶ τὰ αὐτὰ τμήματα τοῦ μεσημβρινοῦ κύκλου, καὶ κατὰ τὰς θερινὰς τροπὰς, καὶ κατὰ τὰς χειμερινὰς τῆς σημειώσεως, ὡς ἐπίπαν ἀπὸ τοῦ κατὰ κορυφὴν ἀπολαμβανούσης, σημείου κατελαβόμεθα τῆς ἀπὸ

τοῦ βορειοτάτου πέρατος, ὧν τὸ νοτιώτατον περιφέρειαν, ἥ τις ἐστὶν ἡ μεταξὺ τῶν προπικῶν τμημάτων, πάντοτε γινομένην μζ. καὶ μείζονος μὲν ἢ δίμοιρου τμήματος, ἐλάσσονος δὲ ἡμίσους τετάρτου. δι' οὗ συνάγεται σχεδὸν ὁ αὐτὸς λόγος τῷ τοῦ Ἐρατοσθένους, ᾧ καὶ ὁ Ἵππαρχος συνεχρήσατο. γίνεται γὰρ τοιούτων ἡ μεταξὺ τῶν προπικῶν ια ἔγγιστα, οἵων ἐστὶν ὁ μεσημβρινὸς πγ. εὐλήπτα δὲ αὐτόθεν ἐκ τῆς προκειμένης παρατηρήσεως γίνεται, καὶ τὰ τῶν οἰκήσεων, ἐν αἷς ἂν ποιώμεθα τὰς τηρήσεις, ἐγκλίματα, λαμβανομένων τοῦ τε μεταξὺ σημείου τῶν δύο περάτων, ὃ γίνεται κατὰ τὸν ἰσημερινὸν, καὶ τῆς μεταξὺ τούτου τε καὶ τοῦ κατὰ κορυφὴν σημείου περιφερείας, ἥ ἴσην δηλονότι καὶ οἱ πόλοι τοῦ ὁρίζοντος ἀφεστήκασιν.

ΠΡΟΛΑΜΒΑΝΌΜΕΝΑ ΕἸΣ ΤΆΣ ΣΦΑΙΡΙΚΆΣ ΔΕΊΞΕΙΣ.



Ἀκολούθου δ' ὄντος, ἀποδεῖξαι καὶ τὰς κατὰ μέρος γινομένας πηλικότητας, τῶν ἀπολαμβανομένων περιφερειῶν μεταξὺ τοῦ τε ἰσημερινοῦ, καὶ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τῶν γραφομένων μεγίστων κύκλων, διὰ τῶν τοῦ ἰσημερινοῦ πόλου, προεκθησόμεθα λημμάτια βραχέα καὶ εὔχρηστα, δι' ὧν τὰς πλείστας σχεδὸν δείξεις τῶν σφαιρικῶς θεωρουμένων, ὡς ἔνι μάλιστα ἁπλούστερον καὶ μεθοδικώτερον ποιησόμεθα. εἰς δύο δὴ εὐθείας τὰς αβ καὶ αγ διαχθεῖσαι δύο εὐθεῖαι, ἥ τε βε καὶ ἡ γδ, τεμνέτωσαν ἀλλήλας κατὰ τὸ ζ σημεῖον, λέγω ὅτι ὁ τῆς γα πρὸς αε λόγος συνῆπται, ἔκ τε τοῦ τῆς γδ πρὸς ζδ, καὶ τοῦ τῆς ζβ πρὸς βε. ἤχθω γὰρ διὰ τοῦ ε τῇ γδ παράλληλος, ἡ εη. καὶ ἐπεὶ παραλληλοί εἰσιν αἱ γδ καὶ εη, ὁ τῆς γα πρὸς εα λόγος, ὅ αὐτός ἐστι τῷ τῆς γδ πρὸς εη. ἔξωθεν δὲ ἡ ζδ, ὁ ἄρα τῆς γδ πρὸς εη λόγος συγκείμενος ἔσται, ἔκ τε τοῦ τῆς γδ πρὸς δζ, καὶ τοῦ τῆς δζ πρὸς ηε. ὥστε καὶ ὁ τῆς γα πρὸς αε λόγος, σύγκειται ἔκ τε τοῦ τῆς γδ πρὸς δζ, καὶ τοῦ τῆς δζ πρὸς ηε. ἔστι δὲ καὶ ὁ τῆς δζ πρὸς ηε λόγος, ὁ αὐτὸς τοῦ ζβ πρὸς βε, διὰ τὸ παραλλήλους πάλιν εἶναι τὰς εη καὶ ζδ. ὁ ἄρα τῆς γα πρὸς αε λόγος σύγκειται ἔκ τε τοῦ τῆς γδ πρὸς δζ, καὶ τοῦ τῆς ζβ πρὸς βε, ὅπερ προέκειτο δεῖξαι. κατὰ τὰ αὐτὰ δὲ δειχθήσεται, ὅτι καὶ κατὰ διαίρεσιν, ὁ τῆς γε πρὸς εα λόγος συνῆπται, ἔκ τε τοῦ τῆς γζ πρὸς δζ, καὶ τοῦ τῆς δβ πρὸς βα, διὰ τοῦ α τῇ εβ παραλλήλου ἀχθείσης, καὶ προσεκβληθείσης ἐπ' αὐτὴν τῆς γδη. ἐπεὶ γὰρ πάλιν παράλληλος ἐστὶν ἡ αη τῇ εζ, ἔστιν ὡς ἡ γε πρὸς εα, ἡ γζ πρὸς ζη. ἀλλὰ τῆς ζδ ἔξωθεν λαμβανομένης, ὁ τῆς γζ πρὸς ζη, λόγος, σύγκειτο ἔκ τε τοῦ τῆς γζ πρὸς ζδ, καὶ τοῦ τῆς δζ, πρὸς ζη. ἔστι δὲ ὁ τῆς δζ πρὸς ζη λόγος, ὁ αὐτὸς τῷ τῆς δβ πρὸς βα, διὰ τὸ εἰς παραλλήλους τὰς αη καὶ ζβ διῆχθαι τὰς βα καὶ ζη. ὁ ἄρα τῆς γζ πρὸς ζη λόγος, συνῆπται ἔκ τε τοῦ τῆς γζ πρὸς ζδ, καὶ τοῦ τῆς δβ πρὸς βα. ἀλλὰ τῷ τῆς γζ πρὸς ζη λόγῳ, ὁ αὐτός ἐστιν, ὁ τῆς γε πρὸς εα. καὶ ὁ τῆς γε ἄρα πρὸς εα λόγος σύγκειται ἔκ τε τοῦ τῆς γζ πρὸς δζ, καὶ τοῦ τῆς δβ πρὸς βα, ὅπερ ἔδει δεῖξαι. πάλιν ἔστω κύκλος ὁ αβγ, οὗ κέντρον τὸ δ, καὶ εἰλήφθω ὧν τῆς περιφερείας αὐτοῦ τυχόντα τρία σημεῖα τὰ α β γ, ὥστε ἑκατέραν τῶν αβ. βγ περιφερειῶν, ἐλάσσονα εἶναι ἡμικυκλίου. καὶ ὧν τῶν ἑξῆς δὲ λαμβανομένων περιφερειῶν τὸ ὅμοιον ὑπακουέσθω. καὶ ἐπεζεύχθωσαν αἱ αγ, καὶ δε β, λέγω ὅτι ἔστιν ὡς ἡ ὑπὸ τὴν διπλῆν τῆς αβ περιφερείας, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς βγ, οὕτως ἡ αε εὐθεῖα, πρὸς τὴν εγ εὐθεῖαν. ἤχθωσαν γὰρ κάθετοι ἀπὸ τῶν α καὶ γ σημείων, ὧν τὴν δβ, ἥτε αζ καὶ ἡ γη. ἐπεὶ παράλληλος ἐστὶν ἡ αζ τῇ γη, καὶ διῆκται εἰς αὐτὰς εὐθεῖα ἡ αε γ, ἔστιν ὡς ἡ αζ πρὸς τὴν γη, οὕτως ἡ αε πρὸς εγ. ἀλλ' ὁ αὐτός ἐστι λόγος, ὁ τῆς αζ, πρὸς γη, καὶ τῆς ὑπὸ τὴν διπλῆν τῆς αβ περιφερείας, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς βγ. ἡμίσεια γὰρ ἑκατέρα ἑκατέρας. καὶ ὁ τῆς αε ἄρα πρὸς εγ λόγος, ὁ αὐτός ἐστι τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς αβ, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς βγ, ὅπερ ἔδει δεῖξαι. παρακολουθεῖ δ' αὐτόθεν, ὅτι καὶ δοθῶσιν ἥτε αγ ὅλη περιφέρεια, καὶ ὁ λόγος ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς αβ





πρὸς







πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς βγ, δοθήσεται καὶ ἑκατέρα τῶν αβ καὶ βγ περιφερειῶν. ἐκτεθείσης γὰρ τῆς αὐτῆς καταγραφῆς, ἐπεζεύχθω ἡ αδ, καὶ ἤχθω ἀπὸ τοῦ δ κάθετος, ὑπὸ τὴν αε γ, ἡ δζ. ὅτι μὲν οὖν τῆς αγ περιφερείας δοθείσης, ἥτε ὑπὸ αδζ γωνία, τῆς ἡμίσειαν αὐτῆς ὑποτείνουσα, δεδομένη ἔσται, καὶ ὅλον τὸ αδζ τρίγωνον δῆλον. ἐπεὶ δὲ τῆς αγ εὐθείας ὅλης δεδομένης, ὑπόκειτε καὶ ὁ τῆς αε πρὸς εγ λόγος, ὁ αὐτὸς ὢν, τοῦ τῆς ὑπὸ τῆς διπλῆς τῆς αβ, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς βγ, ἥτε αε ἔσται δοθεῖσα, καὶ λοιπὴ ἡ ζε. καὶ διατοῦτο καὶ τῆς δζ δεδομένης, δοθήσεται καὶ ἥτε ὑπὸ εδζ γωνία, τοῦ εδζ ὀρθογωνίου, καὶ ὅλη ἡ ὑπὸ αδβ. ὥστε καὶ ἥτε αβ περιφέρεια δοθήσεται, καὶ λοιπὴ ἡ βγ, ὅπερ ἔδει δεῖξαι. πάλιν ἔστω κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ, καὶ ὧν τῆς περιφερείας αὐτοῦ εἰλήφθω τρία σημεῖα τὰ α β γ, ὥστε ἑκατέραν τῶν αβ αγ περιφερειῶν, ἐλάσσονα εἶναι ἡμικυκλίου. καὶ ὧν τῶν ἑξῆς δὲ λαμβανομένων περιφερειῶν τὸ ὅμοιον ὑπακουέσθω. καὶ ἐπιζευχθεῖσα ἥτε δα καὶ ἡ γβ, ἐκβεβλήσθωσαν, καὶ συμπιπτέτωσαν κατὰ τὸ ε σημεῖον, λέγω ὅτι ἔστιν ὡς ἡ ὑπὸ τῆς διπλῆς τῆς γα περιφερείας, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς αβ, οὕτως ἡ γε εὐθεῖα, πρὸς τῆς βε. ὁμοίως γὰρ τοῦ προτέρω λημματίω, ἐὰν ἀπὸ τῶν β καὶ γ ἀγάγωμεν καθέτους, ὧν τὴν δα, τήν τε βζ καὶ τὴν γη, ἔσται διὰ τὸ παραλλήλους αὐτὰς, εἶναι ὡς ἡ γη πρὸς τὴν βζ, οὕτως ἡ γε πρὸς τῆς εβ. ὥστε καὶ ὡς ἡ ὑπὸ τῆς διπλῆς τῆς γα, πρὸς τῆς ὑπὸ τῆς διπλῆς τῆς αβ, οὕτως ἡ γε πρὸς τὴν εβ, ὅπερ ἔδει δεῖξαι. καὶ ἐνταῦθα δὲ αὐτόθεν παρακολουθεῖ, διότι κἂν ἡ γβ περιφέρεια μόνη δοθῇ, καὶ ὁ λόγος τῆς ὑπὸ τῆς διπλῆς τῆς γα, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς αβ δοθῇ, καὶ ἡ αβ περιφέρεια. δοθήσετε πάλιν γὰρ ὑπὸ τῆς ὁμοίας καταγραφῆς ἐπιζευχθείσης τῆς δβ, καὶ καθέτου ἀχθείσης, ὧν τῆς βγ τῆς δζ, ἡ μὲν ὑπὸ βδζ γωνία, τὴν ἡμίσειαν ὑποτείνουσα τῆς βγ περιφερείας, ἔσται δεδομένη, καὶ ὅλον ἄρα τὸ βδζ ὀρθογώνιον. ἐπεὶ δὲ, καὶ ὅτε τῆς γε πρὸς τὴν εβ λόγος δέδοται, καὶ ἔτι ἡ γβ εὐθεῖα δοθήσεται, καὶ ἥτε εβ, καὶ ἔτι ὅλη ἡ εβζ. ὥστε καὶ ἐπεὶ ἡ δζ δέδοται, δοθήσεται καὶ ἥτε ὑπὸ εδζ γωνία τοῦ αὐτοῦ ὀρθογωνίου, καὶ λοιπὴ ἡ ὑπὸ εδβ. ὥστε καὶ ἡ αβ περιφέρεια ἔσται δεδομένη. τούτων παραληφθέντων, γεγράφθωσαν ὧν σφαιρικῆς ἐπιφανείας, μεγίστων κύκλων περιφέρειαι, ὥστε εἰς δύο τὰς αβ καὶ αγ δύο γραφείσας τὰς βε καὶ γδ, τέμνειν ἀλλήλας κατὰ τὸ ζ σημεῖον. ἔστω δὲ ἑκάστη αὐτῶν ἐλάσσων ἡμικυκλίου. τὸ δὲ αὐτὸ καὶ ὧν πασῶν τῶν καταγραφῶν ὑπακουέσθω. λέγω δὴ ὅτι ὁ τῆς ὑπὸ τὴν διπλῆς τῆς γε περιφερείας, πρὸς τὴν ὑπὸ τῆς διπλῆς ξ τῆς εα περιφερείας, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆς τῆς γζ, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς ζδ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆς τῆς δβ, πρὸς τῆς ὑπὸ τὴν διπλῆς



τῆς βα. εἰλήφθω γὰρ ἡ κέντρον τῆς σφαίρας, καὶ ἔστω ἡ η, καὶ ἤχθωσαν ἀπὸ τοῦ η ἐπὶ τὰς βζε τομὰς τῶν κύκλων, ἥτε ηβ καὶ ἡ ηε, καὶ ἡ ηε. καὶ ἐπιζευχθεῖσα ἡ αδ, ἐκβεβλήσθω καὶ συμπιπτέτω τῇ ηβ, ἐκβληθείσῃ καὶ αὐτῇ, κατὰ τὸ θ σημεῖον. ὁμοίως δὴ ἐπιζευχθείσαι αἱ δγ καὶ αγ, τεμνέτωσαν τὰς ηζ καὶ ηε, κατὰ τὸ κ, καὶ λ σημεῖον. ὐδὲ μιᾶς δὴ γίνεται εὐθείας τὰ θ κ λ σημεῖα. διὰ τὸ ἐν δυσὶν ἅμα εἶναι ἐπιπέδοις, τῷ τε τοῦ αγδ τριγώνου, καὶ τῷ τοῦ βζε κύκλου, ἥτις ἐπιζευχθεῖσα ποιεῖ εἰς δύο εὐθείας τὰς θα καὶ γα δηγμένας, τὰς θλ καὶ γδ τεμνούσας ἀλλήλας, κατὰ τὸ κ σημεῖον. ὁ ἄρα τῆς γλ πρὸς λα λόγος, συνῆπται ἔκ τε τοῦ τῆς γκ πρὸς κδ, καὶ τοῦ τῆς δθ πρὸς θα. ἀλλ' ὡς μὲν ἡ γλ πρὸς λα, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς γε, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς εα περιφερείας. ὥστε ἡ γκ πρὸς κδ, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς γζ περιφερείας, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ζδ. ὡς δὲ ἡ θδ πρὸς θα, οὕτως ἡ ὑπὸ τὴν διπλῆν τῆς δβ περιφερείας, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς βα. καὶ ὁ λόγος ἄρα ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς γε, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς εα, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς γζ, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ζδ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς δβ, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς βα. κατὰ τὰ αὐτὰ δὴ καὶ ὥσπερ ὐδὲ τῆς ἐπιπέδου καταγραφῆς τῶν εὐθειῶν δείκνυται, ὅτι καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς γα, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς εα λόγος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς γδ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς δζ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζβ,



πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς βε, ἅπερ προέκειτο δεῖξαι.

ΠΕΡΙ ΤΩΝ ΜΕΤΑΞΥ ΤΟΥ ΙΣΗΜΕΡΙΝΟΥ ΚΑΙ ΤΟΥ ΛΟΞΟΥ ΚΥΚΛΟΥ ΠΕΡΙΦΕΡΕΙΩΝ.



ΤΟΥτου δὴ τοῦ θεωρήματος προεκτεθειμένου, ποιησόμεθα πρώτην τὴν τῶν προκειμένων περιφερειῶν ἀπόδειξιν οὕτως. ἔστω γὰρ ὁ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ, καὶ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλος, ὁ αβγδ, καὶ τὸ μὲν τοῦ ἰσημερινοῦ ἡμικύκλιον τὸ αεγ, τὸ δὲ τοῦ διὰ μέσων τῶν ζωδίων, τὸ βεδ, τὸ δὲ ε σημεῖον, ἡ κατὰ τὴν ἐαρινὴν ἰσημερίαν αὐτῶν τομή, ὥστε τὸ μβ χειμερινὸν τροπικὸν εἶναι, τὸ δὲ δ θερινόν. εἰλήφθω δὲ ὐδὲ τῆς αβγ περιφερείας, ὁ πόλος, τοῦ αεγ ἰσημερινοῦ, καὶ ἔστω τὸ ζ σημεῖον. καὶ ἀπειλήφθω ἡ εη περιφέρεια τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τμημάτων ὑποκειμένη λ, οἵων ἐστὶν ὁ μέγιστος κύκλος τξ, διὰ δὲ τῶν ζη γεγράφθω μεγίστου κύκλου περιφέρεια ἡ ζηθ, καὶ προκείσθω τὴν ηθ δηλονότι εὑρεῖν. προειλήφθω δὴ καὶ ἐν ταῦθα καὶ καθόλου ὐδὲ πασῶν τῶν ὁμοίων δείξεων, ἵνα μὴ καθ' ἑκάστην ταυτολογῶμεν, ὅτι ὅταν τὰς πηλικότητας λέγωμεν περιφερειῶν, ἢ εὐθειῶν, ὅσων εἰσὶ μοιρῶν ἢ τμημάτων, ὐδὲ μὲν τῶν περιφερειῶν, τοιούτων φαμὲν οἵων ἡ τοῦ μεγίστου κύκλου περιφέρεια τμημάτων τξ, ὐδὲ δὲ τῶν εὐθειῶν, τοιούτων, οἵων ἡ τοῦ κύκλου διάμετρος ρκ. ἐπεὶ τοίνυν ἐν καταγραφῇ μεγίστων κύκλων

εἰς

εἰς δύο, τὰς αζ ☾ αε περιφερείας, γεγραμμένας εἰσὶ δύο, ἥτε ζθ ☾ ἡ εβ, τεμνέσαι ἀλλήλας κατὰ τὸ η, ὁ ἄρα τοῦ ὑπὸ τῶν διπλῶν ἄρα ζα λόγος, πρὸς τὸν τοῦ διπλοῦ τοῦ αβ, σωπᾶται ἐκτε τοῦ ἄρα τοῦ διπλοῦ ἄρα βζ, πρὸς τὸν τοῦ διπλοῦ ἄρα θη, καὶ τοῦ ἄρα τοῦ διπλοῦ ἄρα κε, πρὸς τὸν τοῦ διπλοῦ ἄρα εβ. ἀλλ' ἡ μὲν ἄρα ζα περιφερείας διπλῆ, μοιρῶν ἐστιν ρπ, ☾ ἡ ὑπὸ αὐτὴν δυθεῖα τμημάτων ρκ, ἡ δὲ τοῦ αβ διπλῆ, καὶ τὸ συμπεφωνημένον ἡμῖν τῶν πγ πρὸς τὰ ια λόγου, μοιρῶν μζ μβ μ, ἡσὶ δὲ ὑπὸ αὐτὴν δυθεῖα τμημάτων μη λά νε. καὶ πάλιν ἡ μὲν ἄρα κε περιφερείας διπλῆ, μοιρῶν ξ, καὶ ἡ ὑπὸ αὐτὴν δυθεῖα τμημάτων ξ, ἡ δὲ ἄρα εβ διπλῆ μοιρῶν ρπ, καὶ ἡ ὑπὸ αὐτὴν δυθεῖα τμημάτων ρκ. ἐὰν ἄρα ἀπὸ τοῦ τῶν ρκ πρὸς τὰ μη λά νε λόγου, ἀφέλωμεν τὸν τῶν ξ πρὸς τὰ ρκ, καταλείπεται ὁ λόγος ἄρα τοῦ διπλοῦ ἄρα ζθ πρὸς τὸν τοῦ διπλοῦ ἄρα θη, ὁ τῶν ρκ πρὸς τὰ κδ ιε νζ. ☾ ἐστιν ἡ μὲ διπλῆ ἄρα ζθ περιφερείας μοιρῶν ρπ, ἡ δὲ ὑπὸ αὐτὴν δυθεῖα τμημάτων ρκ, καὶ ἡ ὑπὸ τὸν διπλοῦ ἄρα τῆς θη, τῶν αὐτῶν ἐστιν κδ ιε νζ. ὥστε ☾ ἡ μὲν διπλῆ ἄρα θη περιφερείας, μοιρῶν ἐστιν κγ ιθ νθ, αὕτη δὲ ἡ θη τῶν αὐτῶν ια μ ἐγγισα. πάλιν ὑποκείσθω ἡ εη περιφέρεια, μοιρῶν ξ, ὥστε τῶν ἄλλων μενόντων τῶν αὐτῶν, τὸν μὲν διπλοῦ ἄρα εη γίνεσθαι μοιρῶν ρκ, τὸν δὲ ὑπὸ αὐτὸν δυθεῖαν τμημάτων ργ νε κγ. ἐὰν ἄρα πάλιν ἀπὸ τοῦ τῶν ρκ πρὸς τὰ μη λά νε λόγου, ἀφέλωμεν τὸν τῶν ργ νε κγ, πρὸς τὰ ρκ, καταλειφθήσεται ὁ λόγος ὁ τοῦ ὑπὸ τὸν διπλοῦ ἄρα ζθ πρὸς τοῦ ὑπὸ τοῦ διπλοῦ ἄρα θη, ὁ τῶν ρκ, πρὸς τὰ μβ α μη. καὶ ἔστιν ἡ ὑπὸ τοῦ διπλοῦ ἄρα ζθ, τμημάτων ρκ, ὥστε καὶ ἡ ὑπὸ τὸν διπλοῦ τοῦ θη, τῶν αὐτῶν ἔσαι μβ α μη. καὶ ἡ μὲν διπλῆ ἄρα ζθ θη περιφερείας μοιρῶν ἐστι μα ὁ ιη, ἡ δὲ θη τῶν αὐτῶν κ α θ, ἅπερ ἔδει δεῖξαι. τὸν αὐτὸν δὲ τρόπον, ☾ ὧν τῶν ηζ μέρος περιφερειῶν, ἐπιλογιζόμενοι τὰς πλινότητας, ἐνθησόμεθα κανόνιον τοῦ τεταρτημορίου μοιρῶν ϛνενήκοντα, παρακμλίας ἔχον τὰς πλινότητας τῶν ὁμοίων ταῖς ἀποδεδειγμέναις περιφερείαις, καὶ ἔστι τὸ κανόνιον τοιοῦτον.





περιφέρειαι			
τῶν διὰ μέσων	μεσημβρινῶν		
α	ō	κδ	ις
β	ō	μγ	λα
γ	α	ιβ	μς
δ	α	λζ	ō
ε	β	λ	ιβ
ς	β	κε	κβ
ζ	β	μθ	λ
η	γ	ιγ	λε
θ	γ	λζ	λζ
ι	δ	α	λη
ια	δ	κε	λβ
ιβ	δ	μθ	κδ
ιγ	ε	ιγ	ια
ιδ	ε	λς	νγ
ιε	ς	ō	λα
ις	ς	κδ	α
ιζ	ς	μζ	κς
ιη	ζ	ι	με
ιθ	ζ	λγ	νζ
κ	ζ	νζ	γ
κα	η	κ	ō
κβ	η	μβ	ν
κγ	θ	ε	λβ
κδ	θ	κη	ε
κε	θ	ν	κθ
κς	ι	ιβ	μς
κζ	ι	λδ	νζ
κη	ι	νς	μδ
κθ	ια	ιη	κε
λ	ια	λθ	νθ
λα	ιβ	α	κ
λβ	ιβ	κβ	λ
λγ	ιβ	μγ	κη
λδ	ιγ	δ	ιδ
λε	ιγ	κδ	μζ
λς	ιγ	με	ς
λζ	ιδ	ε	ια
λη	ιδ	κε	β
λθ	ιδ	μδ	λθ
μ	ιε	δ	δ
μα	ιε	κγ	ι
μβ	ιε	μβ	β
μγ	ις	ō	λη
μδ	ις	ιη	νη
με	ις	λζ	κ

περιφέρειαι			
τῶν διὰ μέσων	μεσημβρινῶν		
μς	ις	νδ	μζ
μζ	ιζ	ιβ	ις
μη	ιζ	κθ	κζ
μθ	ιζ	μς	κ
ν	ιη	β	νγ
να	ιη	ιθ	ιε
νβ	ιη	λε	ε
νγ	ιη	ν	μα
νδ	ιθ	ε	μζ
νε	ιθ	κ	νς
νς	ιθ	λε	κη
νζ	ιθ	μθ	μβ
νη	κ	γ	λα
νθ	κ	ιζ	δ
ξ	κ	λ	θ
ξα	κ	μβ	νη
ξβ	κ	νε	κδ
ξγ	κα	ζ	κα
ξδ	κα	ιη	νη
ξε	κα	λ	ια
ξς	κα	μα	ō
ξζ	κα	να	κε
ξη	κβ	α	κε
ξθ	κβ	ια	ια
ο	κβ	κ	ια
οα	κβ	κη	νζ
οβ	κβ	λζ	ιζ
ογ	κβ	με	ια
οδ	κβ	μβ	λθ
οε	κβ	νθ	μα
ος	κγ	ς	ιζ
οζ	κγ	ιβ	κζ
οη	κγ	ιη	ια
οθ	κγ	κγ	κη
π	κγ	κη	ις
πα	κγ	λβ	λ
πβ	κγ	λς	λε
πγ	κγ	μ	β
πδ	κγ	μγ	β
πε	κγ	με	λδ
πς	κγ	μζ	ιθ
πζ	κγ	μθ	ις
πη	κγ	ν	κε
πθ	κγ	να	ς
ρ	κγ	να	κ

ΠΕΡΙ ΤΩΝ ΕΠ' ΟΡΘΗΣ ΤΗΣ ΣΦΑΙΡΑΣ ΑΝΑΦΟΡΩΝ.

Ἐξῆς δ' ἂν εἴη συναποδεῖξαι, τῶν τοῦ ἰσημερινοῦ κύκλου περιφερειῶν, τὰς γινομένας πηλικότητας, ὑπὸ τῶν γραφομένων κύκλων, διά τε τῶν πόλων αὐτοῦ, καὶ τῶν διδομένων τοῦ λοξοῦ κύκλου τμημάτων. οὕτω γὰρ ἕξομεν ὁπόσοις χρόνοις ἰσημερινοῖς, τὰ τοῦ διὰ μέσων τῶν ζωδίων τμήματα, διελεύσεται τόν τε μεσημβρινὸν πανταχῆ, καὶ τὸν ἐπ' ὀρθῆς τοῦ σφαίρας ὁρίζοντα, διὰ τὸ καὶ αὐτὸν τότε μόνον διὰ τῶν πόλων γράφεσθαι τοῦ ἰσημερινοῦ. ἐκκείσθω τοίνυν ἡ προδεδειγμένη καταγραφὴ, καὶ διοθείσης πάλιν τοῦ εη περιφερείας τοῦ λοξοῦ κύκλου, πρότερον τμημάτων λ, δεον ἔσω τὴν εθ τοῦ ἰσημερινοῦ περιφέρειαν εὑρεῖν. κατὰ ταυτὰ δὴ τοῖς ἔμπροσθεν, ὁ τοῦ ὑπὸ τὴν διπλῆν τοῦ ζβ, πρὸς τὴν ὑπὸ τοῦ διπλῆν τοῦ βα λόγος, συνῆπται ἔκτε τοῦ τοῦ ὑπὸ τὴν διπλῆν τοῦ ζη, πρὸς τὴν ὑπὸ τοῦ διπλῆν τοῦ νθ, καὶ τοῦ τοῦ ὑπὸ τὴν διπλῆν τοῦ θε, πρὸς τὴν ὑπὸ τοῦ διπλῆν τῆς εα. ἀλλ' ἡ μὲν τοῦ ζβ περιφερείας διπλῆ, μοιρῶν ἐστιν ρλβ ιζ κ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων κείμενον ρθ μ δ νγ, ἡ δὲ τοῦ αβ περιφερείας διπλῆ μοιρῶν μζ μβ μ, ἡ δ' ὑπ' αὐτὴν εὐθεῖα τμημάτων μη λα νε. καὶ πάλιν ἡ μὲν τοῦ ζη περιφερείας διπλῆ μοιρῶν ρνς μα, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων ρι ζ λα ιε, ἡ δὲ τοῦ νθ μοιρῶν κγ ιθ νθ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων κδ ιε νζ. ἐὰν ἄρα ἀπὸ τοῦ τῶν ρθ μδ νγ, πρὸς τὰ μη λα νε λόγου, ἀφέλωμεν τὸν τῶν ρι ζ λα ιε, πρὸς τὰ κδ ιε νζ, καταλειφθήσεται ἡμῖν ὁ τοῦ ὑπὸ τὴν διπλῆν τοῦ θε, πρὸς τὴν ὑπὸ τοῦ διπλῆν τοῦ εα λόγος, ὁ τῶν νδ νβ κς, πρὸς τὰ ρι ζ λα ιε. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ τῶν νς α κε πρὸς τὰ ρκ. καὶ ἔστιν ἡ μὲν διπλῆ εα μοιρῶν ρπ, ἡ δ' ὑπ' αὐτὴν εὐθεῖα τμημάτων ρκ, καὶ ἡ ὑπὸ τὴν διπλῆν ἄρα τοῦ θε, τμημάτων τῶν αὐτῶν ἐστὶν νς α κε. ὥστε καὶ ἡ μὲν διπλῆ τοῦ θε περιφερείας, ἔσται μοιρῶν νε μ ἔγγιστα, ἡ δὲ θε, τῶν αὐτῶν κζ ν. πάλιν ὑποκείσθω ἡ εη περιφέρεια μοιρῶν ξ, ὥστε τῶν ἄλλων μενόντων τῶν αὐτῶν, τὴν μὲν διπλῆν τοῦ ζη περιφερείας, γίνεσθαι μοιρ. ρλη νθ μβ, καὶ τοῦ ὑπ' αὐτὴν εὐθεῖαν τμημάτων ρι β κγ νς, τοῦ δὲ διπλῆν τοῦ νθ περιφερείας, μοιρῶν μα ο ιη, καὶ τὴν ὑπ' αὐτὴν εὐθεῖαν, τμημάτων μβ α μη. ἐὰν ἄρα ἀπὸ τοῦ τῶν ρθ μδ νγ ἀφέλωμεν τὸν τῶν ρι β κγ νς, πρὸς τὰ μβ α μη, καταλειφθήσεται ὁ τοῦ ὑπὸ τὴν διπλῆν τοῦ θε λόγος, πρὸς τοῦ ὑπὸ τὴν διπλῆν τοῦ εα, ὁ τῶν ηε β μ, πρὸς τὰ ριβ κγ νς. ὁ δ' αὐτὸς τούτῳ λόγος ἐστὶ, καὶ ὁ τῶν ρα κη κ, πρὸς τὰ ρκ, καὶ ἔστιν ἡ ὑπὸ τοῦ διπλῆν τοῦ εα περιφερείας εὐθεῖα τμημάτων ρκ. ὥστε καὶ ἡ ὑπὸ τοῦ διπλῆν τοῦ θε εὐθείας ἔσται μοιρῶν τῶν αὐτῶν ρα κη κ, ἡ δὲ διπλῆ τοῦ θε περιφερείας ἔσται μοιρῶν ρι ε κη ἔγγιστα, αὐτὴ δὲ ἡ θε, τῶν αὐτῶν νζ μδ. καὶ δέδεικται ὅτι τὸ μὲν πρῶτον, ἀπὸ τοῦ ἰσημερινοῦ σημείου διωδεκατημόριον τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, συγχρονεῖ τοῖς τοῦ ἰσημερινοῦ κατὰ τὸν ἐκκείμενον τρόπον τμήμασιν κζ ν, τὸ δὲ δεύτερον, τμήμασιν κθ νδ, ἔπει δήπερ ἀμφότερα ἀπεδείχθη μοιρῶν νζ μδ. καὶ τὸ τρίτον δὲ δηλονότι διωδεκατημόριον, συγχρονήσει ταῖς λοιπαῖς, εἰς τὸ τεταρτημόριον μοιρῶν λβ ις, διὰ τὸ καὶ ὅλον τὸ τοῦ λοξοῦ κύκλου τεταρτημόριον, ὅλῳ τοῦ τοῦ ἰσημερινοῦ συγχρονιζόν, ὡς πρὸς τοὺς διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ γραφομένους κύκλους. τὸν αὐτὸν δὴ τρόπον τῇ προκειμένῃ δείξει κατακολουθοῦντες, ἐπελογισάμεθα καὶ τὰς ἑκάστη δεκαμοιρία τοῦ λοξοῦ κύκλου συγχρονούσας περιφερείας, τοῦ ἰσημερινοῦ. διὰ τὸ τὰς ἔτι τούτων μικρομερεστέρας, μηδενὶ ἀξιολόγῳ διαφέρειν, τῶν πρὸς ὁμαλὴν παραύξησιν ὑπεροχῶν. ἐκθησόμεθα οὖν καὶ ταύτας ἵνα κατὰ τὸ πρόχειρον ἔχωμεν, ἐν ὅσοις χρόνοις αὐτῶν ἑκάστη, τόν τε μεσημβρινὸν ὡς ἔφαμεν πανταχῆ, καὶ τὸν ἐπ' ὀρθῆς τοῦ σφαίρας ὁρίζοντα διελεύσεται, τὴν ἀρχὴν ἀπὸ τοῦ πρὸς τῷ ἰσημερινῷ σημείῳ δεκαμοιρίας ποιησάμενοι. ἡ μὲν οὖν πρώτη περιέχει χρόνους θ ι, ἡ δὲ δευτέρα, χρόνους θ ιε, ἡ δὲ τρίτη χρόνους, θ κε. ὥστε τοὺς ὑπὸ τὸ αὐτὸ τοῦ πρώτου διωδεκατημορίου συνάγεσθαι χρόνους κζ ν. ἡ δὲ τετάρτη χρόνους θ μ, ἡ δὲ πέμπτη, χρόνους θ νη, ἡ δὲ ἕκτη, χρόνους ι ις, ὥστε καὶ τοῦ δευτέρου διωδεκατημορίου τοὺς κθ νδ χρόνους συνάγεσθαι. ἡ δὲ ἑβδόμη χρόνους ι λδ.



ἡ δὲ ὀγδόη, χρόνους ῑ μζ, ἡ δὲ ἐνάτη, χρόνους ῑ νε. ὥστε πάλιν συνάγεσθαι καὶ τοῦ μὲν τρίτου καὶ πρὸς τοῖς τροπικοῖς σημείοις δωδεκατημορίου, ὧν λβ ις χρόνους, ὅλου δὲ τοῦ τεταρτημορίου ὧν ἐννενήκοντα συμφώνως. καὶ ἔστιν αὐτόθεν φανερὸν, ὅτι καὶ ἡ τῶν λοιπῶν τεταρτημορίων τάξις, ἡ αὐτὴ τυγχάνει οὖσα, πάντων καθ' ἕκαστον τῶν αὐτῶν συμβαινόντων, διὰ τὸ τὴν σφαῖραν ὀρθὴν ὑποκεῖσθαι, τουτέστι τὸν ἰσημερινὸν, ἀνέγκλιτον πρὸς τὸν ὁρίζοντα.

Κλαυδίου Πτολεμαίου, μαθηματικῶν τοῦ ᾱ τέλος.

ΤΆΔΕ ἘΝΕΣΤΙΝ ἘΝ ΤΩ̂ ΔΕΥΤΈΡΩ ΤΗ̂Σ ΠΤΟΛΕΜΑΊΟΥ ΜΑΘΗΜΑΤΙΚΗ̂Σ ΣΥΝΤΆΞΕΩΣ.

Περὶ τῆς καθόλου θέσεως τῆς καθ' ἡμᾶς οἰκουμένης.

Πῶς δοθέντος τοῦ τῆς μεγίστης ἡμέρας μεγέθους, αἱ ἀπολαμβανομέναι τοῦ ὁρίζοντος περιφέρειαι ὑπό τε τοῦ ἰσημερινοῦ καὶ τοῦ λοξοῦ κύκλου δίδονται.

Πῶς τῶν αὐτῶν ὑποκειμένων, τὸ ἔξαρμα τοῦ πόλου δίδοται, καὶ τὸ ἀνάπαλιν.

Πῶς ἐπιλογιστέον, τί σι, καὶ πότε, καὶ ποσάκις, ὁ ἥλιος γίνετρ κατὰ κορυφήν.

Πῶς ἀπὸ τῶν ἐκκειμένων οἱ λόγοι τῶν γνωμόνων, πρὸς τὰς ἰσημερινὰς καὶ τροπικὰς ἐν ταῖς μεσημβρίαις σκιὰς, λαμβάνονται.

Ἔκθεσις τῶν κατὰ παράλληλον ἰδιωμάτων.

Περὶ τῶν ὑπὸ τῆς ἐγκεκλιμένης σφαίρας τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τοῦ, καὶ ἰσημερινοῦ συναναφορῶν.

Ἔκθεσις κανονιῶν, τῶν κατὰ δεκαμοιρίαν παράλληλον ἀναφορῶν.

Περὶ τῶν κατὰ μέρος ταῖς ἀναφοραῖς παρακολουθούντων.

Περὶ τῶν ὑπὸ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, καὶ τοῦ μεσημβρινοῦ γινομένων γωνιῶν.

Περὶ τῶν ὑπὸ τοῦ αὐτοῦ λοξοῦ κύκλου, καὶ τοῦ ὁρίζοντος, γινομένων γωνιῶν.

Περὶ τῶν πρὸς τὸν αὐτὸν κύκλον, τοῦ διὰ τῶν πόλων τοῦ ὁρίζοντος γινομένων γωνιῶν, καὶ τῶν περιφερειῶν.

Ἔκθεσις τῶν κατὰ παράλληλον τῶν προκειμένων γωνιῶν, καὶ περιφερειῶν.

ΚΛΑΥΔΙΟΥ ΠΤΟ=
ΛΕΜΑΊΟΥ ΜΑΘΗΜΑΤΙΚΗ̂Σ ΣΥΝΤΆΞΕΩΣ
ΒΙΒΛΊΟΝ ΔΕΎΤΕΡΟΝ.



Ιεξελθόντες γὰρ τοῦ πρώτῳ τῆς συντάξεως, τά τε περὶ τῆς τῶν ὅλων σχέσεως, καὶ τὸ κεφαλαιῶδες ὀφείλοντα προληφθῆναι, καὶ ὅσα ἄν τις τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας χρήσιμα πρὸς τὴν τῶν ὑποκειμένων θεωρίαν ἡγήσαιτο, πειρασόμεθα καὶ τὸ ἑξῆς καὶ τῶν περὶ τῆς ἐγκεκλιμένην σφαίραν συμβαινόντων, τὰ κυριώτερα πάλιν, ὡς γνῶμα μάλιστα, καὶ τὸν εὐμεταχείριστον τρόπον ἐφοδεῦσαι. καὶ γὰρ ταῦθα δὴ τὸ μὲν ὁλοσχερῶς ὀφεῖλον προληφθῆναι τοῦτό ἐστιν, ὅτι τῆς γῆς εἰς τέσσαρα διηρημένης τεταρτημόρια, τὰ γινόμενα ὑπό τε τοῦ καὶ τὸν ἰσημερινὸν κύκλον, καὶ ἑνὸς τῶν διὰ τῶν πόλων αὐτοῦ γραφομένων, τὸ τῆς καθ' ἡμᾶς οἰκουμένης μέγεθος ὑπὸ τοῦ ἑτέρου τῶν βορείων ἔγγιστα ἐμπριέχετο. τοῦτο δ' ἂν μάλιστα γένοιτο φανερόν, ὐδὲ μὲν τοῦ πλάτους τουτέστι τῆς ἀπὸ μεσημβρίας πρὸς τὰς ἄρκτους παρόδου, διὰ τὸ πανταχῆ τὰς γὰρ ταῖς ἰσημερίαις τῶν γνωμόνων γιγνομένας μεσημβρινὰς σκιὰς, πρὸς ἄρκτους ἀεὶ ποιεῖσθαι τὰς προσνεύσεις, καὶ μηδέποτε πρὸς μεσημβρίαν, ὐδὲ δὲ τοῦ μήκους τουτέστι τῆς ἀπὸ ἀνατολῶν πρὸς δυσμὰς παρόδου, διὰ τοῦ τὰς αὐτὰς ἐκλείψεις μάλιστα δὴ τὰς σεληνιακὰς, παρά τε τοῖς ἐπ' ἄκρων τῶν ἀνατολικῶν μερῶν τῆς καθ' ἡμᾶς οἰκουμένης οἰκοῦσι, καὶ παρὰ τοῖς ἐπ' ἄκρων τῶν δυτικῶν καὶ τὸν αὐτὸν χρόνον θεωρουμένας, μὴ πλέον δώδεκα προτερεῖν ἢ ὑστερεῖν ὁρῶν ἰσημερινῶν, αὐτοῦ καὶ μῆκος τοῦ τεταρτημορίου τῆς γῆς δωδεκάωρον διάστημα περιέχοντος. ἐπειδήπερ ὑφ' ἑνὸς τῶν τοῦ ἰσημερινοῦ ἡμικυκλίου ἀφορίζετο. τῶν δὲ καὶ μέρος ὀφειλόντων θεωρηθῆναι, μάλιστα ἄν τις ἡγήσαιτο πρὸς τὴν προκειμένην πραγματείαν ἁρμόζειν, τὰ καθ' ἕκαστον τῶν βορειωτέρων τοῦ ἰσημερινοῦ κύκλου παραλλήλων αὐτῷ, καὶ ταῖς ὑποκειμέναις οἰκήσεσι, καὶ τὰ κυριώτερα τῶν ἰδιωμάτων συμπίπτοντα. ταῦτα δ' ἐστὶν ὅσον τὲ οἱ πόλοι τῆς πρώτης φορᾶς τοῦ ὁρίζοντος ἀφεστήκασιν, ἢ ὅσον τὸ καὶ κορυφὴν σημεῖον τοῦ ἰσημερινοῦ καὶ τὸν μεσημβρινὸν κύκλον ἀφεστήκε. καὶ οἷς ὁ ἥλιος καὶ κορυφὴν γίνεται, τό τε καὶ ποσάκις τὸ τοιοῦτο συμβαίνει, καὶ τίνες οἱ λόγοι τῶν ἰσημερινῶν καὶ τροπικῶν γὰρ ταῖς μεσημβρίαις σκιῶν, πρὸς τοὺς γνώμονας, καὶ πηλίκαι τῶν μεγίστων ἢ ἐλαχίστων ἡ μερῶν παρὰ τὰς ἰσημερινὰς αἱ ὑπεροχαὶ, καὶ ὅσα ἄλλα περὶ τὰς καὶ μέρος αὐξομειώσεις τῶν νυχθημέρων. ἔτι τὲ περί τε τὰς συναναπολὰς, καὶ συγκαταδύσεις τοῦ τε ἰσημερινοῦ καὶ τοῦ λοξοῦ κύκλου, καὶ περὶ τὰ ἰδιώματα, καὶ τὰ μεγέθη τῶν γινομένων γωνιῶν, ὑπὸ τῶν κυριωτέρων καὶ μεγίστων κύκλων ἐπισυμβαίνοντα θεωρεῖται.

ΠΩ̂Σ ΔΟΘΈΝΤΟΣ ΤΟΥ̂ ΤΗ̂Σ ΜΕΓΊΣΤΗΣ ΗΜΈΡΑΣ ΜΕΓΈΘΟΥΣ, ΑΙ ΑΠΟΛΑΜΒΑΝΟΜΈΝΑΙ ΤΟΥ̂ ΟΡΊΖΟΝΤΟΣ ΠΕΡΙΦΈΡΕΙΑΙ, ὑπό τε τοῦ ἰσημερινοῦ καὶ τοῦ λοξοῦ κύκλου δίδονται.



Προκείσθω δὴ καθόλου τῶν ὑποδειγμάτων ἕνεκεν, ὁ διὰ Ρ ὁδοῦ γραφόμενος παράλληλος τοῦ ἰσημερινῷ κύκλος, ὅπου τὸ μὲν ἔξαρμα τοῦ πόλου, μοιρῶν ἐστι λς̄, ἡ δὲ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ι̅ δς̄, καὶ ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ αβ̄γδ, ὁρίζοντος δὲ ἀνατολικὸν ἡμικύκλιον τὸ βε̄δ, καὶ ἰσημερινὸν μὲν ἡμικυκλίον ὁμοίως τὸ αε̄γ, ὁ δὲ νότιος αὐτοῦ πόλος, τὸ ζ̄. ὑποκείσθω δὴ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τὸ χειμερινὸν τροπικὸν σημεῖον ἀνατέλλον, διὰ τοῦ η̄, καὶ γεγράφθω διὰ τῶν ζη̄, μεγίστου κύκλου τεταρτημόριον τὸ ζη̄θ. διεδόσθω δὴ πρότερον τὸ μέγεθος τῆς μεγίστης ἡμέρας. καὶ προκείσθω τῆς εη̄ τοῦ ὁρίζοντος περιφέρειαν εὑρεῖν. ἐπεὶ τοίνυν ἡ τῆς σφαίρας στροφὴ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους ἀποτελεῖτο, φανερὸν ὅτι γὰρ τοῦ αὐτῷ χρόνῳ, τό τε η̄ σημεῖον, καὶ τὸ θ̄ καὶ τὸν αβ̄γδ μεσημβρινὸν ἔσται. καὶ ὁ μὲν ἀπ' ἀνατολῆς μέχρι τῆς ὑπὲρ γῆν μεσουρανήσεως τοῦ η̄ χρόνος, ὁ περιεχόμενος ἐστὶν, ὑπὸ τῆς θα̅ τοῦ ἰσημερινοῦ περιφερείας, ὁ δ' ἀπὸ τῆς ὑπὸ γῆν μεσουρανήσεως μέχρι τῆς ἀνατολῆς, ὁ περιεχόμενος ὑπὸ τῆς γθ̄. ἀκόλουθον δὲ ἐστὶν ὅτι καὶ ὁ μὲν τῆς ἡμέρας χρόνος, ὁ διπλασίων ἐστὶ τοῦ ὑπὸ τῆς θα̅ περιεχομένου, ὁ δὲ τῆς νυκτὸς, ὁ διπλασίων τοῦ

ὑπὸ τ̄ εθ̄ περιεχομένου. ἐπεὶ δὲ ἡ περ ἡ χωρὶς τὰ τε ὑπὲρ γλῦ Ⓒ τὰ ὑπὸ γλῦ τμήματα, τοῦτ' ἔστι παραλλήλων (ὡς) ἰσημερινῷ κύκλῳ πάντων διχοτομεῖται ὑπὸ τ̄ μεσημβρινοῦ. διὰ δὲ τοῦτο καὶ ἡ μὲν εθ̄ περιφέρεια ἡμίσεια οὖσα, τοῦ διαφόρου τ̄ ἐλαχίστης ἢ μεγίστης ἡμέρας, παρὰ τ̄ ἰσημερινὸν, μιᾶς μὲν ὥρας καὶ δ' γίνεται, ἡ δὲ ὑποκείμενον περὶ αὐτὴν, χρόνῳ δὲ ὀλιγότερον ἐν μι. ἢ ἤ λοιπὴ εἰς τὸ τεταρτημόριον ἡ θᾱ τ̄ αὐτῷ σᾱ ις. ἐπεισὶ δὴ οὖν καὶ τὰ αὐτὰ τοῖς ἔμπροσθεν ἀποδεδειγμένοις, εἰς δύο μεγίστων κύκλων περιφέρειας τὰς ᾱ Ⓒ ᾱζ̄, δύο γεγράμμωνται εἰσὶν, αἱ εβ̄ καὶ ζθ̄, τέμνουσαι ἀλλήλας ἐπὶ τὸ η̄, ὁ δὴ ὑπὸ τῶν διπλῶν τ̄ θᾱ πρὸς τῶν ὑπὸ τ̄ διπλῶν τ̄ ᾱε̄ λόγος, συνῆπται ἔκτε τ̄ δὴ ὑπὸ τῶν διπλῶν τ̄ θ̄ζ̄ πρὸς τῶν ὑπὸ τ̄ διπλῶν τ̄ ζη̄, καὶ τοῦ δὴ ὑπὸ τ̄ διπλῶν τ̄ ηβ̄ πρὸς τῶν ὑπὸ τ̄ διπλῶν τ̄ βε̄. ἀλλὰ ἡ μὲν τ̄ θᾱ περιφερείας διπλῆ, μοιρῶν ἐστι ρω̄ β λ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρῑ γ λ̄ ν̄δ̄, ἡ δὲ τ̄ ᾱε̄ μοιρῶν ρπ̄, καὶ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρκ̄. καὶ πάλιν ἡ μὲν τ̄ θ̄ζ̄ διπλῆ μοιρ. ρπ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρκ̄, ἡ δὲ τ̄ ζη̄ μοιρῶν ρλβ ἰζ̄ κ̄, καὶ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρθ̄ μ̄δ̄ νε̄. ἐὰν οὖν ἀπὸ τ̄ λόγου τῶν ρῑ γ λ̄ ν̄δ̄ πρὸς τὰ ρκ̄ λ̄ε̄, ἀφέλωμεν τὸν τ̄ ρκ̄ πρὸς τὰ ρθ̄ μ̄δ̄ νε̄, λοιπὸν ἔσεται ἡμῖν ὁ τ̄ ὑπὸ τῶν διπλῶν τ̄ ηβ̄, πρὸς τῶν ὑπὸ τῶν διπλῶν τ̄ βε̄ λόγος, ὁ τῶν ρε̄ νε̄ κ̄ς̄, πρὸς τὰ ρκ̄. καὶ ἔστιν ἡ ὑπὸ τῶν διπλῶν τ̄ βε̄ περιφερείας, ἐπεὶ τεταρτημορίου τυγχάνει τμημάτων ρκ̄. Ⓒ ἡ ὑπὸ τ̄ διπλῶν ἄρα, τῆς ηβ̄ τ̄ αὐτῶν ἐστι ρε̄ νε̄ κ̄ε̄. ὥστε καὶ ἡ μὲν διπλῆ τ̄ βη̄ περιφερείας, ἔσαι μοιρ. ρκ̄ ἐγγιστα. αὐτὴ δὲ ἡ βη̄ τ̄ αὐτῶν ξ̄. καὶ λοιπὴ ἄρα ἡ ηε̄ τοιούτων λαταλείπεται λ̄, οἵων ὅλον ὁ ὀρίζων τξ̄, ὅπερ ἔδει δεῖξαι.



ΠΩΣ ΤΩΝ ΑΥΤΩΝ ΥΠΟΚΕΙΜΕΝΩΝ, ΤΟ ΕΞΑΡΜΑ ΤΟΥ ΠΟΛΟΥ ΔΙΔΟΤΑΙ ΥΠΟ ΑΝΑΠΑΛΙΝ

Προκείσθω δὴ πάλιν τὸτε δεδομένον Ⓒ τὸ ἑξάρμα τοῦ πόλου λαβεῖν, τοῦτέστι τ̄ βζ̄ περιφέρειαν τ̄ ἰσημερινοῦ. γίνεται γὰρ οἷον ὡς τ̄ αὐτῆς καταγραφῆς ὁ τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ εθ̄ πρὸς τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ θᾱ λόγος, σωνημμένος, ἔκτε τ̄ τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ εη̄, πρὸς τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ ηβ̄, καὶ τοῦ δὴ ὑπὸ τ̄ διπλῶν τ̄ βζ̄, πρὸς τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ ζᾱ. ἀλλ' ἡ μὲν διπλῆ τ̄ εθ̄ μοιρ. ἐστι λζ̄ λ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα, τμημάτων λῆ λδ̄ κβ̄, ἡ δὲ διπλῆ τ̄ θᾱ, μοιρ. ρμ̄ β λ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρῑ γ λ̄ ν̄δ̄. πάλιν ἡ μὲν διπλῆ τ̄ εη̄ μοιρῶν ὅλων ξ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ξ̄, ἡ δὲ διπλῆ τ̄ ηβ̄, μοιρ. ρκ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρ̄ γ̄ νε̄ κ̄ε̄. ἐὰν οὖν ἀπὸ τοῦ λόγου τ̄ λῆ λδ̄ κβ̄ πρὸς τὰ ρῑ γ λ̄ ν̄δ̄, ἀφέλωμεν τ̄ τ̄ ξ̄ πρὸς τὰ ρ̄ γ̄ νε̄ κ̄ε̄, λαταλειφθήσεται ὁ τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ βζ̄, πρὸς τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ ζᾱ λόγος, ὁ τῶν ο̄ λγ̄ ἐγγιστα, πρὸς τὰ ρκ̄. καὶ ἔστι πάλιν ἡ ὑπὸ τ̄ διπλῶν τ̄ ζᾱ περιφερείας τμημάτων ρκ̄, Ⓒ ἡ ὑπὸ τῶν διπλῶν ἄρα τ̄ βζ̄, τῶν αὐτῶν ἐστι ο̄ λγ̄, ὥστε καὶ ἡ μὲν διπλῆ τ̄ βζ̄ περιφερείας, ἔσαι μοιρῶν οβ̄ ἀ ἢ βζ̄ τῶν αὐτῶν λς̄ ἐγγιστα. πάλιν ὧν τ̄ αὐτῆς καταγραφῆς ἀνάπαλιν, ἡ μὲν βζ̄ περιφέρεια τοῦ ἐξάρματος τ̄ πόλου δεδόσθω τετηρημένη μοιρῶν λς̄, προκείσθω δὲ εὑρεῖν τὸ διάφορον τ̄ ἐλαχίστης ἢ μεγίστης ἡμέρας, παρὰ τὸν ἰσημερινὸν, τουτέστι τῶν διπλῶν τ̄ εθ̄ περιφερείας, γίνεται κοινὸν μὲν τὰ αὐτὰ ὁ τ̄ ὑπὸ τ̄ διπλῶν τ̄ βζ̄ περιφερείας, πρὸς τ̄ ὑπὸ τῶν διπλῶν τῆς βᾱ λόγος συνημμένος, ἔκτε τοῦ τ̄ ὑπὸ τῶν διπλῶν τ̄ ζη̄ πρὸς τ̄ ὑπὸ τῶν διπλῶν τ̄ ηθ̄, καὶ ἔκ τοῦ τ̄ ὑπὸ τῶν διπλῶν τ̄ θε̄ πρὸς τῶν ὑπὸ τῶν διπλῶν τ̄ εᾱ. ἀλλ' ἡ μὲν διπλῆ τ̄ ζβ̄ μοιρῶν ἐστι οβ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ο̄ λβ γ̄, ἡ δὲ διπλῆ τῆς βᾱ μοιρῶν ρθ̄, καὶ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ιζ̄ ὁ νε̄. καὶ πάλιν ἡ μὲν διπλῆ τ̄ ζη̄ μοιρ. ἐστι ρλβ ἰζ̄ κ̄, Ⓒ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων ρθ̄ μ̄δ̄ νγ̄, ἡ δὲ διπλῆ τ̄ ηθ̄, μοιρ. μ̄β μ̄, καὶ ἡ ὑπὸ αὐτῶν εὐθεῖα τμημάτων μῆ λά νε̄. ἐὰν οὖν ἀπὸ τ̄ τῶν ο̄ λβ γ̄, πρὸς ιζ̄ ὁ νε̄ λόγου, ἀφέλωμεν τὸν τῶν ρθ̄ μ̄δ̄ νγ̄ πρὸς τὰ μῆ λά νε̄, λαταλειφθήσεται ἡμῖν ὁ τ̄ ὑπὸ τῶν διπλῶν τ̄ θε̄ πρὸς τῶν ὑπὸ τ̄ διπλῶν τ̄ εᾱ λόγος, ὁ τῶν λᾱ ιά κγ̄ πρὸς τὰ ιζ̄ ὁ νε̄. Ⓒ ἐπεὶ δὴ ὁ αὐτὸς λόγος ἐστὶν

ὄστιν ἔγγιστα καὶ τῶν λη̄ λδ πρὸς τὰ ρκ̄, ἡ δὲ ὑπὸ τῆς διπλῆς τῆς εᾱ τμημάτων ὄστιν ρκ συνά-
γεται καὶ ἡ ὑπὸ τὴν διπλῆν τῆς εθ̄ τῶν αὐτῶν λη̄ λδ, ὥστε καὶ ἡ διπλῆ τῆς εθ̄ περιφερείας,
μοιρ. μὲν ἔσται λζ λ ἔγγιστα, ὡρῶν δὲ ἰσημερινῶν βς ὅπερ ἔδει δεῖξαι. κατὰ τὰ αὐτὰ δὴ δοθήσετε
καὶ ἡ εη̄ τοῦ ὁρίζοντος περιφερεία, διὰ τὸ, καὶ τὸν τῆς ὑπὸ τὴν διπλῆν τῆς ζᾱ πρὸς τὴν ὑπὸ
τὴν διπλῆν τῆς αβ̄ λόγον δεδομένον συνῆφθαι, ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς ζθ̄, πρὸς τῆς
ὑπὸ τὴν διπλῆν τῆς θη̄, δεδομένου καὶ αὐτοῦ, καὶ ἐκ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τὴν κε̄, πρὸς
τὴν ὑπὸ τὴν διπλῆν τῆς εβ̄, ὥστε καὶ τῆς εβ̄ δεδομένης καταλείπεσθαι καὶ τὸ τῆς εη̄ μέ-
γεθος. φανερὸν δ' ὅτι καὶ μὴ τὸ χειμερινὸν τροπικὸν σημεῖον ὑποθώμεθα, τὸ η̄, τῶν ἄλλων
δέ τι τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τμημάτων, κατὰ τὰ αὐτὰ πάλιν ἑκατέρρα τῶν εθ̄
καὶ εη̄ περιφερειῶν δοθήσεται. προεκτεθειμένων τε ἡμῖν διὰ τοῦ τῆς λοξώσεως κανονίου, τῶν
ἀπολαμβανομένων τοῦ μεσημβρινοῦ περιφερειῶν, ὑφ' ἑκάστου τμήματος τοῦ διὰ μέσων τῶν
ζωδίων κύκλου, καὶ τοῦ ἰσημερινοῦ, τουτέστι τῶν ὁμοίων τῇ ηθ̄ περιφερείᾳ, καὶ παρακολουθοῦν-
τος μὲν αὐτόθεν, τοῦ τὰ ὑπὸ τῶν αὐτῶν παραλλήλων γινόμενα τμήματα τοῦ διὰ μέσων, του-
τέστι τὰ ἴσον ἀπέχοντα, τοῦ αὐτοῦ τροπικοῦ σημείου, τὰς αὐτὰς καὶ ἀπὸ τὰ αὐτὰ μέρη τοῦ ἰση-
μερινοῦ ποιεῖν τὰς τοῦ ὁρίζοντος τομάς, καὶ τὰ τῶν νυχθημέρων μεγέθη, ἴσα ἑκάτερα ἑκα-
τέροις τῶν ὁμοίων. συναποδεινυμένου δὲ τοῦ,
καὶ τὰ ὑπὸ τῶν ἴσων παραλλήλων γινόμενα,
τουτέστι τὰ ἴσον ἀπέχοντα τοῦ αὐτοῦ ἰσημερι-
νοῦ σημείου, τάς τε τοῦ ὁρίζοντος περιφερεί-
ας ἴσας ἑκατέρωθεν τοῦ ἰσημερινοῦ ποιεῖν, καὶ
τῶν νυχθημέρων ἐναλλὰξ ἴσα τὰ μεγέθη τῶν
ἀνομοίων. ἐὰν γὰρ ἀπὸ τῆς ἐκκειμένης κατα-
γραφῆς ὑποθώμεθα καὶ τὸ κ̄ σημεῖον, καθ' ὃ
τέμνει τὸ βεδ̄ τοῦ ὁρίζοντος ἡμικύκλιον, ὁ ἴσος
καὶ παράλληλος τοῦ διὰ τοῦ η̄ γραφομένῳ, καὶ
συναναπληρώσωμεν τὰ ηλ̄, καὶ κμ̄, τῶν πα-
ραλλήλων τμήματα ἐναλλὰξ καὶ ἴσα δηλονότι
γινόμενα, διά τε τοῦ κ̄ καὶ τοῦ βορείου πόλου τὴν
κξ̄ γράψωμεν τεταρτημόριον, ἴσαι μὲν ἔσοντε
ἡ μὲν θᾱ περιφέρεια τῇ ξγ̄, διὰ τὸ ἑκατέραν ἑκατέρα τῶν λη̄ καὶ μκ̄ ὁμοίαν εἶναι, καταλειφθήσετε
δὲ καὶ λοιπὴ ἡ εθ̄, λοιπῇ τῇ εξ̄ ἴσῃ. γενήσονται δὴ καὶ δύο τριπλεύρων ὁμοίων τῶν εηθ̄ καὶ εκξ̄,
αἱ δύο μὲν πλευραὶ ταῖς δυσὶν ἴσαι, ἡ μὲν εθ̄ τῇ εξ̄, ἡ δὲ ηθ̄ τῇ κξ̄. ὀρθὴ δὲ ἑκατέρα τῶν πρὸς
τοῖς θ̄ καὶ ξ̄ γωνιῶν, ὥστε καὶ βάσιν τὴν εη̄, βάσει τῇ κε̄ γενέσθαι ἴσην.



ΠΩΣ ΕΠΙΛΟΓΙΣΤΕΟΝ ΤΊΣΙ ΚΑΙ ΠΌΤΕ ΚΑΙ ΠΟΣΆ-
ΚΙΣ Ὁ ἩΛΙΟΣ ΓΊΝΕΤΑΙ ΚΑΤΆ ΚΟΡΥΦΉΝ.

Κρόχειρον δὲ ἐστι τούτων δεδομένων, τὸ συνεπιλογίζεσθαι τίσι καὶ πότε καὶ πο-
σάκις ὁ ἥλιος κατὰ κορυφὴν γίνετε. φανεροῦ γὰρ ὄντος αὐτόθεν, ὅτι τοῖς μὲν ὑπὸ
σοῦ πλεῖον ἀπέχοντας τοῦ ἰσημερινοῦ παραλλήλους, τῶν τῆς ὅλης ἀποστάσε-
ως τοῦ θερινοῦ τροπικοῦ σημείου, μοιρῶν κγ̄ νά κ ἔγγιστα, οὐδόλως ὁ ἥλιος γί-
νεται κατὰ κορυφὴν, τοῖς δὲ ὑπὸ σοῦ αὐτὸ τὸ τοῦτον ἀφεστῶτας, ἅπαξ, ἐν αὐτῇ τῇ θερινῇ τρο-
πῇ δηλονότι γίνεται κατὰ κορυφήν. καὶ ὅτι τοῖς ὑπὸ σοῦ ἔλασσον τῶν ἐκκειμένων μοιρῶν ἀ-
πέχοντας, δὶς γίνεται κατὰ κορυφήν. τὸ πότε δὲ, πρόχειρον ποιεῖ ἡ τοῦ κανονίου τῆς λοξώσε-
ως ἔκθεσις. ὅσας γὰρ ἂν ὁ ἐπιζητούμενος παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ μοιρὰς, τῶν ἐν-
τὸς δηλονότι τοῦ θερινοῦ προπικοῦ, τὰς τοσαύτας εἰσενεγκόντες εἰς τὰ δεύτερα μέρη τῶν
σελιδίων, τὰς παρακειμένας αὐταῖς, ἐκ τοῦ τεταρτημορίου μοιρὰς ἐν τοῖς πρώτοις μέρεσι
τῶν σελιδίων, ἕξομεν ὅσας ἀπέχων ὁ ἥλιος ἀφ' ἑκατέρου τῶν ἰσημερινῶν
σημείων, ὡς πρὸς τὸ θερινὸν τροπικὸν, κατὰ κορυφὴν τοῖς ὑπὸ
ἐκείνου τὸν ἐκκείμενον παράλληλον γίνεται.

ΠΩΣ ΑΠΟ ΤΩΝ ΕΚΚΕΙΜΕΝΩΝ ΟΙ ΛΟΓΟΙ ΤΩΝ ΓΝΩΜΟΝΩΝ ΠΡΟΣ ΤΑΣ ΙΣΗΜΕΡΙΝΑΣ ΚΑΙ ΤΡΟΠΙΚΑΣ ΕΝ ΤΑΙΣ ΜΕΣΗΜΒΡΙΑΙΣ ΣΚΙΑΣ ΛΑΜΒΑΝΟΝΤΑΙ.

Ὅτι δὲ καὶ οἱ προκείμενοι λόγοι τῶν σκιῶν, πρὸς τοὺς γνώμονας ἁπλούστερον λαμβάνοντες, δοθέντων ἅπαξ τοῦ τε μεταξὺ τῶν τροπικῶν περιφερείας, καὶ τοῦ μεταξὺ τοῦ ὁρίζοντος, καὶ τῶν πόλων, οὕτως ἂν γίνοιτο δῆλον. ἔστω γὰρ μεσημβρινὸς κύκλος ὁ αβγδ περὶ κέντρον τὸ ε. καὶ ὑποκειμένου τοῦ κατὰ κορυφὴν σημείου τοῦ α, διήχθω ἡ αεγ διάμετρος, ἣ πρὸς ὀρθὰς γωνίας ἤχθω ἐν τῷδε τοῦ μεσημβρινοῦ ἐπιπέδῳ, ἡ γκζν, παράλληλος δηλονότι γινομένη τῇ κοινῇ τομῇ, τοῦ τε ὁρίζοντος, καὶ τοῦ μεσημβρινοῦ. καὶ ἐπεὶ ὅλη ἡ γῆ σημείου καὶ κέντρου λόγον ἔχει πρὸς αἴσθησιν, πρὸς τὴν τοῦ ἡλίου σφαῖραν, ὥστε ἀδιαφορεῖν τὸ ε κέντρον τοῦ τοῦ γνώμονος κορυφῆς, νοείσθω γνώμων μὴ, ὁ γε, ἡ δὲ γκζν εὐθεῖα ἐφ' ἣν ἐν ταῖς μεσημβρίαις πεσεῖται τὰ ἄκρα τῶν σκιῶν, καὶ διήχθωσαν διὰ τοῦ ε, ἥτε ἰσημερινὴ, καὶ αἱ τροπικαὶ μεσημβριναὶ ἀκτῆνες. ἔστω δὴ ἰσημερινὴ μὲν ἡ βεδζ, θερινὴ δὲ ἡ νεθκ, χειμερινὴ δὲ λεμν, ὥστε καὶ τὴν μὲν γκ θερινὴν γίνεσθαι σκιὰν, τὴν δὴ γζ ἰσημερινὴν, τὴν δὲ γν χειμερινήν. ἐπεὶ τοίνυν ἡ μὲν γδ περιφέρεια ἣ τοῦ ἴσην ἐξήρτηται ὁ βόρειος πόλος τοῦ ὁρίζοντος, ὑπὸ τοῦ ὑποκειμένου κλίματος, τοιούτων ἐστὶ λς, οἵων ὁ αβγ μεσημβρινὸς τξ, ἑκατέρα δὴ τῶν θδ καὶ δμ, τῶν αὐτῶν κγ νά κ, φανερὸν ὅτι καὶ λοιπὴ μὲν ἡ γθ περιφέρεια τμημάτων ἔσται ιβ ἡ μ, ὅλη δὲ ἡ γμ τῶν αὐτῶν νθ νά κ, ὥστε καὶ τῶν ὑπ' αὐτὰς γωνιῶν, οἵων εἰσιν αἱ δ ὀρθαὶ τξ, τοιούτων ἡ μὲν ὑπὸ κεγ γωνία ἐστὶ ιβ ἡ μ, ἡ δὲ ὑπὸ ζεγ τῶν αὐτῶν λς, ἡ δὴ ὑπὸ νεγ ὁμοίως νθ νά κ. οἵων δὲ αἱ δύο ὀρθαὶ τξ, τοιούτων ἡ μὲν ὑπὸ κεγ γωνία κδ ιζ κ, ἡ δὲ ὑπὸ ζεγ τῶν αὐτῶν οβ, ἡ δὲ ὑπὸ νεγ ὁμοίως ριθ μβ μ, καὶ τῶν γραφομένων ἄρα κύκλος περὶ τὰ κεγ, καὶ ζεγ, καὶ νεγ τρίγωνα ὀρθογώνια, ἡ μὲν ὑπὸ τοῦ γκ εὐθείας περιφέρεια, μοιρῶν ἐστὶν κδ ιζ κ, καὶ ἡ ὑπὸ τοῦ γε, λείπουσα δὲ εἰς τὸ ἡμικύκλιον, τῶν αὐτῶν ρνε μβ μ. ἡ δὴ ὑπὸ τοῦ γζ, μοιρῶν οβ, καὶ ἡ ὑπὸ τοῦ γε ὁμοίως τῶν αὐτῶν ρη. ἡ δὴ ὑπὸ τοῦ γν, μοιρῶν ριθ μβ μ, καὶ ἡ ὑπὸ τοῦ γε τῶν λοιπῶν πάλιν εἰς τὸ ἡμικύκλιον ξ ιζ κ, ὥστε καὶ τῶν ὑπ' αὐτὰς εὐθειῶν ἡ γε συνάγεται, οἵων μὲν ἡ γκ ἐστὶν κε ιδ μγ, τοιούτων ριζ ιη να, οἵων δὲ ἡ γζ πάλιν ο λβ δ, τοιούτων κζ δνς, οἵων δὲ ἡ γν ὁμοίως ργ μς ις, τοιούτων ξ ιε μβ. καὶ οἵων ἄρα ἐστὶν ὁ γε γνώμων ξ, τοιούτων καὶ ἡ μὲν γκ θερινὴ σκιὰ, συναχθήσεται ιβ νε, ἡ δὴ γζ ἰσημερινὴ μγ λς, ἡ δὴ γν χειμερινὴ, ργ κ ἔγγιστα. φανερὸν δὴ αὐτόθεν ὅτι καὶ ἀνάπαλιν, καὶ δύο μόνοι λόγοι δοθῶσιν ὁ ποιοιοῦν, ἀπὸ τῶν ἐκκειμένων τριῶν τοῦ γε γνώμονος πρὸς τὰς σκιάς, τότε τοῦ πόλου ἔξαρμα δίδοται, καὶ ἡ μεταξὺ τῶν τροπικῶν. ἐπειδήπερ καὶ δύο δοθεισῶν ὁ ποιῶν πρὸς τῷδε γωνιῶν, δίδοτο καὶ ἡ λοιπὴ, διὰ τὸ ἴσας εἶναι τὰς θδ, δμ περιφερείας. τοῦ μέντοι περὶ τὰς τηρήσεις αὐτὰς ἀκριβοῦς ἕνεκεν, ἐκεῖνα μὴ ἀδιστάκτως ἂν λαμβάνοιτο καθ' ὃν ὑπεδείξαμεν τρόπον, οἱ δὴ τῶν ἐκκειμένων σκιῶν πρὸς τοὺς γνώμονας λόγοι, οὐχ ὁμοίως. διὰ τὸ τῶν μὴ ἰσημερινῶν τὸν χρόνον ἀόριστον πῶς καθ' αὐτὸν εἶναι, τῶν δὴ τροπικῶν χειμερινῶν τὰ τῶν κορυφῶν ἄκρα δυσδιάκριτα.



ἔκθεσις τῶν κατὰ παράλληλον ἰδιωμάτων.

Τὸν αὐτὸν δὴ τρόπον τούτοις, καὶ ὑπὸ τῶν ἄλλων παραλλήλων λαβόντες τὰ ὁλοσχειρῆ ἐκκειμένων ἰδιωμάτων, τεταίρτω μιᾶς ὥρας ἰσημερινῆς ὡς αὐταίρκει τὰς ὑπεροχὰς τῶν ἐγκλίσεων παραυξήσαντες, ποιησόμεθα τὴν ἔκθεσιν αὐτῶν τὴν καθόλου, πρὸ τοῦ τῶν κατὰ μέρος ἐπισυμβαινόντων, τὴν ἀρχὴν ἀπὸ τοῦ ὑπ' αὐτὸν τὸν ἰσημερινὸν

ἰσημερινὸν παραλλήλου, ποιησάμενοι, ὃς ἀφορίζει ἡ ἔγγιστα τὸ πρὸς μεσημβρίαν μέρος, τοῦ ὅλου τεταρτημορίου τῆς καθ' ἡμᾶς οἰκουμένης, μόνος δὲ ἔχει τὰς ἡμέρας καὶ τὰς νύκτας πάσας ἴσας ἀλλήλαις, πάντων τῶν ἐν τῇ σφαίρᾳ παραλλήλων, τοῦ ἰσημερινῷ κύκλῳ, τό τε μόνον δίχα ὑπὸ τοῦ ὁρίζοντος διαιρουμένων, ὥστε τὰ ὑπὲρ γῆν αὐτῶν τμήματα ὅμοιά τε ἀλλήλοις εἶναι, καὶ ἴσα τοῖς ὑπὸ γῆν καθ' ἕκαστον, τοῦ τοιούτου μὴ συμβαίνοντος ὑπὸ μηδεμιᾶς τῶν ἐγκλίσεων. ἀλλὰ μόνου μὲν πάλιν τοῦ ἰσημερινοῦ, πανταχῇ δίχα τε ὑπὸ τοῦ ὁρίζοντος διαιρουμένου καὶ τὰς κατ' αὐτὸν ἡμέρας ταῖς νυξὶν ἴσας ποιοῦντος, πρὸς αἴσθησιν, ἐπεὶ καὶ αὐτὸς τῶν μεγίστων ἐστὶ κύκλων, τῶν δὲ λοιπῶν εἰς ἄνισα διαιρουμένων, καὶ κατὰ τὸ τῆς ἡμετέρας οἰκουμένης ἔγκλιμα, τῶν μὲν νοτιωτέρων αὐτοῦ, τά τε ὑπὲρ γῆν τμήματα τῶν ὑπὸ γῆν ἐλάττονα, καὶ τὰς ἡμέρας τῶν νυκτῶν βραχυτέρας ποιούντων, τῶν δὲ βορειοτέρων ἀνάπαλιν τά τε ὑπὲρ γῆν τμήματα μείζονα, καὶ τὰς ἡμέρας πολυχρονιωτέρας. ἔστι δὲ καὶ ἀμφίσκιος οὗτος ὁ παράλληλος, τοῦ ἡλίου δίς κατὰ κορυφὴν τοῖς ὑπ' αὐτὸν γινομένου, κατὰ τὰ τοῦ ἰσημερινοῦ καὶ τοῦ λοξοῦ κύκλου τμήματα, ὥστε τό τε μόνον τοὺς γνώμονας ἐν ταῖς μεσουρανήσεσιν ἀσκίους γίνεσθαι, τοῦ δὲ ἡλίου τὸ μὲν βόρειον ἡμικύκλιον διαπορευομένου, τὰς τῶν γνωμόνων σκιὰς ἀποκλίνειν πρὸς μεσημβρίαν, τὸ δὲ νότιον πρὸς τὰς ἀρκτοῦς. καὶ ἔστιν ἐν ταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἑκατέρα ἥτε θερινὴ καὶ ἡ χειμερινὴ σκιὰ κς ς' ἔγγιστα. λέγομεν δὲ καθόλου σκιὰς τὰς ἐν ταῖς μεσημβρίαις γινομένας, καὶ ὡς μηδενὶ ἀξιολόγῳ διαφορούσας, διὰ τὸ μὴ πάντως ἐν αὐταῖς ταῖς μεσημβρίαις τάς τε ἰσημερινὰς καὶ τὰς τροπικὰς ἀποτελεῖσθαι. τοῖς δὲ ὑπὸ τὸν ἰσημερινὸν, κατὰ κορυφὴν μὲν γίνονται τῶν ἀστέρων ὅσοι κατ' αὐτοῦ τοῦ ἰσημερινοῦ ποιοῦνται τὰ περιφοράς. πάντες δὲ καὶ ἀνατέλλοντες καὶ δύνοντες φαίνονται, τῶν τῆς σφαίρας πόλων ἐπ' αὐτοῦ τοῦ ὁρίζοντος ὄντων, καὶ μηδένα κύκλον ποιούντων, μήτε τῶν παραλλήλων ἀεὶ φανερὸν ἢ ἀεὶ ἀφανῆ, μήτε τῶν μεσημβρινῶν κόλουρον. οἰκήσεις δὲ εἶναι μὲν ὑπὸ τὸν ἰσημερινὸν ἐνδέχεσθαι φασίν, ὡς πάνυ εὔκρατον, διὰ τὸ τὸν ἥλιον, μήτε τοῖς κατὰ κορυφὴν σημείοις ἐγχρονίζειν, ταχείας γινομένης τῆς περὶ τὰ ἰσημερινὰ τμήματα κατὰ πλάτος παραχωρήσεως, ὅθεν ἂν τὸ θέρος εὔκρατον γίνοιτο, μήτ' ἐν ταῖς τροπαῖς πολὺ ἀφίστασθαι τοῦ κατὰ κορυφήν, ὡς μὴ δὲ τὸν χειμῶνα σφοδρὸν ποιεῖν. τίνες δὲ εἰσὶν αἱ οἰκήσεις, οὐκ ἂν ἔχοιμεν πεπεισμένοως εἰπεῖν. ἄτριπτοι γάρ εἰσι μέχρι τοῦ δεῦρο τοῖς ἀπὸ τῆς καθ' ἡμᾶς οἰκουμένης, καὶ εἰκασίαν ἄν τις μᾶλλον ἢ ἱστορίαν ἡγήσαιτο τὰ λεγόμενα περὶ αὐτῶν. τὰ μὲν οὖν ἴδια τοῦ ὑπὸ τὸν ἰσημερινὸν παραλλήλου, συνελόντι εἰπεῖν ταῦτα ἂν εἴη. περὶ δὲ τῶν λοιπῶν, ἀφ' ὧν καὶ τὰς οἰκήσεις τινὲς οἴονται κατειλῆφθαι, προσθήσομεν ἐκεῖνα κοινότερον, ἵνα μὴ καθ' ἕκαστον ταυτολογῶμεν, ὅτι τε τῶν ἐφεξῆς ἑκάστου κατὰ κορυφὴν γίνοντος τῶν ἀστέρων, ὅσοι τὴν ἴσην περιφέρειαν ἀφεστήκασι τοῦ ἰσημερινοῦ, ὧν τοῦ διὰ τῶν πόλων αὐτοῦ κύκλου, ὧν καὶ αὐτὸς ὁ ὑποκείμενος παράλληλος ἀφέστηκε, καὶ ὅτι φανερὸς μὲν ἀεὶ κύκλος γίνετος, ὁ πόλῳ μὲν, τοῦ βορείῳ πόλῳ τοῦ ἰσημερινοῦ, διαστήματι δὲ, τῷ τοῦ πόλου ἐξάρματι γραφόμενος, καὶ οἱ ἐμπριλαμβανόμενοι ὑπὸ τούτου ἀστέρες, ἀεὶ φανεροί, ἀεὶ δ' ἀφανὴς κύκλος, ὁ πόλῳ μὲν, τοῦ νοτίῳ πόλῳ, διαστήματι δὲ τῷ αὐτῷ γραφόμενος, καὶ οἱ ἐν τοὺς τούτου ἀστέρες ἀεὶ ἀφανεῖς. Δεύτερος γίνετος παράλληλος, καθ' ὃν ἡ μεγίστη ἡμέρα ἔστιν ὡρῶν ἰσημερινῶν, ιβ δι. οὗτος δὲ ἀπέχει τοῦ ἰσημερινοῦ μοιρ. δ δ'. καὶ γράφεται διὰ ταπροβάνης τῆς νήσου. ἔστι δὲ καὶ οὗτος τῶν ἀμφισκίων, τοῦ ἡλίου πάλιν δίς τοῖς ὑπ' αὐτὸν γινομένου κατὰ κορυφήν, καὶ τοὺς γνώμονας ἐν ταῖς μεσουρανήσεσι ποιοῦντος ἀσκίους, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα τὰ μέρη μοιρῶν οθ ς', ὥστε τὰς μὲν ρνθ ταύτας, αὐτοῦ διαπορευομένου τὰς τῶν γνωμόνων σκιὰς ἀποκλίνειν εἰς τὰ νότια, τὰς δὲ λοιπὰς σα, εἰς τὰ βόρεια. καὶ ἔστιν ἐν ταῦθα, οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ, δ γ' ιβ', ἡ δὲ θερινὴ, κα γ', ἡ δὲ χειμερινὴ λβ. Τρίτος δὲ ἔστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα, ὡρῶν ἰσημερινῶν ιβ ς'. οὗτος δὲ ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν η κε. καὶ γράφεται διὰ τοῦ Αὐαλίτου κόλπου. ἔστι δὲ καὶ οὗτος τῶν ἀμφισκίων, τοῦ ἡλίου δίς τοῖς ὑπ' αὐτὸν γινομένου κατὰ κορυφήν. καὶ τοὺς γνώμονας ἐν ταῖς μεσουρανήσεσιν ἀσκίους ποιοῦντος, ὅταν τῆς θερινῆς τροπῆς ἀπέχῃ, ἐφ' ἑκάτερα τὰ μέρη μοιρῶν ξθ. ὥστε τὰς μὲν ρλη ταύτας, αὐτοῦ διαπορευομένου, τὰς τῶν γνωμόνων σκιὰς ἀποκλίνειν πρὸς μεσημβρίαν, τὰς δὲ λοιπὰς σκβ, πρὸς ἀρκτοῦς. καὶ ἔστιν ἐν ταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ η ς' ε', ἡ δὲ θερινὴ ις ς' ε', ἡ δὲ χειμερινὴ λζ ς' ε' ιε'. Τέταρτος δὲ ἔστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιβ ς' δ'. οὗτος δ' ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν ιβ ς', καὶ γράφεται διὰ τοῦ Ἀδουλιτικοῦ κόλπου. ἔστι δὲ καὶ οὗτος

τῶν ἀμφισκίων, τοῦ ἡλίου πάλιν δὶς τοῖς ὑπ' αὐτὸν γινομένου κατὰ κορυφὴν, καὶ οὐ γνώμονας ἐν ταῖς μεσουρανήσεσιν ἀσκίους ποιοῦντος, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα τὰ μέρη μοιρῶν νζ βγ', ὥστε τὰς μὲν ριε ι' ταύτας αὐτοῦ διαπορευομένου, τὰς τῶν γνωμόνων σκιὰς ἀποκλίνειν πρὸς μεσημβρίαν, τὰς δὲ λοιπὰς σμδ βγ', πρὸς τὰς ἄρκτους. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ ιγ ι', ἡ δὲ θερινὴ ιβ, ἡ δὲ χειμερινὴ μδ ς'. Πέμπτος ἐστὶ παράλληλος καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα τῶν ἰσημερινῶν ιγ. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν ις κζ. καὶ γράφεται διὰ Μεροῆς τῆς νήσου. ἔστι δὲ καὶ αὐτὸς τῶν ἀμφισκίων, τοῦ ἡλίου δὶς τοῖς ὑπ' αὐτὸν γινομένου κατὰ κορυφὴν, καὶ οὐ γνώμονας ἐν ταῖς μεσουρανήσεσιν ἀσκίους ποιοῦντος, ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα τὰ μέρη μοιρῶν με, ὥστε τὰς μὲν ιη ταύτας αὐτοῦ διαπορευομένου, τὰς τῶν γνωμόνων σκιὰς ἀποκλίνειν πρὸς μεσημβρίαν, τὰς δὲ λοιπὰς σο, πρὸς τὰς ἄρκτους. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ ιζ ς δ', ἡ δὲ θερινὴ ζς δ', ἡ δὲ χειμερινὴ να. Ἕκτος ἐστὶ παράλληλος καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα τῶν ἰσημερινῶν ιε δ'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρῶν κ ιδ'. καὶ γράφετο διὰ Ναπάτων. ἔστι δὲ καὶ αὐτὸς τῶν ἀμφισκίων, τοῦ ἡλίου τοῖς ὑπ' αὐτὸν δὶς γινομένου κατὰ κορυφὴν. καὶ οὐ γνώμονας ἐν ταῖς μεσημβρίαις ἀσκίους ποιοῦντος. ὅταν ἀπέχῃ τῆς θερινῆς τροπῆς ἐφ' ἑκάτερα τὰ μέρη, μοιρῶν λα. ὥστε τὰς μὲν ξβ ταύτας αὐτοῦ διαπορευομένου, τὰς τῶν γνωμόνων σκιὰς, ἀποκλίνειν πρὸς μεσημβρίαν, τὰς δὲ λοιπὰς σιη, πρὸς τὰς ἄρκτους. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ κβ ς', ἡ δὲ θερινὴ γ ς δ', ἡ δὲ χειμερινὴ νη ς'.

Ἑβδομός ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα τῶν ἰσημερινῶν ιγ ς'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. κγ νά. καὶ γράφεται διὰ Συηνῆς. πρῶτος δὲ ἐστιν οὗτος παράλληλος τῶν καλουμένων ἑτεροσκίων. οὐδέποτε γὰρ τοῖς ὑπ' αὐτὸν οἰκοῦσιν ἐν ταῖς μεσημβρίαις αἱ τῶν γνωμόνων σκιαὶ πρὸς μεσημβρίαν ἀποκλίνουσιν, ἀλλ' ἐν μὲν αὐτῇ μόνῃ τῇ θερινῇ τροπῇ, κατὰ κορυφὴν αὐτοῖς ὁ ἥλιος γίνεται, καὶ οἱ γνώμονες ἄσκιοι θεωροῦντο. τοιοῦτον γὰρ ἀπέχουσι τοῦ ἰσημερινοῦ, ὅσον καὶ τὸ θερινὸν τροπικὸν σημεῖον. τὸν δὲ ἄλλον πάντα χρόνον αἱ τῶν γνωμόνων σκιαὶ, πρὸς τὰς ἄρκτους ἀποκλίνουσι, καὶ ἐνταῦθα ἐστὶν οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν ἰσημερινὴ σκιὰ κς ς', ἡ δὲ χειμερινὴ ξες ι', ἡ δὲ θερινὴ ἄσκιός ἐστι, καὶ πάντες δὲ οἱ τούτου βορειοτέροι παράλληλοι, μέχρι τοῦ τὴν ἡμετέραν οἰκουμένην ἀφορίζοντος, ἑτερόσκιοι τυγχάνουσιν ὄντες. οὐδέποτε γὰρ κατ' αὐτοὺς οἱ γνώμονες ἐν ταῖς μεσημβρίαις οὔτε ἄσκιοι γίνονται, οὔτε τὰς σκιὰς ποιοῦσι πρὸς μεσημβρίαν, ἀλλὰ πάντες πρὸς ἄρκτους, διὰ τὸ μὴ δὲ τὸν ἥλιον ποτὲ κατὰ κορυφὴν αὐτοῖς γίνεσθαι. Ὄγδοός ἐστι παράλληλος καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα τῶν ἰσημερινῶν ιγ ς δ'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρ. κζ ιβ. καὶ γράφεται διὰ Πτολεμαΐδος τῆς ἐν Θηβαΐδι, καλουμένης δὲ Ἑρμείου. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ γς', ἡ δὲ ἰσημερινὴ, λς ς' ι'. ἡ δὲ χειμερινὴ, οδ ς'. Ἔννατός ἐστι παράλληλος καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα τῶν ἰσημερινῶν ιδ. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρ. λ κβ. καὶ γράφεται διὰ τῆς κάτω χώρας τῆς Αἰγύπτου. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ ς ς' ι'. ἡ δὲ ἰσημερινὴ λε ιβ, ἡ δὲ χειμερινὴ, πγ ιβ. Δέκατός ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ δ'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν λγ ιη. καὶ γράφετο διὰ Φοινίκης μέσης. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, ι, ἡ δὲ ἰσημερινὴ λθ ς', ἡ δὲ χειμερινὴ ιγ ι'. Ἑνδέκατός ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ ς'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν λς. καὶ γράφετο διὰ Ῥόδου. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ ιβ ς' ι' ι', ἡ δὲ ἰσημερινὴ μγ ς' ι', ἡ δὲ χειμερινὴ, ργ ι'. Δωδέκατός ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ ς' δ'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. λη λε. καὶ γράφεται διὰ Σμύρνης. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ ιε ι', ἡ δὲ ἰσημερινὴ, μζ ς' ι', ἡ δὲ χειμερινὴ ριδ ς' ι' ιβ. Τρισκαιδέκατος ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιε. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. μ νς. καὶ γράφετο διὰ Ἑλλησπόντου. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, ιη ς', ἡ δὲ ἰσημερινὴ νβ ς', ἡ δὲ χειμερινὴ ρκζ ς' ι'. Τεσσαρεσκαιδέκατός ἐστι παράλληλος, καθ' ὃν ἂν γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιε δ'. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρ. μγ δ'. καὶ γράφεται διὰ Μασαλίας. καὶ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ,

μων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, κϛ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, νε̄ ϛ̄ ϛ̄ ι̇, ἡ δὲ χειμερινὴ, ρμδ̄.
Πεντεκαδέκατός ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιε̄ ϛ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. με̄ ά. Ⓒ γράφεται δὲ μέσου Πόντου. Ⓒ ἔστιν ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, κγ̄ δ̄, ἡ δὲ ἰσημερινὴ τ̄ αὐτῶν ξ̄, ἡ δὲ χειμερινὴ ρνε̄ ι̇. Ἐκκαιδέκατός ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν, ιε̄ ϛ̄ δ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρ. μϛ̄ νά. καὶ γράφεται δὲ τῶν πηγῶν τοῦ Ἴστρου ποταμοῦ. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, κε̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ ξγ̄ ϛ̄ ϛ̄ ι̇, ἡ δὲ χειμερινὴ, ροᾱ ϛ̄. Ἑπτακαιδέκατός ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιϛ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν μη̄ λβ̄. καὶ γράφεται δὲ τῶν ἐκβολῶν Βορυσθένους. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄ τοιούτων ἡ μὲν θερινὴ σκιὰ κζ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, ξζ̄ ϛ̄ ϛ̄, ἡ δὲ χειμερινὴ ρπη̄ ϛ̄ ιβ̄. Ὀκτωκαιδέκατός ἐστι παράλληλος καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιϛ̄ δ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. ν̄, δ̄. καὶ γράφεται δὲ μέσων τῆς Μαιώτιδος λίμνης. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, κθ̄ ϛ̄ ϛ̄ ιβ̄, ἡ δὲ ἰσημερινὴ οᾱ ϛ̄, ἡ δὲ χειμερινὴ ση̄ ϛ̄.
Ἐννεακαιδέκατός ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιϛ̄ ϛ̄. ἀπέχει δὲ οὗτος τοῦ ἰσημερινοῦ, μοιρῶν νᾱ ϛ̄ ϛ̄. Ⓒ γράφεται δὲ τῶν νοτιωτάτων τῆς Βρεττανίας. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, λᾱ ϛ̄ ι̇, ἡ δὲ ἰσημερινὴ, οε̄ ϛ̄ ι̇, ἡ δὲ χειμερινὴ σκθ̄ ϛ̄. Εἰκοστός ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιϛ̄ ϛ̄ δ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν νβ̄ ν̄. καὶ γράφεται δὲ τῶν τοῦ Ῥήνου ἐκβολῶν. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ λγ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, οθ̄ ι̇, ἡ δὲ χειμερινὴ σνγ̄ ϛ̄. Εἰκοστὸς πρῶτος ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιζ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. νδ̄ δ̄. καὶ γράφεται δὲ τῶν τοῦ Τανάϊδος ἐκβολῶν. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ λδ̄ ϛ̄ ϛ̄ ι̇, ἡ δὲ ἰσημερινὴ, πβ̄ ϛ̄ ι̇, ἡ δὲ χειμερινὴ σοη̄ ϛ̄ δ̄.
Εἰκοστὸς δεύτερος ἐστι παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιζ̄ δ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν νε̄. Ⓒ γράφεται δὲ Βριγαντίου τῆς μεγάλης Βρεττανίας. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, λϛ̄ δ̄, ἡ δὲ ἰσημερινὴ πε̄ ϛ̄, ἡ δὲ χειμερινὴ, τδ̄ ϛ̄. Εἰκοστὸς τρίτος ἐστὶ παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιζ̄ ϛ̄. ἀπέχει δ' οὗτος τοῦ ἰσημερινοῦ, μοιρῶν νϛ̄. καὶ γράφεται δὲ μέσης τῆς μεγάλης τῆς Βρεττανίας. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμω ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, λξ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, πη̄ ϛ̄ ϛ̄, ἡ δὲ χειμερινὴ τλε̄ δ̄. Εἰκοστὸς τέταρτος ἐστὶ παράλληλος καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν, ιζ̄ ϛ̄ δ̄. ἀπέχει δὲ οὗτος τοῦ ἰσημερινοῦ, μοιρ. νζ̄. καὶ γράφεται δὲ Κατουρακτονίου τῆς Βρεττανίας. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, λθ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, ηβ̄ ϛ̄ ι̇, ἡ δὲ χειμερινὴ τοβ̄ ι̇. Εἰκοστὸς πέμπτος ἐστὶ παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιη̄. ἀπέχει δὲ οὗτος τοῦ ἰσημερινοῦ μοιρῶν νη̄. Ⓒ γράφετο δὲ τῶν νοτίων τῆς μικρᾶς Βρεττανίας. ἔστι δὲ ἐνταῦθα οἵων ὁ γνώμων ξ̄, τοιούτων ἡ μὲν θερινὴ σκιὰ, μ̄ ϛ̄, ἡ δὲ ἰσημερινὴ, ηϛ̄, ἡ δὲ χειμερινὴ, υιθ̄ ι̇. Εἰκοστὸς ἕκτος ἐστὶ παράλληλος, καθ' ὃν αὖ γένοιτο ἡ μεγίστη ἡμέρα ὡρῶν ἰσημερινῶν ιη̄ ϛ̄. ἀπέχει δὲ οὗτος τοῦ ἰσημερινοῦ, μοιρῶν νθ̄ ϛ̄. Ⓒ γράφεται δὲ τῶν μέσων τῆς μικρᾶς Βρεττανίας. οὐκ ἐγρησάμεθα δὲ ἐνταῦθα τῇ τοῦ δ τῶν ὡρῶν παραυξήσει, διά τε τὸ συνεχεῖς ἤδη γίγνεσθαι τοὺς παραλλήλους. καὶ τὴν τῶν ἐξαρμάτων διαφορὰν μηκέτι μηδεμιᾶς ὅλης μοιρῶν συνάγεσθαι, καὶ διὰ τὸ μὴ ὁμοίως ἡμῖν ἠθὶ τῶν ἔτι βορειοτέρων προσήκειν ἐπεξεργάζεσθαι. διὸ Ⓒ τοὺς τῶν σκιῶν πρὸς τοὺς γνώμονας λόγους, ὡς ἀπὸ ἀφωρισμένων τόπων, πρὶσσὸν ἡγησάμεθα παρατιθέναι. Καὶ ὅπου μὲν τοίνυν ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν ιθ̄, ἐκεῖνος ὁ παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ μοιρῶν ξᾱ. καὶ γράφεται δὲ τῶν βορείων τῆς μικρᾶς Βρεττανίας.
Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν ιθ̄ ϛ̄, ἐκεῖνος ὁ παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν ξβ̄. καὶ γράφεται δὲ τῶν καλουμένων Ἐβούδων νήσων. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν κ̄, ἐκεῖνος ὁ παραλληλος ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν ξγ̄, Ⓒ γράφεται δὲ Θούλης τῆς νήσου. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν, κᾱ, ἐκεῖνος ὁ παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν ξδ̄ ϛ̄. καὶ γράφεται δὲ Σκυθικῶν ἐθνῶν ἀγνώστων. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν κβ̄, ἐκεῖνος ὁ παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ μοιρῶν ξε̄ ϛ̄. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν, ἰσημερινῶν κγ̄. ἐκεῖνος ὁ

παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ, μοιρῶν ξς. Ὅπου δὲ ἡ μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν κδ, ἐκεῖνος ὁ παράλληλος ἀπέχει τοῦ ἰσημερινοῦ μοιρῶν ξς ἡμ. πρῶτος δὲ ἐστιν οὗτος τῶν περισκίων. κατὰ γὰρ μόνην τὴν θερινὴν τροπὴν μὴ δύνοντος ἐκεῖ τοῦ ἡλίου, αἱ σκιαὶ τῶν γνωμόνων ὠθῆ πάντα τὰ τοῦ ὁρίζοντος μέρη, τὰς προσνεύσεις ποιοῦνται. καὶ ἔστιν ἐνταῦθα ὁ μὲν θερινὸς τροπικὸς παράλληλος ἀεὶ φανερός, ὁ δὲ χειμερινὸς τροπικὸς, ἀεὶ ἀφανής, διὰ τὸ ἀμφοτέρους ἐναλλὰξ ἐφάπτεσθαι τοῦ ὁρίζοντος. γίνεται δὲ καὶ ὁ λοξὸς, καὶ διὰ μέσων τῶν ζωδίων κύκλος, ὁ αὐτὸς τοῦ ὁρίζοντι, ὅταν αὐτοῦ τὸ ἐαρινὸν ἰσημερινὸν σημεῖον ἀνατέλλῃ. εἰ δὲ τίς, ἄλλως θεωρίας ἕνεκεν καὶ περὶ τῶν ἔτι βορειοτέρων ἐγκλίσεων ἐπιζητοίη, τινὰ τῶν ὁλοσχερεστέρων συμπτωμάτων, εὕροι ἂν ὅπου τὸ ἔξαρμα τοῦ βορείου πόλου, μοιρῶν ἐστὶν ξζ ἔγγιστα, ἐκεῖ μὴ δυνούσας ὅλως, τὰς ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς τῆς διὰ μέσων ζωδίων κύκλου μοιρὰς ιε. ὥστε τὴν μεγίστην ἡμέραν, καὶ τὴν τῶν σκιῶν ὠθῆ πάντα τὰ μέρη τοῦ ὁρίζοντος περιαγωγὴν, σχεδὸν μηνιαίαν γίνεσθαι. ἔσται γὰρ καὶ ταῦτα εὐκατανόητα, διὰ τοῦ ἐκτεθειμένου κανονίου τῆς λοξώσεως. ὅσας γὰρ ἂν εὕρωμεν τοῦ ἰσημερινοῦ μοιρὰς τὸν παράλληλον ἀπέχοντα, τὸν ἀπολαμβάνοντα λόγου ἕνεκεν ἐφ' ἑκάτερα τοῦ τροπικοῦ σημείου μοιρῶν ιε, γινόμενον δὲ τότε ἤτοι ἀεὶ φανερὸν ἢ ἀεὶ ἀφανῆ, μετὰ τοῦ ἀπολαμβανομένου τμήματος τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, ταῖς τοσαύταις μοιρ. λείψει δηλονότι, τῶν τοῦ τεταρτημορίου τμημάτων λ τὸ ἔξαρμα τοῦ βορείου πόλου. Καὶ ὅπου μὲν τοίνυν τὸ ἔξαρμα τοῦ πόλου, μοιρῶν ἐστιν ξθ ς, ἐκεῖ ἄν τις εὕροι μὴ δυνούσας ὅλως τὰς ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς, μοιρ. λ, ὥστε σχεδὸν ὠθῆ μῆνας ἔγγιστα δύο, τήν τε μεγίστην ἡμέραν, καὶ τοὺς γνώμονας περισκίους γίνεσθαι. Ὅπου δὲ τὸ ἔξαρμα τοῦ πόλου μοιρῶν ἐστιν ογ γ, ἐκεῖ ἄν τις εὕροι μὴ δυνούσας τὰς ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς, μοιρὰς με. ὥστε τήν τε μεγίστην ἡμέραν καὶ τοὺς γνώμονας περισκίους ὠθῆ τρίμηνον ἔγγιστα παρατείνειν. Ὅπου δὲ τὸ ἔξαρμα τοῦ πόλου μοιρ. ἐστιν οη γ, ἐκεῖ ἄν τις εὕροι μὴ δυνούσας τὰς ἐφ' ἑκάτερα τῆς αὐτῆς τροπῆς μοιρὰς ξ. ὥστε τε τραμηνιαίαν σχεδὸν τήν τε μεγίστην ἡμέραν, καὶ τὴν τῶν σκιῶν περιαγωγὴν ἀποτελεῖσθαι.

Ὅπου δὲ τὸ ἔξαρμα τοῦ πόλου, μοιρῶν ἐστιν πδ, ἐκεῖ ἄν τις εὕροι μὴ δυνούσας τὰς ἐφ' ἑκάτερα τῆς θερινῆς τροπῆς μοιρὰς οε. ὥστε πενταμηνιαίαν ἀνάπαλιν σχεδὸν τὴν μεγίστην ἡμέραν γίνεσθαι. καὶ τοὺς γνώμονας τὸν ἴσον χρόνον περισκίους. Ὅπου δὲ τὰς ὅλου τοῦ τεταρτημορίου μοιρ. λ ὁ βόρειος πόλος ἀπὸ τοῦ ὁρίζοντος ἐξῆρται, ἐκεῖ τὸ μὲν βορειότερον τοῦ ἰσημερινοῦ ἡμικύκλιον τοῦ διὰ μέσων τῶν ζωδίων ὅλον οὐδέποτε ὑπὸ γῆν γίνεται, τὸ δὲ νοτιώτερον ὅλον οὐδέποτε ὑπὲρ γῆν. ὥστε μίαν μὲν ἡμέραν ἑκάστου ἔτους γίνεσθαι, μίαν δὲ νύκτα, ἑκατέραν ἔγγιστα ἑξαμηνιαίαν. τοὺς δὲ γνώμονας πάντοτε περισκίους τυγχάνειν. ἴδια δὲ ἐστι καὶ τῆς τοιαύτης ἐγκλίσεως τότε τὸν βόρειον πόλον κατὰ κορυφὴν γίνεσθαι, καὶ τὸν ἰσημερινὸν, τήν τε τοῦ ἀεὶ φανεροῦ, καὶ τὴν τοῦ ἀεὶ ἀφανοῦς, καὶ ἔτι τὴν τοῦ ὁρίζοντος θέσιν ἀπολαμβάνειν, ὑπὲρ γῆς μὲν ποιοῦντα πάντοτε τὸ βορειότερον ἑαυτοῦ παῦ ἡμισφαίριον, ὑπὸ γῆν δὲ τὸ νοτιώτερον.

ΠΕΡΙ ΤΩΝ ΕΠΙ ΤΗΣ ΕΓΚΕΚΛΙΜΕΝΗΣ ΣΦΑΙΡΑΣ, ΤΟΥ διὰ μέσων τῶν ζωδίων κύκλου, καὶ τοῦ ἰσημερινοῦ συναναφορῶν.

Ἐκτεθειμένων δὴ τῶν καθόλου περὶ τὰς ἐγκλίσεις θεωρουμένων, ἑξῆς ἂν εἴη δεῖξαι, πῶς ἂν λαμβάνοιντο καθ' ἑκάστην ἔγκλισιν, καὶ οἱ συναναφερόμενοι τοῦ ἰσημερινοῦ χρόνοι, ταῖς τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου περιφερείαις, ἀφ' ὧν καὶ τὰ ἄλλα πάντα τῶν κατὰ μέρος ἀκολούθως ἡμῖν μεθοδευθήσεται. καταχρησόμεθα μέντοι ταῖς τῶν ζωδίων ὀνομασίαις καὶ ἐπ' αὐτῶν τῶν τοῦ λοξοῦ κύκλου δωδεκατημορίων, καὶ ὡς τῶν ἀρχῶν αὐτῶν, ἀπὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων λαμβανομένων. τὸ μὲν ἀπὸ τῆς ἐαρινῆς ἰσημερίας, ὡς εἰς τὰ ἑπόμενα τῆς τῶν ὅλων φορᾶς πρῶτον δωδεκατημόριον, κριὸν καλοῦντες, τὸ δὲ δεύτερον ταῦρον. καὶ ὠθῆ τῶν ἑξῆς ὡσαύτως, κατὰ τὴν παραδεδομένην ἡμῖν τάξιν τῶν ιβ ζωδίων. δείξομεν δὲ πρῶτον ὅτι αἱ ἴσον ἀπέχουσαι τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου περιφέρειαι, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, ταῖς ἴσαις ἀεὶ τοῦ ἰσημερινοῦ κύκλου περιφερείαις συναναφέρονται. ἔστω γὰρ μεσημβρινὸς μὴ κύκλος ὁ αβγδ, ὁρίζοντος δὲ ἡμικύκλιον τὸ βεδ, τοῦ δὲ ἰσημερινοῦ τὸ αεγ, καὶ τοῦ λοξοῦ κύκλου δύο τμήματα τό τε ζη, καὶ τὸ θκ, ὥστε ἑκάτερον μὲν τῶν ζ καὶ θ σημείων, τὸ κατὰ τὴν ἐαρινὴν ἰσημερίαν ὑποκεῖσθαι. ἴσας δὲ ἐφ' ἑκάτερα

ἑκάτερα αὐτοῦ περιφερείας ἀποληφθείσας, τὰς ζη̄ ⲥ̄ θκ̄, διὰ τῶν κ̄ καὶ η̄ σημείων ἀναφέρεσθαι, λέγω ὅτι ⲥ̄ αἱ ἑκάτεραι αὐτῶν συναναφερόμεναι τοῦ ἰσημερινοῦ περιφέρειαι, τουτέστιν αἱ ζε̄ καὶ θε̄, ἴσαι εἰσίν. ἔστωσαν γὰρ τῶν τοῦ ἰσημερινοῦ πόλων, τὰ λ̄ καὶ μ̄ σημεῖα. ⲥ̄ γεγράφθωσαν δ' αὐτῶν μεγίστων κύκλων τμήματα, τό τε λεμ̄ ⲥ̄ λθ̄, καὶ ἔτι τό τε λκ̄ ⲥ̄ ζμ̄ καὶ μη̄. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ζη̄ τῇ θκ̄, καὶ οἱ διὰ τῶν κ̄ ⲥ̄ η̄ γραφόμενοι παράλληλοι, ἴσον ἀπέχουσιν ἐφ' ἑκάτερα τοῦ ἰσημερινοῦ, ὥστε καὶ τὴν μὲν λκ̄ τῇ μη̄ γίνεσθαι ἴσην, τὴν δὲ εκ̄ τῇ εη̄. ἰσόπλευρα ἄρα γίνεται τὸ ΜΛ λκθ̄, τῷ μηζ̄, τὸ δὲ λεκ̄, τῷ μεη̄. ⲥ̄ ἡ ΜΛ ὑπὸ κλε̄ ἄρα γωνία, ἴση ἐστὶ τῇ ὑπὸ ημε̄, ἡ δὲ ὑπὸ κλθ̄, ὅλη τῇ ὑπὸ ημζ̄ ὅλῃ, ὥστε καὶ λοιπὴ ἡ ὑπὸ ελθ̄, λοιπῇ τῇ ὑπὸ εμζ̄ ἴση ἔσται. ⲥ̄ βάσις ἄρα ἡ εθ̄, βάσει τῇ εζ̄ ἴση ἐστὶν, ὅπερ ἔδει δεῖξαι. πάλιν δὲ δείξομεν ὅτι αἱ συναναφερόμεναι τοῦ ἰσημερινοῦ περιφέρειαι ταῖς ἴσαις καὶ ἴσον ἀπεχούσαις, τοῦ αὐτοῦ τροπικοῦ σημείου, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου συναμφοτέραις αὐτῶν, ταῖς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφοραῖς, ἴσαι εἰσίν. ἐκκείσθω γὰρ ὁ αβγδ̄ μεσημβρινὸς, ⲥ̄ τῶν ἡμικυκλίων τό τε βεδ̄ τοῦ ὁρίζοντος, καὶ τὸ αεγ̄ τοῦ ἰσημερινοῦ. καὶ γεγράφθωσαν δύο ἴσαι τε καὶ ἴσον ἀπέχουσαι τοῦ χειμερινοῦ σημείου, τοῦ λοξοῦ κύκλου περιφέρειαι, ἥτε ζη̄, τοῦ ζ̄ ὑποκειμένου μετοπωρινοῦ σημείου, ⲥ̄ ἡ θη̄, τοῦ θ̄ ὑποκειμένου ἐαρινοῦ σημείου, ὥστε καὶ τὸ μὲν η̄ σημεῖον κοινὸν τῆς ἀνατολῆς αὐτῶν εἶναι, ⲥ̄ τοῦ ὁρίζοντος, διὰ τὸ ὑπὸ τοῦ αὐτοῦ παραλλήλου κύκλου τοῦ ἰσημερινῷ, περιλαμβάνεσθαι τὰς ζη̄, καὶ θη̄ περιφερείας, συναναφέρεσθαι δὲ δηλονότι τῆς ΜΛ θε̄, τῇ θη̄, τῆς δὲ εζ̄, τῇ ζη̄. φανερὸν οὖν γίνεται αὐτόθεν ὅτι ⲥ̄ ὅλη ἡ θεζ̄, ἴση ἐστὶ ταῖς ἐπ' ὀρθῆς τῆς σφαίρας, τῶν ζη̄ ⲥ̄ θη̄ ἀναφοραῖς. ἐὰν γὰρ ὑποθέμενοι τὸν νότιον τοῦ ἰσημερινοῦ πόλον τὸ κ̄ σημεῖον, γράψωμεν δι' αὐτοῦ, καὶ τοῦ η̄ μεγίστου κύκλου τεταρτημόριον, τὸ κηλ̄, ἰσοδυναμοῦν τοῦ ἐπ' ὀρθῆς τῆς σφαίρας ὁρίζοντι, γίνεται πάλιν ἡ ΜΛ θλ̄, ἡ συναναφερομένη τῇ θη̄ ἐπ' ὀρθῆς τῆς σφαίρας, ἡ δὲ λζ̄ ἡ συναναφερομένη τῇ ζη̄ ὁμοίως. ὥστε καὶ συναμφοτέρας τὰς θλζ̄ συναμφοτέραις ταῖς θεζ̄, ἴσας τε εἶναι καὶ ὑπὸ μιᾶς καὶ τῆς αὐτῆς περιέχεσθαι τῆς θζ̄, ὅπερ ἔδει δεῖξαι. καὶ γέγονεν ἡμῖν φανερὸν διὰ τούτων ὅτι καὶ ἐφ' ἑνὸς μόνου τεταρτημορίου, καθ' ἑκάστην ἔγκλισιν, τὰς κατὰ μέρος συναναφορὰς ἐπιλογισώμεθα, προσαποδεμένας ἕξομεν, καὶ τὰς τῶν λοιπῶν τριῶν τεταρτημορίων. τούτων οὖν οὕτως ἐχόντων, ὑποκείσθω πάλιν ὁ διὰ Ῥόδου παράλληλος, ὅπου ἡ ΜΛ μεγίστη ἡμέρα ὡρῶν ἐστὶν ἰσημερινῶν ῑ δς, ὁ δὲ βόρειος πόλος ἐστῆρ τοῦ ὁρίζοντος μοιρ. λς̄. καὶ ἔστω μεσημβρινὸς κύκλος ὁ αβγδ̄. καὶ ὁρίζοντος ΜΛ ὁμοίως ἡμικύκλιον τὸ βεδ̄, ἰσημερινοῦ δὲ τὸ αεγ̄, τοῦ δὲ διὰ μέσων τῶν ζωδίων τὸ ζηθ̄, οὗτος ἔχον, ὥστε τὸ η̄ ὑποκεῖσθαι τὸ ἐαρινὸν σημεῖον. καὶ ληφθέντος τοῦ βορείου πόλου τοῦ ἰσημερινοῦ, κατὰ τὸ κ̄ σημεῖον, γεγράφθω δι' αὐτοῦ ⲥ̄ τῆς κατὰ τὸ λ̄ τομῆς τοῦ τε διὰ μέσων τῶν ζωδίων κύκλου, ⲥ̄ τοῦ ὁρίζοντος μεγίστου κύκλου τεταρτημόριον τὸ κλμ̄. προκείσθω δὲ τῆς ηλ̄ περιφερείας δοθείσης, τὴν συναναφερομένην αὐτῇ τοῦ ἰσημερινοῦ, τουτέστι τὴν εη̄ εὑρεῖν. καὶ περιεχέτω πρῶτον ἡ ηλ̄ τὸ τοῦ κριοῦ δωδεκατημόριον. ἐπεὶ τοίνυν ἐν καταγραφῇ μεγίστων κύκλων, εἰς δύο τὰς εγ̄ καὶ γκ̄, γεγραμμέναι εἰσὶν ἥτε εδ̄ καὶ ἡ κμ̄, τέμνουσαι ἀλλήλας κατὰ τὸ λ̄, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς κδ̄ πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς δγ̄ λόγος, συνῆπται, ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς κλ̄, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς λμ̄. καὶ





τοῦ τῶν ὑπὸ τὴν διπλῆν τῆς με, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς εγ. ἀλλ' ἡ μὲν τῆς κδ διπλῆ, μοιρῶν ἐστιν οβ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων ο λβ δ, ἡ δὲ τῆς γδ μοιρῶν ρη, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων ηζ δ νς. καὶ πάλιν ἡ μὲν διπλῆ τῆς κλ, μοιρῶν ρνς μα, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων ριζ λα ιε, ἡ δὲ διπλῆ τῆς λμ, μοιρῶν κγ ιθ νθ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα τμημάτων κδ ιε νζ. ἐὰν ἄρα ἀπὸ τῶν ολ β δ πρὸς τὰ ηζ δ νς λόγου, ἀφέλωμεν τὸν τῶν ριζ λα ιε πρὸς τὰ κδ ιε νζ, καταλειφθήσεται ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς με, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς εγ λόγος, ὁ τῶν ιη ο ε, πρὸς τὰ ρκ. καὶ ἔστιν ἡ ὑπὸ τὴν διπλῆν τῆς εγ τμημάτων ρκ. ἡ ἄρα ὑπὸ τὴν διπλῆν τῆς με, τῶν αὐτῶν ἐστιν ιη ο ε. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς με περιφερείας, μοιρῶν ἔσται ιζ ις ἔγγιστα, αὐτῆ δὲ ἡ με, τῶν αὐτῶν η λη. ἀλλ' ἐπεὶ ὅλη ἡ ημ περιφέρεια, τῇ ηλ ἐπ' ὀρθῆς τῆς σφαίρας συναναφέρεται, τῶν προαποδεδειγμένων ἐστὶ μοιρῶν κζ ν. καὶ λοιπὴ ἄρα ἡ εη, μοιρῶν ἐστι ιθ ιβ. καὶ συναποδέδεικτο, ὅτι καὶ τὸ μὲν τῶν ἰχθύων δωδεκατημόριον τοῖς αὐτοῖς χρόνοις συναναφέρεται ιθ ιβ. ἑκάτερον δὲ τότε τῆς παρθένου καὶ τῶν χηλῶν τοῖς λείπουσιν, εἰς τῆς διπλῆν τῆς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορὰν χρόνοις λς κη, ὅπερ ἔδει. πάλιν ἡ ηλ περιφέρεια περιεχέτω τῶν δύο δωδεκατημορίων τοῦ τε κριοῦ καὶ τοῦ ταύρου, μοιρῶν ξ. διὰ δὴ τὰ ὑποκείμενα τῶν ἄλλων μενόντων τῶν αὐτῶν, ἡ μὲν διπλῆ τῆς κλ μοιρῶν γίνεται ρλη νθ μβ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα, τμημάτων ριβ κγ νς, ἡ δὲ διπλῆ τῆς λμ μοιρῶν μα θ ιη, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα, τμημάτων μβ α μη. ἐὰν ἄρα πάλιν ἀπὸ τῶν τῶν ο λβ δ πρὸς τὰ ηζ δ νς λόγου, ἀφέλωμεν τὸν τῶν ριβ κγ νς, πρὸς τὰ μβ α μη, καταλειφθήσετο ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς με, πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς εγ λόγος, ὁ τῶν λβ λς δ πρὸς τὰ ρκ. καὶ ἔστιν ἡ ὑπὸ τῆς διπλῆν τῆς εγ, τμημάτων ρκ, ἡ ἄρα ὑπὸ τῆς διπλῆν τῆς με, τῶν αὐτῶν ἐστι λβ λς δ. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς με περιφερείας μοιρ. ἐστι λα λβ ἔγγιστα, αὐτὴ δὲ ἡ με τῶν αὐτῶν ιε μς. ἀλλὰ ἡ μη ὅλη κατὰ τὰ αὐτὰ προαπεδείχθη μοιρ. νζ μδ, καὶ λοιπὴ ἄρα ἡ ηε, μοιρ. ἐστι μα νη. ὁ ἄρα κριὸς καὶ ὁ ταῦρος ἀναφέροντο συναμφοτέρους ἐν χρόνοις μα νη. ὧν ὁ κριὸς ἐδείχθη συναναφερόμενος χρόνοις ιθ ιβ, καὶ μόνον ἄρα τὸ τῶν ταύρου δωδεκατημόριον συναναφέρετο χρόνοις κβ μς. διὰ τὰ αὐτὰ δὲ πάλιν καὶ τὸ μὲν τῶν ὑδροχόου δωδεκατημόριον, συναναγενεχθήσεται τοῖς ἴσοις χρόνοις κβ μς. ἑκάτερον δὲ, τότε τῶν λέοντος, καὶ τὸ τῶν σκορπίου τοῖς λείπουσιν εἰς τῆς διπλῆν τοῖς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορὰν χρόνοις λζ β. ἐπεὶ δὲ καὶ ἡ μὲν μεγίστη ἡμέρα ὡρῶν ἐστιν ἰσημερινῶν ιδς, ἡ δὲ ἐλαχίστη θς, δῆλον ὅτι καὶ τὸ μὲν ἀπὸ καρκίνου μέχρι τῶν τοξότου ἡμικύκλιον, συναγενεχθήσετο τῶν ἰσημερινοῦ χρόνοις σ ιζ λ. τὸ δὲ ἀπὸ αἰγόκερω μέχρι διδύμων, χρόνοις ρμβ λ. ὥστε καὶ ἑκάτερον μὲν τῶν ἑκατέρωθεν τῶν ἐαρινοῦ σημείου τεταρτημορίων, συναγενεχθήσετο χρόνοις οα ιε. ἑκάτερον δὲ τῶν ἑκατέρωθεν τῶν μεταπωρινοῦ σημείου χρόνοις, χρόνοις ρη με. καὶ λοιπὸν μὲν ἄρα τότε τῶν διδύμων καὶ τὸ τῶν αἰγόκερω δωδεκατημόριον, ἑκάτερον συναγενεχθήσετο χρόνοις κθ ιζ. τοῖς λείπουσιν εἰς ἀπὸ τῶν τεταρτημορίου χρόνους οα ιε, λοιπὸν δὲ τότε τῶν καρκίνου καὶ τὸ τῶν τοξότου ἑκάτερον, χρόνοις λε ιε. τοῖς λείπουσι πάλιν εἰς ἀπὸ καὶ τοῦτο τῶν τεταρτημορίου χρόνους ρη με. καὶ φανερὸν ὅτι τὸν αὐτὸν ἂν τρόπον τούτοις λαμβάνοιμεν καὶ τὰς τῶν ἐλαττόνων τμημάτων, τῶν διὰ μέσων τῶν ζωδίων κύκλου συναναπολάς. ἔτι δ' ἂν εὐχρηστότερον καὶ μεθοδικώτερον αὐτὰς ἐπιλογιζώμεθα, καὶ οὕτως. ἔστω γὰρ πρῶτον μεσημβρινὸς κύκλος, ὁ αβγδ, καὶ ὁρίζοντος μὲν ἡμικύκλιον, τὸ βεδ, ἰσημερινοῦ δὲ τὸ αεγ, τῶν δὲ διὰ μέσων τῶν ζωδίων τὸ ζεη, τῆς ε τομῆς κατὰ τὸ ἐαρινὸν σημεῖον ὑποκειμένης. καὶ ἀπολαφθείσης ἐπ' αὐτοῦ τῆς εθ περιφερείας τυχούσης, γεγράφθω τμῆμα τοῦ διὰ τοῦ θ παραλλήλου, τοῦ ἰσημερινῷ κύκλῳ τὸ θκ, καὶ ληφθέντος τῶν λ πόλου τῶν ἰσημερινοῦ, γεγράφθω δι' αὐτοῦ τεταρτημόρια μεγίστων κύκλων τὸ λθμ, καὶ τὸ λκν, καὶ ἔτι τὸ λε. φανερὸν τοίνυν αὐτόθεν ἐστὶν, ὅτι τὸ εθ τμῆμα, τοῦ διὰ μέσων τῶν ζωδίων, ὧν μὲν ὀρθῆς τῆς σφαίρας, τῇ εμ περιφερείᾳ τῶν ἰσημερινοῦ συναναφέρετο, ὧν δὲ τῆς ἐγκεκλιμένης, τῇ ἴσῃ τῇ νμ. ἐπειδήπερ ἡ μὲν κθ τῶν παραλλήλου περιφέρεια ἢ συναναφέρετο τὸ εθ τμῆμα, ὅμοιά ἐστι τῇ νμ τῶν ἰσημερινοῦ, αἱ δ' ὅμοιαι περιφέρειαι τῶν παραλλήλων ἐν ἴσοις πανταχὴ χρόνοις ἀναφέροντο, καὶ τῇ εν ἄρα περιφερείᾳ ἐλάσσων



ἐστὶν





ἐστὶν ἡ ὠθὶ τῆς ἐγκεκλιμένης σφαίρας, τοῦ εθ τμήματος ἀναφορὰ τῆς ἐπ' ὀρθῆς τῆς σφαίρας. δέδεικται τε ὅτι καὶ καθόλου, ἐὰν γραφῶσι τινὲς οὕτως περιφέρειαι μεγίστων κύκλων, ὡς ἡ λθμ, καὶ λκν, τὸ εν τμῆμα περιέξει, τῆς ὑπεροχὴν τοῦ ἐπί τε τῆς ὀρθῆς καὶ τῆς ἐγκεκλιμένης σφαίρας ἀναφορῶν, τοῦ ἀπολαμβανομένων τοῦ διὰ μέσων τοῦ ζωδίων κύκλου περιφερειῶν, ὑπό τε τοῦ ε καὶ τοῦ γραφομένου, διὰ τοῦ κ παραλλήλου, ὅπερ ἔδει δεῖξαι. τούτου προθεωρηθέντος, ἐκκείσθω ἡ καταγραφὴ, μόνων τοῦ τε μεσημβρινοῦ, καὶ τοῦ τοῦ ὁρίζοντος, καὶ τοῦ ἰσημερινοῦ ἡμικυκλίων, καὶ διὰ τοῦ ζ νοτίου πόλου τοῦ ἰσημερινοῦ, γεγράφθω δύο τεταρτημόρια μεγίστων κύκλων, τότε ζηθ, καὶ τὸ ζκλ. ὑποκείσθω δὲ τὸ μη σημεῖον τὸ κοινὸν τοῦ διὰ τοῦ χειμερινοῦ τροπικοῦ σημείου γραφομένου παραλλήλου, καὶ τοῦ ὁρίζοντος, τὸ δὲ κ τὸ κοινὸν τοῦ γραφομένου διὰ τῆς ἀρχῆς λόγου ἕνεκεν τοῦ ἰχθύων, ἢ καὶ ἄλλου τινὸς τοῦ τοῦ τεταρτημορίου τμημάτων δεδομένου. εἰς δύο δὴ πάλιν μεγίστων κύκλων περιφερείας τὰς ζθ καὶ εθ, γεγραμμέναι εἰσὶν ἥτε ζκλ καὶ ἡ εκη, τέμνουσαι ἀλλήλας κατὰ τὸ κ. καὶ ἔστιν ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς θη, πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς ζη λόγος, ὁ συνημμένος ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς θε, πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς ελ, καὶ ἐκ τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς κλ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς κζ. ἀλλ' ἐν πάσαις ταῖς ἐγκλίσεσιν ἥτε διπλῆ τῆς θη περιφερείας ἡ αὐτὴ δέδοτε. ἔστι γὰρ ἡ μεταξὺ τοῦ τροπικῶν, καὶ διαιρεῖτο καὶ λοιπὴ ἡ διπλῆ τῆς ηζ. καὶ ὁμοίως ὠθὶ τοῦ αὐτῶν τῶν διὰ μέσων τοῦ ζωδίων τμημάτων, ἥτε τῆς λκ περιφερείας διπλῆ κατὰ πάσας τὰς ἐγκλίσεις ἐστὶν ἡ αὐτή. καὶ δίδοτε διὰ τοῦ τῆς λοξώσεως κανονίου. καὶ λοιπὴ διαιρεῖτο πάλιν ἡ διπλῆ τῆς κζ. ὥστε καὶ τὸ τῆς ὑπὸ τῆς διπλῆν τῆς θε πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς ελ καταλείπεσθαι λόγον, τὸ αὐτὸν ἐν πάσαις ταῖς ἐγκλίσεσιν ὠθὶ τοῦ αὐτῶν τοῦ τεταρτημορίου τμημάτων. ἐὰν δὴ τούτων οὕτως ἐχόντων, τῆς τῆς κλ περιφερείας διαφορὰν, διὰ δέκα τμημάτων τοῦ ἀπὸ τῆς ἐαρινῆς ἰσημερίας, ὡς πρὸς τὸ χειμερινὸν τροπικὸν τεταρτημορίου παραυξήσωμεν, τῆς μέχρι τοῦ τηλικούτων περιφερειῶν διαιρέσεως, αὐτάρκους κατὰ τῆς χρῆσιν ἐσομένης, τῆς μη τῆς θη περιφερείας διπλῆν ἕξομεν πάντοτε μοιρ. μζ μβ μ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων μη λα νε. τῆς δὲ τῆς ηζ διπλῆν μοιρ. ρλβ ιζ κ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν, τμημάτων ρθ μδ νγ. ὡσαύτως δὲ καὶ ὠθὶ μη τῆς δεκαμοιρίαν ἀπεχούσης τοῦ ἐαρινοῦ σημείου, ὡς πρὸς τὸ χειμερινὸν τροπικὸν περιφερείας, τῆς μη τῆς κλ διπλῆν μοιρῶν η, γ ις, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων η κε λθ, τῆς δὲ τῆς κζ διπλῆν μοιρῶν ροα νς μδ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ριθ μβ ιδ. ἐπὶ δὲ τῆς κ μοιρῶν ὡσαύτως ἀπεχούσης περιφερείας, τῆς μη τῆς κλ διπλῆν μοιρῶν ιε νδ ς, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ις λε νς. τῆς δὲ τῆς κζ διπλῆν μοιρ. ρξδ ε νδ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων ριη ν μζ. ὠθὶ δὲ τῆς λ μοιρ. ἀπεχούσης περιφερείας, τῆς μη τῆς λκ διπλῆν μοιρῶν κγ ιθ νη. καὶ τὴν ὑπὸ αὐτὴν εὐθεῖα, τμημάτων κδ ιε νς. τῆς δὲ τῆς κζ διπλῆν μοιρῶν ρνς μα, καὶ τῆς ὑπ' αὐτὴν εὐθεῖαν, τμημάτων ριζ λα ιε. ὠθὶ δὲ τῆς μ μοιρ. ἀπεχούσης περιφερείας, τῆς μη τῆς λκ διπλῆν μοιρῶν λ η η, καὶ τῆς ὑπ' αὐτὴν εὐθεῖαν, τμημάτων λα ια μγ, τῆς δὲ τῆς κζ διπλῆν, μοιρ. ρμθ να νβ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων, ριε νβ ιθ. ὠθὶ δὲ τῆς ν μοιρῶν ἀπεχούσης περιφερείας, τῆς μη τῆς λκ διπλῆν, μοιρ. λς ε μς, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν τμημάτων λζ ι λθ, τῆς δὲ τῆς κζ διπλῆν, μοιρῶν ρμγ νδ ιδ, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν, τμημάτων ριδ ε μδ. ὠθὶ δὲ τῆς ξ μοιρ. ἀπεχούσης περιφερείας, τῆς μη τῆς λκ διπλῆν μοιρ. μα ο ιη, καὶ τῆς ὑπὸ αὐτὴν εὐθεῖαν, τμημάτων μβ α μη. τῆς δὲ τῆς κζ διπλῆν, μοιρ. ρλη νθ μβ, καὶ τῆς ὑπ' αὐτὴν εὐθεῖ

αμ τμημάτων ριβ κέ νξ. ὧν ἡ τ ο μοιρῶν ἀπεχούσης περιφερείας, τῆ μ τ λκ διπλῶ, μοιρ. μδ μ κβ, ᾧ τῆ ὑπ' αὐτὸν δυθείαν, τμημάτων με λς ιθ, τῆ δὲ τ κζ διπλῶ, μοιρῶν ρλε ιθ λή, ᾗ τῆ ὑπ' αὐτὸν δυθείαν, τμημάτων ρι νθ μζ. ὧν δὲ τ π μοιρ. ἀπεχούσης περιφερείας, τῆ μ τ λκ διπλῶ, μοιρ. μ νς λβ, ᾧ τῶν ὑπ' αὐτὸν δυθεῖαν τμημάτων μζ μ, τῆ δὲ ρ κζ διπλῶ, μοιρῶν ρλ ε κή, ᾗ τῆ ὑπ' αὐτὸν δυθείαν, τμημάτων ριδ ις. ᾗ διὰ τὰ προκείμενα ἐὰν ἀπὸ τ ρ ὑπὸ τὸν διπλῆν τ θ, πρὸς τὸν ὑπὸ τῆ διπλῆν τῆς κζ λόγου, τοῦτ' ἔστι τὸν τῶν μη λά νε πρὸς τὰ ρθ μό νί, ἀφελόμενον ἑκάστου τῶν ᾗ ἐκκειμένων ρ ὑπὸ τὸν διπλῆν τῆς λκ πρὸς τὸν ὑπὸ τὸν διπλῆν τῆς κζ λόγον, λαταλειφθήσεται ἡμῖν κατὰ τῆς ὑπὸ τὸν διπλῆν τῆς θ πρὸς τὸν ὑπὸ τὸν διπλῆν ρ ε λόγος, ᾗ πάσας τὰς ἐγκλίσεις ὁ αὐτὸς ἔχει τῶν ξ. ὧδε μὲν τῆς ι μοιρῶν ὡς ἔφαμεν ἀπεχούσης περιφερείας, πρὸς τὰ θ λέ, ὧν δὲ τῆς κ, πρὸς τὰ ιθ νζ, ὧδε δὲ τῆς λ, πρὸς τὰ κθ ά, ὧν δὲ τῆς μ πρὸς τὰ λς λέ, ὧδε δὲ τῆς ν, πρὸς τὰ μδ ιδ, ὧν δὲ τῆς ξ, πρὸς τὰ ν μό, ὧδε δὲ ρ ο, πρὸς τὰ νε μέ. ὧν δὲ ρ π, πρὸς τὰ νθ νε. φανερὸν ἂν αὐτόθεν ὅτι καὶ λαθ' ἑκάστην τῶν ἐγκλίσεων διεσταλμένην ἔχοντος τὸν διπλῆν ρ θ περιφερείας, ἐπεισπορ ζοῦσι μ ὃν μοιρῶν, ὅσοις ὑπερέχει χρόνοις τὸν ἐλαχίστην ἡμέραν ἡ ἰσημερινή, ᾧ τὸν ὑπ' αὐτὸν δυθεῖαν, τόν τε λόγον ταύτης, ὃν πρὸς τὸν ὑπὸ τὸν διπλῆν τῆς ελ, ἕξομεν καὶ αὐτὴν διεσταλμένην, καὶ τὴν διπλῆν τῆς ελ περιφερείας. ἧς τὴν ἡμίσειαν ζητοῦσιν αὐτὴν τὴν ελ περιεχουσαν τῆ προειρημένην ὑπεροχήν, ἀφελόντος ἀεὶ τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας ᾗ ἐκκειμένης τὸ διὰ μέσων περιφερείας ἀναφορῶν, τὴν ᾗ τῷ ὑποκειμένῳ κλίματι τῆς αὐτῆς περιφερείας ἀναφορὰν εὑρήσομεν. ἐκκείσθω γὰρ ὑπόδειγματος χάριν πάλιν ἡ κλίσις τοῦ διὰ ῥόδου παραλλήλου, καθ' ὃν ἡ μὲν διπλῆ τῆς εθ περιφερείας μοιρῶν ἐστι λζ λ, ἧσ ὑπ' αὐτὴν δυθεῖα, τμημάτων λη λό ἐγγίσα. ἐπεὶ οὖν ὁ αὐτὸς λόγος ἐστὶ τῶν ξ, πρὸς τὰ λη λό, ᾧ τῶν μὲν θ λζ πρὸς τὰ ς ή, τῶν δὲ ιη νζ πρὸς τὰ ιβ ιά, τῶν δὲ κη ά πρὸς τὰ ιη ο, τῶν δὲ λς λζ, πρὸς τὰ κζ κθ, τῶν δὲ μδ ιβ, πρὸς τὰ κη κε, τῶν δὲ ν μό πρὸς τὰ λβ λζ, τῶν δὲ νε μέ, πρὸς τὰ λε νβ, τῶν δὲ νη νε, πρὸς τὰ λζ νβ, γίνεται κὴ ἡ μὲν ὑπὸ τὴν διπλῆν τῆς ελ περιφερείας καθ' ἑκάστην τῶν ι μοιρῶν, ὑπεροχὴν τῶν ἐκκειμένων οἰκείως τμημάτων. ἡ δὲ ἡμισεια ᾗ ὑπ' αὐτὴν περιφερείας τοῦτ' ἔσιν αὐτὴ ἡ ελ μοιρῶν ὧν μὲν τῆς πρώτης διεκαμοιρίας β νς, ὧδε δὲ ᾗ δευτέρας ε ν, ὧν δὲ τῆς τρίτης, η λή, ὧν δὲ τῆς τετάρτης ια ιζ, ὧδε δὲ τῆς πέμπτης, ιζ μβ, ὧν δὲ ᾗ ἕκτης, ιε μέ, ὧδε δὲ τῆς ἑβδόμης, ιζ κή, ὧν δὲ τῆς ὀγδόης, ιη κδ, καὶ ὧδε τῆς φαινομένης δὲ διηνύοτι αὐτῶν τῶν ιη με. ὥστε ἐπειδὴ καὶ ἐπ' ὀρθῆς τῆς σφαίρας, ἡ μὲν μέχρι ᾗ πρώτης διεκαμοιρίας περιφέρεια, σωαναφέρεται χρόνοις θ ί, ἡ δὲ μέχρι τῆς δευτέρας, ιη κε, ἡ ἢ μέχρι τῆς τρίτης κζ ν, ἡ δὲ μέχρι ᾗ τετάρτης, λζ λ, ἡ ἢ μέχρι τῆς πέμπτης μζ κή, ἡ δὲ μέχρι τῆς ἕκτης, νζ μό, ἡ ἢ μέχρι τῆς ἑβδόμης, ξυ ιή, ἡ δὲ μέχρι τῆς ὀγδόης σθ ι, ἡ δὲ μέχρι ᾗ φαινάτης, οἷς ὅλον τὸ τεταρτημόριον χρόνοις λή, φανερὸν ὅτι καὶ ἀφελομένων ἀφ' ἑκάστης τῶν ἐκκειμένων ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορῶν τὴν οἰκειαν πολικότητα, τὸ ᾗ τὴν ελ περιφέρειαν ὑπεροχῆς, ἕξομεν ᾧ τὰς φαινομένας ὑποκειμένῳ κλίματι, τῶν αὐτῶν ἀναφορὰς. ᾧ σωανενεχθήσεται ἡ μὲν μέχρι ᾗ πρώτης διεκαμοιρίας περιφέρεια οἷς λοιποῖς χρόνοις ε ιό, ἡ δὲ μέχρι τοῦ διὰ ῥόδου, ιβ λε, ἡ ἢ μέχρι τοῦ πρώτης, ιθ ιβ, ἡ ἢ μέχρι τοῦ τετάρτης κς ιζ, ἡ ἢ μέχρι τοῦ πέμπτης λζ μς, ἡ ἢ μέχρι τοῦ ἕκτης μα νή, ἡ ἢ μέχρι τοῦ ἑβδόμης ν νό, ἡ ἢ μέχρι τοῦ ὀγδόης, ξ μά, ἡ δὲ μέχρι ᾗ φαινάτης τοῦτ' ἔσιν ὅλου τοῦ τεταρτημορίου, οἷς ἐκ τῆς ἡμισείας τὸ μεγέθους ᾗ ἡμέρας, σωαγομένοις χρόνοις οα ιε. ᾧ αὐτῶν ἄρα τῶν διεκαμοιρῶν, ἡ μὲν πρώτη, σωανενεχθήσεται χρόνοις ε ιό, ἡ δὲ διὰ ῥόδου, ε κά, ἡ δὲ τρίτη ε λζ, ἡ δὲ τετάρτη, ζ ά, ἡ δὲ πέμπτη, ζ λζ, ἡ δὲ ἕκτη, ηι β, ἡ δὲ ἑβδόμη, η νε, ἡ δὲ ὀγδόη, θ μή, ἡ δὲ φαινάτη, ι λό. ὧν ἀποδιεσταλμένων, αὐτόθεν ἔσονται πάλιν διὰ τὰ προτεθεωρημένα σωαποδιεσταλμέναι καὶ αἱ τῶν λοιπῶν τεταρτημορίων κατὰ τὸν ἀκόλουθον ἀναφορά. χρὴ οὖν ὧδε τρόπον, ἐπιλογισάμενος ᾧ τὰς τῶν ἄλλων παραλλήλων ἐφ' ἑκάστην διεκαμοιρίαν ἀναφορὰς, ἐφ' ὅσους γε τὸν ὑπὲρ ἡμᾶς χρῆσιν ᾖ διήκειν φθαίνειν, ἐκθησόμεθα ταύτας καθολικῶς πρὸς τὸ ὧδε τὰ λοιπὰ μεθοδικῶς. ἀρχόμενοι μὲν ἀεὶ τοῦ ἀπὸ τοῦ ἰσημερινοῦ, φθαίνοντος δὲ μέχρι τοῦ τοιούτου ὡρῶν ιζ τὸν μεγίστην ἡμέραν. ᾧ τὸ παραύξησιν αὐτῶν ἡμιωρίῳ ποιούμενοι. διὰ τὸ μὴ ἀξιόλογον γίνεσθαι τὸν τῶν μεταξὺ τοῦ ἡμιωρίου παρὰ τὰ ὁμαλὰ διαφορὰν. προτάξαντος οὖν τὰς τοῦ κύκλου λς διεκαμοιρίας, πρὸς ἑκάστην ᾗ τὸ ἑξῆς, τὰς τε ᾗ οἰκείας ἀναφορὰς τοῦ κλίματος χρόνους, καὶ τὴν ἐπισωαγωγὴν αὐτῶν τὸν τρόπον τοῦτον.

ζώδια	δεκαμοιρίαι	ὀρθῆς σφαίρας				Αὐαλιτου κολπου				μερους			
		ὡρῶν ιβ̄		ō ō ō		ὡρῶν ιβ̄ ς'		μοιρ. η̄ κε'		ὡρῶν ιγ̄		μοιρ. ις̄ κζ'	
		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι	
κριός	ι	θ	ι	θ	ι	η	λε	η	λε	ζ	νη	ζ	νη
	κ	θ	ιε	ιη	κε	η	λθ	ιζ	ιδ	η	ε	ις	γ
	λ	θ	κε	κζ	ν	η	νβ	κζ	ς	η	ιζ	κδ	κ
ταῦρος	ι	θ	μ	λζ	α	θ	η	λε	ιδ	η	λς	λβ	νς
	κ	θ	νη	μζ	κη	θ	κθ	μδ	μγ	θ	α	μα	νζ
	λ	ι	ις	νζ	μδ	θ	να	νδ	λδ	θ	κζ	να	κδ
δίδυμοι	ι	ι	λδ	ξη	ιη	ι	ιε	ξδ	μθ	θ	νς	ξα	κ
	κ	ι	μζ	οθ	ε	ι	λε	οε	κδ	ι	κγ	οα	μγ
	λ	ι	νε	ϟ	ō	ι	να	πς	ιε	ι	μζ	πβ	λ
καρκίνος	ι	ι	νε	ρ	νε	ι	νθ	ϟζ	ιδ	ια	γ	ϟγ	λγ
	κ	ι	μζ	ρια	μβ	ι	νθ	ρη	ιγ	ια	ια	ρδ	μδ
	λ	ι	λδ	ρκϐ	ις	ι	νγ	ριθ	ς	ια	ιβ	ριε	νς
λέων	ι	ι	ις	ρλϐ	λβ	ι	μα	ρκθ	μζ	ια	ε	ρκζ	α
	κ	θ	νη	ρμϐ	λ	ι	κζ	ρμ	ιδ	ι	νε	ρλζ	νς
	λ	θ	μ	ρνϐ	ι	ι	ιβ	ρν	κς	ι	μδ	ρμη	μ
παρθένος	ι	θ	κε	ρξα	λε	θ	νη	ρξ	κδ	ι	λγ	ρνθ	ιγ
	κ	θ	ιε	ρο	ν	θ	να	ρο	ιε	ι	κε	ρξθ	λη
	λ	θ	ι	ρπ	ō	θ	με	ρπ	ō	ι	κβ	ρπ	ō
ζυγός	ι	θ	ι	ρπθ	ι	θ	με	ρπθ	με	ι	κβ	ρϟ	κβ
	κ	θ	ιε	ρϟη	κε	θ	να	ρϟθ	λς	ι	κε	σ	μζ
	λ	θ	κε	σζ	ν	θ	νη	σθ	λδ	ι	λγ	σια	κ
σκορπίος	ι	θ	μ	σιζ	α	ι	ιβ	σιθ	μς	ι	μδ	σκβ	δ
	κ	θ	νη	σκζ	ϟη	ι	κζ	σλ	ιγ	ι	νε	σλϐ	νθ
	λ	ι	ις	σλζ	μδ	ι	μα	σμ	νδ	ια	ε	σμδ	δ
τοξότης	ι	ι	λδ	σμη	ιη	ι	νγ	σνα	μζ	ια	ιβ	σνε	ις
	κ	ι	μζ	σνθ	ε	ι	νθ	σξβ	μς	ια	ια	σξς	κζ
	λ	ι	νε	σο	ō	ι	νθ	σογ	με	ια	γ	σοζ	λ
αἰγόκερως	ι	ι	νε	σπ	νε	ι	να	σπδ	λς	ι	μζ	σπη	ιζ
	κ	ι	μζ	σϟα	μβ	ι	λε	σϟε	ια	ι	κγ	σϟη	μ
	λ	ι	λδ	τβ	ις	ι	ιε	τε	κς	θ	νς	τη	λς
ὑδροχόος	ι	ι	ις	τιϐ	λϐ	θ	να	τιε	ιζ	θ	κζ	τιη	γ
	κ	θ	νη	τκϐ	λ	θ	κθ	τκδ	μς	θ	α	τκζ	δ
	λ	θ	μ	τλϐ	ι	θ	η	τλγ	νδ	η	λς	τλε	μ
ἰχθύσι	ι	θ	κε	τμα	λε	η	νβ	τμϐ	μς	η	ιζ	τμγ	νζ
	κ	θ	ιε	τν	νε	η	λθ	τνα	κε	η	ε	τνϐ	β
	λ	θ	ι	τξ	ō	η	λε	τξ	ō	ζ	νη	τξ	ō

ζῷα	δίε κα μοι εἰ αι	Συνωνης ὡρῶν ιϛ′ μοιρ.	✠	μοι. ιϛ′ να′ ✠ ἐπισυνα γόμενοι		Διατω χώρας ὡρῶν ιδ μοιρ. λ κβ				Ῥόδου ὡρῶν ιδ′ ϛ′ μοιρ. λϛ′ ο′			
		μοιρ.	✠	✠	ἐπισυνα γόμενοι	μοιρ.	✠	✠	ἐπισυνα γόμενοι	μοιρ.	✠	✠	ἐπισυνα γόμενοι
λεμός	ι	ζ	κϛ	ζ	κϛ	ϛ	μη	ϛ	μη	ϛ	ιδ	ϛ	ιδ
	κ	ζ	κθ	ιδ	νϐ	ϛ	νε	ιϛ	μϛ	ϛ	κα	ιϐ	λε
	λ	ζ	με	κϐ	λζ	ζ	ι	κ	νϛ	ϛ	λζ	ιθ	ιϐ
ταῦ- ρος	ι	η	δ	λ	μα	ζ	λϛ	κη	κϛ	ζ	α	κϛ	ιϛ
	κ	η	λα	λθ	ιϐ	η	β	λϛ	κη	ζ	λϛ	λϛ	μϛ
	λ	θ	ϛ	μη	ιε	η	λζ	με	ε	η	ιϐ	μα	νη
δίδυ μοι	ι	θ	λϛ	νζ	να	θ	ιζ	νδ	κϐ	η	νϛ	ν	νδ
	κ	ι	ια	ξη	β	ι	ὸ	ξδ	κϐ	θ	μζ	ξ	μα
	λ	ι	μϛ	οη	με	ι	λη	οε	ὃ	ι	λδ	οα	ιε
λαρ κινος	ι	ια	ζ	πθ	νϐ	ια	ιϐ	πϛ	ιϐ	ια	ιϛ	πϐ	λα
	κ	ια	κϛ	ϙα	ιε	ια	λδ	⸗λζ	μϛ	ια	μζ	⸗λδ	ιη
	λ	ια	λϐ	ριϐ	μζ	ια	να	ρθ	λζ	ιϐ	ιϐ	ϙϛ	λ
λέων	ι	ια	κθ	ρκδ	ις	ια	νε	ρκα	λϐ	ιϐ	κ	ριη	ν
	κ	ια	κε	ρλε	μα	ια	νδ	ρλϛ	κϛ	ιϐ	κγ	ρλα	ιγ
	λ	ια	ις	ρμϛ	νζ	ια	μζ	ρμε	ιϛ	ιϐ	ιθ	ρμγ	λϐ
παρ- θήν	ι	ια	ε	ϙνη	β	ια	μ	ϙνϛ	νγ	ιϐ	ιγ	ρνε	με
	κ	ια	α	ρξθ	γ	ια	λε	ρξη	κη	ιϐ	θ	ρξζ	νδ
	λ	ι	νζ	ρπ	ὃ	ια	λϐ	ϙπ	ὃ	ιϐ	ϛ	ρπ	ὃ
ζυγός	ι	ι	νζ	ρ⸗ι	νζ	ια	λϐ	ϙ⸗ια	λϐ	ιϐ	ϛ	ρ⸗ιϐ	ϛ
	κ	ια	α	σα	νη	ια	λε	σγ	ζ	ιϐ	θ	σδ	ιε
	λ	ια	ε	σιγ	γ	ια	μ	σιδ	μζ	ιϐ	ιγ	σις	κη
σκορ πίος	ι	ια	ις	σκδ	ιθ	ια	μζ	σκϛ	λδ	ιϐ	ιθ	σκη	μζ
	κ	ια	κε	σλε	μδ	ια	νδ	σλη	κη	ιϐ	κγ	σμα	ι
	λ	ια	κθ	σμζ	ιγ	ια	νε	σν	κγ	ιϐ	κ	σνγ	λ
ϰξό- της	ι	ια	λϐ	σνη	με	ια	να	σξϐ	ιδ	ιϐ	ιϐ	σξε	μϐ
	κ	ια	κγ	σο	ν	ια	λδ	σογ	μη	ια	μζ	σοζ	κθ
	λ	ια	ζ	σπα	ιε	ια	ιϐ	σπε	ὃ	ια	ις	σϖη	με
ἀϵγό- κερως	ι	ι	μγ	σ⸗ια	νη	ι	λη	ϙ⸗ιε	λη	ι	λδ	σ⸗ιθ	ιθ
	κ	ι	ια	τϐ	θ	ι	ὃ	τε	λη	θ	μζ	τθ	ϛ
	λ	θ	λϛ	τια	με	θ	ιζ	πδ	νε	ν	νϛ	τιη	β
ὕδρη χό	ι	θ	γ	τκ	μη	η	λζ	τκγ	λϐ	η	ιϐ	τκϛ	ιδ
	κ	η	λα	τκθ	ιθ	η	β	τλα	λδ	ζ	λγ	τλϛ	μζ
	λ	η	δ	τλζ	κγ	ζ	λγ	τλθ	ζ	ζ	α	τμ	μη
ἰχθύ- ες	ι	ζ	με	τμε	η	ζ	ι	τμϛ	ιζ	ϛ	λζ	τμζ	κε
	κ	ζ	κθ	τνϐ	λζ	ϛ	νε	τνγ	ιϐ	ϛ	κα	τνγ	μϛ
	λ	ζ	κγ	τξ	ὃ	ϛ	μη	τξ	ὃ	ϛ	ιδ	τξ	ὃ

ζώδια	δεκαμοιρίαι	Ἑλλὴς πόντου				μέσου πόντου				Βορυσθέως ἐκβολῶν			
		ὡρῶν ιε̄		μοιρ. μ̄ νς		ὡρῶν ιε̄ ς̄		μοιρ. με̄ α̇		ὡρῶν ις̄		μοιρ. μη̄	
		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι	
ἀριός	ι	ε	μ	ε	μ	ε	η	ε	η	δ	λς	δ	λς
	κ	ε	μζ	ια	κζ	ε	ιδ	ι	κβ	δ	μγ	θ	ιθ
	λ	ς	ε	ιζ	λβ	ε	λγ	ιε	νε	ε	α	ιδ	κ
ταῦρος	ι	ς	κθ	κδ	α	ε	νη	κα	νγ	ε	κς	ιθ	μς
	κ	ζ	δ	λα	ε	ς	λδ	κη	κζ	ς	ε	κε	να
	λ	ζ	μς	λη	να	ζ	κ	λε	μζ	ς	νβ	λβ	μγ
δίδυμοι	ι	η	λη	μζ	κθ	η	ιε	μδ	β	ζ	νγ	μ	λς
	κ	θ	λβ	νζ	α	θ	ιθ	νγ	κα	θ	ε	μθ	μα
	λ	ι	κθ	ξζ	λ	ι	κδ	ξγ	με	ι	ιθ	ξ	ō
ἀρκινος	ι	ια	κα	οη	να	ια	κς	οε	ια	ια	λα	οα	λα
	κ	ιβ	β	ϟ	νγ	ιβ	ιε	πζ	κς	ιβ	κθ	πδ	ō
	λ	ιβ	λ	ργ	κγ	ιβ	νγ	ρ	ιθ	ιγ	ιε	ϟζ	ιε
λέων	ι	ιβ	μς	ρις	θ	ιγ	ιβ	ριγ	λα	ιγ	μ	ρι	νε
	κ	ιβ	νβ	ρκθ	α	ιγ	κβ	ρκς	νγ	ιγ	να	ρκδ	μς
	λ	ιβ	να	ρμα	νβ	ιγ	κβ	ρμ	ιε	ιγ	νδ	ρλη	μ
πρ̄θένος	ι	ιβ	με	ρνδ	λζ	ιγ	ιζ	ρνγ	λβ	ιγ	μθ	ρνβ	κθ
	κ	ιβ	μγ	ρξζ	κ	ιγ	ις	ρξς	μη	ιγ	μζ	ρξς	ις
	λ	ιβ	μ	ρπ	ō	ιγ	ιβ	ρπ	ō	ιγ	μδ	ρπ	ō
ζυγός	ι	ιβ	μ	ρϟβ	μ	ιγ	ιβ	ρϟγ	ιβ	ιγ	μδ	ρϟγ	μδ
	κ	ιβ	μγ	σε	κγ	ιγ	ις	σς	κη	ιγ	μζ	σζ	λα
	λ	ιβ	με	σιη	ō	ιγ	ιζ	σιθ	με	ιγ	μθ	σκα	κ
σκορπίος	ι	ιβ	να	σλ	νθ	ιγ	κβ	σλγ	ζ	ιγ	νδ	σλε	ιδ
	κ	ιβ	νβ	σμγ	να	ιγ	κβ	σμς	κθ	ιγ	να	σμθ	ε
	λ	ιβ	μς	σνς	λζ	ιγ	ιβ	σνθ	μα	ιγ	μ	σξβ	με
τοξότης	ι	ιβ	λ	σξθ	ζ	ιβ	νγ	σοβ	λδ	ιγ	ιε	σος	ō
	κ	ιβ	β	σπα	θ	ιβ	ιε	σπδ	μθ	ιβ	κθ	σπη	κθ
	λ	ια	κα	σϟβ	λ	ια	κς	σϟς	ιε	ια	λα	τ	ō
αἰγόκερως	ι	ι	κθ	τβ	νθ	ι	κδ	τς	λθ	ι	ιθ	τι	ιθ
	κ	θ	λβ	τιβ	λα	θ	ιθ	τιε	νη	θ	ε	τιθ	κδ
	λ	η	λη	τκα	θ	η	ιε	τκδ	ιγ	ζ	νγ	τκα	ιζ
ὑδροχόος	ι	ζ	μς	τκη	νε	ζ	κ	τλα	λγ	ς	νβ	τλδ	θ
	κ	ζ	δ	τλε	νθ	ς	λδ	τλη	ζ	ς	ε	τμ	ιδ
	λ	ς	κθ	τμβ	κη	ε	νη	τμδ	ε	ε	κς	τμε	μ
ἰχθύσι	ι	ς	ε	τμη	λγ	ε	λγ	τμθ	λη	ε	α	τν	μα
	κ	ε	μζ	τνδ	κ	ε	ιδ	τνδ	νβ	δ	μγ	τνε	κδ
	λ	ε	μ	τξ	ō	ε	η	τξ	ō	δ	λς	τξ	ō

ζώδια	δεκαμοιρίαι	Βρεττανίας νοτιωτατ̅ ὡρῶν ιϛ̅ ϛ́		μοι. να̅ λ́		Τανάϊδος ἐκβολῶν ὡρῶν ιζ̅		μοιρ. νδ̅ ά	
		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι		μοιρ.	ϰ	ϰ ἐπισυναγόμενοι	
κριός	ι	δ	ε	δ	ε	ϛ	λϛ	ϛ	λϛ
	κ	δ	ιβ	η	ιζ	ϛ	μϛ	ζ	ιθ
	λ	δ	λα	ιβ	μη	δ	ϑ	ια	ιθ
ταῦρος	ι	δ	νϛ	ιζ	μδ	δ	κϛ	ιε	με
	κ	ε	λδ	κγ	ιη	ε	δ	κ	μθ
	λ	ϛ	κε	κθ	μγ	ε	νϛ	κϛ	με
δίδυμοι	ι	ζ	κθ	λζ	ιβ	ζ	ε	λγ	ν
	κ	η	μθ	μϛ	α	η	λγ	μβ	κγ
	λ	ι	ιδ	νϛ	ιε	ι	ζ	νβ	λ
καρκίνος	ι	ια	λϛ	ξζ	να	ια	μγ	ξδ	ιγ
	κ	ιβ	με	π	λϛ	ιϛ	α	οζ	ιδ
	λ	ιϛ	λθ	ϟδ	ιε	ιδ	γ	ϟα	ιζ
λέων	ι	ιδ	ζ	ρη	κβ	ιδ	λϛ	ρε	νϛ
	κ	ιδ	κβ	ρκβ	μδ	ιδ	νβ	ρκ	με
	λ	ιδ	κδ	λζ	η	ιδ	νδ	ρλε	λθ
παρθένος	ι	ιδ	ιθ	ρνα	κζ	ιδ	ν	ρν	κθ
	κ	ιδ	ιη	ρξε	με	ιδ	μζ	ρξε	ιϛ
	λ	ιδ	ιε	ρπ	ϑ	ιδ	μδ	ρπ	ϑ
ζυγός	ι	ιδ	ιε	ρϟδ	ιε	ιδ	μδ	ρϟδ	μδ
	κ	ιδ	ιη	ση	λγ	ιδ	μζ	σθ	λα
	λ	ιδ	ιθ	σκβ	νβ	ιδ	ν	σκδ	κα
σκορπίος	ι	ιδ	κδ	σλζ	ιϛ	ιδ	νδ	σλθ	ιε
	κ	ιδ	κβ	σνα	λη	ιδ	νβ	σνδ	ζ
	λ	ιδ	ζ	σξε	με	ιδ	λϛ	σξη	μγ
τοξότης	ι	ιϛ	λθ	σοθ	κδ	ιδ	γ	σπη	μϛ
	κ	ιβ	με	σϟβ	θ	ιγ	α	σϟε	μζ
	λ	ια	λϛ	τγ	με	ια	μγ	τζ	λ
αἰγόκερως	ι	ι	ιδ	τιϛ	νθ	ι	ζ	τιζ	λζ
	κ	η	μθ	τκβ	μη	η	λγ	τκϛ	ι
	λ	ζ	κθ	τλ	ιζ	ζ	ε	τλϛ	ιε
ὑδροχόος	ι	ϛ	κε	τλϛ	μβ	ε	νϛ	τλθ	ια
	κ	ε	λδ	τμβ	ιϛ	ε	δ	τμδ	ιε
	λ	δ	νϛ	τμζ	ιβ	δ	κϛ	τμη	μα
ἰχθύσι	ι	δ	λα	τνα	μγ	δ	ϑ	τνβ	μα
	κ	δ	ιβ	τνε	νε	γ	μγ	τνϛ	κδ
	λ	δ	ε	τξ	ϑ	γ	λϛ	τξ	ϑ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΤΑΙΣ ΑΝΑΦΟΡΑΙΣ ΠΑΡΑΚΟΛΟΥΘΟΥΝΤΩΝ.



Ὅτι δὲ τῶν ἀναφορικῶν χρόνων τὸν προκείμενον τρόπον ἡμῖν ἐκτεθειμένων, εὐλήπτα τὰ λοιπὰ πάντα γενήσεται, τῶν εἰς τοῦτο τὸ μέρος συντεινόντων, καὶ οὔτε γραμμικῶν δείξεων πρὸς ἕκαστα αὐτῶν δεησόμεθα, οὔτε κανονογραφίας περισσῆς, δι' αὐτῶν τῶν ὑποταχθησομένων ἐφόδων φανερὸν ἔσται. πρῶτον μὲν γὰρ τῆς δοθείσης ἡμέρας ἢ νυκτὸς, λαμβάνεται τὸ μέγεθος, ἀριθμηθέντων τῶν χρόνων τοῦ οἰκείου κλίματος, ὧν μὲν τῆς ἡμέρας τῶν ἀπὸ τῆς ἡλιακῆς μοιρῶν, μέχρι τῆς διαμετρούσης ὡς εἰς τὰ ἑπόμενα δωδεκατημορίων, ὧν δὲ τῆς νυκτὸς, τῶν ἀπὸ τῆς διαμετρούσης τὸν ἥλιον ἐπ' αὐτὴν τῆς ἡλιακὴν μοῖραν. τῶν γὰρ συναχθέντων χρόνων τὸ μὲν ιε λαβόντες, ἕξομεν ὅσων ἐστὶν ὡρῶν ἰσημερινῶν τὸ ὑποκείμενον διάστημα. τὸ δὲ ιβ λαβόντες, ἕξομεν ὅσων χρόνων ἐστὶν ἡ καιρικὴ ὥρα τοῦ αὐτοῦ διαστήματος. εὑρίσκεται δὲ καὶ προχειρότερον τὸ ὡριαῖον μέγεθος, λαμβανομένης ἐκ τοῦ προκειμένου τῶν ἀναφορῶν κανονίου τῆς ὑπεροχῆς τῶν πρακειμένων ἐπισυναγωγῶν. ἡμέρας μὲν τῇ ἡλιακῇ μοιρᾷ, νυκτὸς δὲ, τῇ διαμετρούσῃ ἔν τε τοῦ ὑπὸ τὸν ἰσημερινὸν πραλλήλῳ καὶ ἐν τῷ τοῦ ὑποκειμένου κλίματος. τῆς γὰρ εὑρισκομένης ὑπεροχῆς τὸ ς λαμβάνοντες, καὶ ὧν μὲν τοῦ βορείου ἡμικυκλίου τῆς εἰσενηνεγμένης μοίρας οὔσης, προστιθέντες αὐτὸ τοῖς τῆς ἰσημερινῆς μιᾶς ὥρας χρόνοι ιε, ὧν δὲ τοῦ νοτίου ἀφαιροῦντες ἀπὸ τῶν αὐτῶν ιε χρόνων, ποιήσομεν τὸ πλῆθος τῶν χρόνων τῆς ὑποκειμένης καιρικῆς ὥρας. ἐφεξῆς δὲ τὰς μὲν δεδομένας καιρικὰς ὥρας, ἀναλύσομεν εἰς ἰσημερινὰς, πολλαπλασιάσαντες τὰς μὲν ἡμερινὰς, ὧν τοῦ τῆς ἡμέρας ἐκείνης τοῦ οἰκείου κλίματος ὡριαίους χρόνους, τάς τε νυκτερινὰς ὧν τοῦ τῆς νυκτός. τῶν γὰρ συναχθέντων τὸ ιε λαβόντες, ἕξομεν πλῆθος ὡρῶν ἰσημερινῶν. ἀνάπαλιν δὲ τὰς δεδομένας ἰσημερινὰς ὥρας, ἀναλύσομεν εἰς καιρικὰς, πολλαπλασιάσαντες αὐτὰς ὧν τὸν ιε, καὶ μερίσαντες εἰς τοῦ ὑποκειμένους τοῦ οἰκείου διαστήματος ὡριαίους χρόνους. πάλιν δοθέντος ἡμῖν χρόνου καὶ ὥρας ὁποίας δήποτε καιρικῆς, πρῶτον μὲν τὴν ἀνατέλλουσαν τότε μοιρ. τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου ληψόμεθα, πολλαπλασιάσαντες τὸ πλῆθος τῶν ὡρῶν, ἡμέρας μὲν τῶν ἀπὸ ἀνατολῆς ἡλίου, νυκτὸς δὲ τῶν ἀπὸ δύσεως, ὧν τοῦ οἰκείους ὡριαίους χρόνους. τὸν γὰρ συναχθέντα ἀριθμὸν διεκβαλοῦμεν, ἡμέρας μὲν ἀπὸ τῆς ἡλιακῆς μοίρας, νυκτὸς δὲ ἀπὸ τῆς διαμετρούσης ὡς εἰς τὰ ἑπόμενα τῶν ζωδίων, κατὰ τὰς τοῦ ὑποκειμένου κλίματος ἀναφοράς, καὶ εἰς ἣν δ' ἂν καταντήσῃ μοιρῶν ὁ ἀριθμὸς, ἐκείνην φήσομεν τότε τὴν μοιρ. ἀνατέλλειν. ἐὰν δὲ τὴν μεσουρανοῦσαν ὑπὲρ γῆς θέλωμεν λαβεῖν, τὰς καιρικὰς ὥρας πάντοτε, τὰς ἀπὸ τῆς μεσημβρίας τῆς πρελθούσης μέχρι τῆς δοθείσης πολλαπλασιάσαντες, ὧν τοῦ οἰκείους ὡριαίους χρόνους, τὸν γενόμενον ἀριθμὸν ἐκβαλοῦμεν ἀπὸ τῆς ἡλιακῆς μοιρ. εἰς τὰ ἑπόμενα, κατὰ τὰς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφοράς, καὶ εἰς ἣν ἂν ἐκπέσῃ μοιρῶν ἀριθμὸς, ἐκείνη ἡ μοῖρα τότε ὑπὲρ γῆς μεσουρανήσει. ὁμοίως δὲ ἀπὸ μὲν τῆς ἀνατελλούσης μοιρῶν τὴν μεσουρανοῦσαν ὑπὲρ γῆς ληψόμεθα, σκεψάμενοι τὸν τῇ ἀνατελλούσῃ πρακείμενον τῆς ἐπισυναγωγῆς ἀριθμόν, ἐν τοῦ τοῦ οἰκείου κλίματος κανονίῳ. ἀφελόντες γὰρ ἀπ' αὐτοῦ πάντοτε τοῦ τοῦ τεταρτημορίου χρόνους ιη, τὴν παρακειμένην τοῦ ἀριθμῷ μοιρ. ἐκ τῆς ἐπισυναγωγῆς τοῦ ἐπ' ὀρθῆς τῆς σφαίρας σελιδίου, τότε ὑπὲρ γῆς μεσουρανοῦσαν εὑρίσομεν. ἀνάπαλιν δὲ ἀπὸ τῆς ὑπὲρ γῆν μεσουρανούσης, τὴν ἀνατέλλουσαν πάλιν ληψόμεθα, σκεψάμενοι τὸν τῇ μεσουρανούσῃ μοίρᾳ παρακείμενον τῆς ἐπισυναγωγῆς ἀριθμὸν, ἐν τῷ τῆς ὀρθῆς σφαίρας σελιδίῳ. προσθέντες γὰρ αὐτῷ πάντοτε πάλιν τοῦ αὐτοὺς ιη χρόνους ἐπισκεψόμεθα ἐκ τῆς ἐπισυναγωγῆς τοῦ ὑποκειμένου κλίματος, ποία μοιρῶν πράκειται τοῦ ἀριθμῷ, κἀκείνην τό τε ἀνατέλλουσαν εὑρίσομεν. φανερὸν δὲ καὶ ὅτι τοῖς μὲν ὑπὸ τὸν αὐτὸν μεσημβρινὸν οἰκοῦσιν, ὁ ἥλιος τὰς ἴσας ἰσημερινὰς ὥρας ἀπέχει τῆς μεσημβρίας ἢ τοῦ μεσονυκτίου. τοῖς δὲ μὴ ὑπὸ τὸν αὐτὸν μεσημβρινὸν, τοσούτοις ἰσημερινοῖς χρόνοις διοίσει, ὅσαις ἂν μοιρ. ὁ μεσημβρινὸς τοῦ μεσημβρινοῦ παρ' ἑκατέροις διαφέρει.

ΠΕΡΙ ΤΩΝ ΥΠΟ ΤΟΥ ΔΙΑ ΜΕΣΩΝ ΤΩΝ ΖΩΔΙΩΝ ΚΥΚΛΟΥ ΚΑΙ ΤΟΥ ΜΕΣΗΜΒΡΙΝΟΥ ΓΙΝΟΜΕΝΩΝ ΓΩΝΙΩΝ.



Λοιποῦ δὲ ὄντος, εἰς τὴν ὑποκειμένην θεωρίαν, τοῦ τὸν περὶ τῶν γωνιῶν ποιήσασθαι λόγον, λέγω δὲ τῶν πρὸς τὸν διὰ μέσων τῶν ζωδίων κύκλον γινομένων, προληπτέον, ὅτι ὀρθὴν γωνίαν ὑπὸ μεγίστων κύκλων λέγομεν περιέχεσθαι, ὅταν

πόλῳ τῇ κοινῇ τομῇ τῶν κύκλων, καὶ διαστήματι τυχόντι γραφέντος κύκλου, ἡ ἀπολαμβανομένη αὐτοῦ περιφέρεια ὑπὸ τῶν τὴν γωνίαν περιεχόντων τμημάτων, τεταρτημόριον τοῦ γραφέντος κύκλου ποιῇ, καθόλου τε, ὅτι ὃν ἂν ἔχῃ λόγον ἡ ἀπολαμβανομένη περιφέρεια, πρὸς τὸν γραφέντα κύκλον, καθ' ὃν εἰρήκαμεν τρόπον, τοῦτον ἔχει τὸν λόγον ἡ περιεχομένη γωνία ὑπὸ τῆς κλίσεως τῶν ἐπιπέδων, πρὸς τὰς τέσσαρας ὀρθάς. ὥστε ἐπειδὴ τῆς περιμέτρου ὑποτεθέμεθα τμημάτων τξ, ὅσων ἂν εὑρήσκητε τμημάτων ἡ ἀπολαμβανομένη περιφέρεια, τοσούτων ἔσται καὶ ἡ ὑποτείνουσα αὐτὴν γωνία, οἵων ἡ μία ὀρθὴ, ϟ. τῶν δὴ πρὸς τὸν λοξὸν κύκλον γινομένων γωνιῶν. αἱ μάλιστα χρήσιμοι πρὸς τῆς ὑποκειμένην θεωρίαν ἐκεῖναι εἰσίν, αἵ τε ὑπὸ τῆς τομῆς αὐτοῦ καὶ τοῦ μεσημβρινοῦ περιεχόμεναι, καὶ αἱ ὑπὸ τῆς τομῆς αὐτοῦ καὶ τοῦ ὁρίζοντος καθ' ἑκάστην θέσιν, καὶ ὁμοίως αἱ ὑπὸ τῆς τομῆς αὐτοῦ καὶ τοῦ διὰ τῶν πόλων τοῦ ὁρίζοντος γραφομένου μεγίστου κύκλου, συναποδεικνυμένων ταῖς τοιαύταις γωνίαις καὶ τῶν ἀπολαμβανομένων τούτου τοῦ κύκλου περιφερειῶν, ὑπό τε τῆς τομῆς καὶ τοῦ πόλου τοῦ ὁρίζοντος, τουτέστι τοῦ κατὰ κορυφὴν σημείου. ἕκαστα γὰρ τῶν ἐκκειμένων ἀποδειχθέντα πρός τε τῆς θεωρίαν αὐτὴν ἱκανωτάτην ἔχει χώραν, καὶ πρὸς τὰ περὶ τὰς παραλλάξεις τῆς σελήνης ἐπιζητούμενα μάλιστα συμβάλλεται τὸ πλεῖστον, μηδαμῶς τῆς τοιαύτης καταλήψεως προχωρεῖν δυναμένης, ἄνευ τῆς ἐκείνων προδιαλήψεως. ἐπεὶ δὲ καὶ τεσσάρων οὐσῶν γωνιῶν τῶν περιεχομένων ὑπὸ τῆς τῶν δύο κύκλων τομῆς, τουτέστι τοῦ διὰ μέσων τῶν ζωδίων, καὶ ἑνὸς τῶν συμπλεκομένων αὐτῷ, περὶ μιᾶς τῆς κατὰ τὴν θέσιν ὁμοίας τὸν λόγον ποιεῖσθαι μέλλομεν, προδιορισέον, ὅτι καθόλου τῶν δύο γωνιῶν, τῶν περὶ τῆς ἐπομένην τῇ κοινῇ τομῇ τῶν κύκλων περιφέρειαν, τοῦ διὰ μέσων τῶν ζωδίων, τὴν ἀπ' ἄρκτων ὑπακουστέον, ὥστε τὰ συμβαίνοντα, καὶ τὰς πηλικότητας τὰς ἀποδειχθησομένας ἐν τῶν οὕτως ἐχουσῶν γωνιῶν. ἁπλουστέρας δὲ τῆς δείξεως οὔσης, τῶν πρὸς τὸν μεσημβρινὸν κύκλον θεωρουμένων τοῦ λοξοῦ γωνιῶν, ἀπὸ τούτων ἀρξόμεθα καὶ δείξομεν πρῶτον, ὅτι τὰ ἴσον ἀπέχοντα τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου σημεῖα, τὰς ἐκκειμένας γωνίας, ἴσας ἀλλήλαις ποιεῖ. ἔστω γὰρ ἰσημερινοῦ μὲν περιφέρεια ἡ αβγ, τοῦ δὲ διὰ μέσων τῶν ζωδίων, ἡ δβε, πόλος δὲ τοῦ ἰσημερινοῦ, τὸ ζ σημεῖον, καὶ ἀπολειφθεισῶν ἴσων περιφερειῶν τῆς τε βη, καὶ βθ, ἐφ' ἑκάτερα τοῦ β ἰσημερινοῦ σημείου, γεγράφθωσαν διὰ τοῦ ζ πόλου, καὶ τῶν η θ σημείων, μεσημβρινῶν κύκλων περιφέρειαι, ἥτε ζκη, καὶ ἡ ζθλ, λέγω ὅτι ἴση ἐστὶν ἡ ὑπὸ κηβ γωνία, τῇ ὑπὸ ζθε, καὶ ἐστὶν αὐτόθεν φανερόν. ἰσογώνιον γὰρ γίνεται τὸ βηκ τρίπλευρον τῷ δβθλ, ἐπειδήπερ καὶ τὰς τρεῖς πλευρὰς ταῖς τρισὶ πλευραῖς ἴσας ἔχει ἑκάστην ἑκάστῃ, τὴν μὲν ηβ, τῇ βθ, τῆς δὲ ηκ, τῇ θλ, τὴν δὲ βκ, τῇ βλ. δέδεικτε γὰρ πάντα ταῦτα ἐν τοῖς ἔμπροσθεν. καὶ γωνία ἄρα ἡ ὑπὸ κηβ, γωνίᾳ τῇ ὑπὸ βθλ τουτέστι τῇ ὑπὸ ζθε, ἐστὶν ἴση, ὅπερ ἔδει δεῖξαι. πάλιν δεικτέον ὅτι τῶν τὸ ἴσον ἀπεχόντων σημείων, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τοῦ αὐτοῦ τροπικοῦ σημείου, αἱ πρὸς τὸν μεσημβρινὸν γινόμεναι γωνίαι, συναμφότεραι, δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἔστω γὰρ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου περιφέρεια, ἡ αβγ, τοῦ β ὑποκειμένου τροπικοῦ σημείου, καὶ ἀπολειφθησῶν ἐφ' ἑκάτερα αὐτοῦ περιφερειῶν ἴσων, τῆς τε βδ, καὶ τῆς βε, γεγράφθωσαν διὰ τῶν δ καὶ ε σημείων, καὶ τοῦ ζ πόλου τοῦ ἰσημερινοῦ, μεσημβρινῶν κύκλων περιφέρειαι, ἥτε ζδ, καὶ ἡ ζε, λέγω ὅτι ἡ ὑπὸ ζδβ γωνία, καὶ ἡ ὑπὸ ζεγ, συναμφότεραι δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἔστι δὲ καὶ ἐνταῦθα δῆλον αὐτόθεν. ἐπεὶ γὰρ τὰ δ καὶ ε σημεῖα, ἴσον ἀπέχει τοῦ αὐτοῦ τροπικοῦ σημείου, ἴση ἐστὶ καὶ ἡ δζ περιφέρεια τῇ ζε. καὶ γωνία ἄρα ἡ ὑπὸ ζδβ γωνίᾳ τῇ ὑπὸ ζεβ ἴση ἐστίν. ἀλλὰ ἡ ὑπὸ ζεβ καὶ ζεγ, δυσὶν ὀρθαῖς ἴσαι εἰσί. καὶ ἡ ὑπὸ ζδβ ἄρα μετὰ τῆς ὑπὸ ζεγ, δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ὅπερ ἔδει δεῖξαι. τούτων προτεθεωρημένων, ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ αβγδ, τοῦ δὲ



διὰ



δ̀ μέσων τῶν ζωδίων ἡμικύκλιον τὸ αεγ̄, τοῦ ᾱ σημείου ὑποκειμένου τοῦ χειμερινοῦ τροπικοῦ, καὶ πόλῳ τοῦ ᾱ, διαστήματι δὲ τῇ τοῦ τετραγώνου πλευρᾷ, γεγράφθω τὸ βεδ̄ ἡμικύκλιον. ἐπεὶ τείνων ὁ αβγδ̄ μεσημβρινὸς, διά τε τῶν τοῦ αεγ̄ πόλων, καὶ δ̀ τῶν τοῦ βεδ̄ γέγραπται, τεταρτημορίου ἐστὶν ἡ εδ̄ περιφέρεια. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ δαε̄ γωνία. ὀρθὴ δὲ δ̀ τὰ προδεδειγμένα καὶ ἡ ὑπὸ τοῦ θερινοῦ τροπικοῦ σημείου γινομένη, ὅπερ ἔδει δεῖξαι. πάλιν ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ αβγδ̄, ἰσημερινοῦ δὲ ἡμικύκλιον τὸ αεγ̄, καὶ γεγράφθω δ̀ μέσων τῶν ζωδίων τὸ αζγ̄ ἡμικύκλιον, οὕτως ὥστε τὸ ᾱ σημεῖ) εἶναι τὸ μετοπωρινὸν ἰσημερινόν, πόλῳ τε τοῦ ᾱ καὶ διαστήματι τῇ τοῦ τετραγώνου πλευρᾷ, γεγράφθω τὸ βζεδ̄ ἡμικύκλι). δ̀ τὰ αὐτὰ δὴ, ἐπεὶ ὁ αβγδ̄ διά τε τῶν τοῦ αεγ̄, καὶ δ̀ τῶν τοῦ βεδ̄ πόλων, γέγραπται, τεταρτημορίου ἐστὶν ἥτε αζ̄ καὶ ἡ εδ̄, ὥστε καὶ τὸ μὲν ζ̄ σημεῖον ἔσται τὸ χειμερινὸν τροπικόν, ἡ δὲ ζε̄ περιφέρεια, τῶν ἀποδεδειγμένων μοιρῶν κγ̄ νά ἔγγιστα, καὶ ὅλη μὲν ἄρα ἡ ζεδ̄ περιφέρεια, μοιρῶν ἐστιν ριγ̄ νά, ἡ δὲ ὑπὸ δαζ̄ γωνία τοιούτων ριγ̄ νά, οἵων ἐστὶν ἡ μία ὀρθὴ κ̄. δ̀ τὰ δὲ τὰ προδεδειγμένα πάλιν καὶ ἡ ὑπὸ τοῦ ἐαρινοῦ ἰσημερινοῦ σημείου γινομένη γωνία, τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς ἔσται μοιρῶν ξς̄ θ̄. πάλιν ἔστω μεσημβρινὸς μὲν κύκλος ὁ αβγδ̄, καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ αεγ̄, τοῦ δὲ δ̀ μέσων τῶν ζωδίων τὸ βζδ̄, ὥστε τὸ μὲν ζ̄ σημεῖον ὑποκεῖσθαι τὸ μετοπωρινὸν, τὴν δὲ βζ̄ περιφέρειαν πρῶτον ἑνὸς δωδεκατημορίου, τοῦ τῶν παρθένου, καὶ τὸ β̄ σημεῖον ἀρχὴν δηλονότι τῶν παρθένου, πόλῳ δὲ πάλιν τοῦ β̄, διαστήματι δὲ, τῇ τοῦ τετραγώνου πλευρᾷ, γεγράθω τὸ ηθεκ̄ ἡμικύκλιον, καὶ προκείσθω τὴν ὑπὸ κβθ̄ γωνίαν εὑρεῖν. ἐπεὶ τείνων ὁ αβγδ̄ μεσημβρινὸς, διά τε τῶν τοῦ αεγ̄, καὶ δ̀ τῶν τοῦ ηεκ̄ πόλων γέγραπται, τεταρτημορίου μὲν ἑκάστη γίνεται τῶν βη̄ καὶ βθ̄, καὶ εη̄ περιφερειῶν. δ̀ τὰ δὲ τὴν καταγραφὴν ὁ τῆς ὑπὸ τῆς διπλῆς τῶν βᾱ, πρὸς τῆς ὑπὸ τῆς διπλῆς τῆς η̄ αλόγος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆς τῶν βζ̄, πρὸς τῆς ὑπὸ τῆς διπλῆς τῆς θζ̄, καὶ τοῦ τῶν ὑπὸ τῆς διπλῆς τῆς θε̄, πρὸς τῆς ὑπὸ τῆς διπλῆς τῆς εη̄. ἀλλ' ἡ μὲν διπλῆ τῆς βᾱ δ̀ τὰ προδεδειγμένα μοιρῶν ἐστιν κγ̄ κ', καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα, τμημάτων κδ̄ ιϛ', ἡ δὲ διπλῆ τῆς αη̄ μοιρ. ρνϛ̄ μ', καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ριζ̄ λά. καὶ πάλιν ἡ μὲν διπλῆ τῶν ζβ̄, μοιρῶν ξ̄, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ξ̄, ἡ δὲ διπλῆ τῆς ζθ̄, μοιρῶν ρκ̄, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα, τμημάτων ργ̄ νέ κγ̄. ἐὰν ἄρα πάλιν ἀπὸ τοῦ τῶν κδ̄ ιϛ' πρὸς τὰ ριζ̄ λά λόγου, ἀφέλωμεν τὸν τῶν ξ̄ πρὸς τὰ ργ̄ νέ κγ̄, καταλειφθήσετο ὁ τῆς ὑπὸ τῆς διπλῆς τῆς θε̄, πρὸς τῆς ὑπὸ τῆς διπλῆς τῆς εη̄ λόγος, ὁ τῶν μβ̄, νή ἔγγιστα πρὸς τὰ ρκ̄. καὶ ἔστιν ἡ ὑπὸ τὴν διπλῆς τῶν εη̄, τμημάτων ρκ̄, καὶ ἡ ὑπὸ τῆς διπλῆς ἄρα τῆς θε̄ τῶν αὐτῶν ἐστι μβ̄, νή. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς θε̄ μοιρῶν ἐστι μβ̄ ἔγγιστα, αὐτὴ δὲ ἡ θε̄ τῶν αὐτῶν κᾱ. καὶ ὅλη μὲν ἄρα ἡ θεκ̄ αὐτή τε καὶ ἡ ὑπὸ κβθ̄ γωνία, μοιρῶν





ἐσιν ριᾶ, διὰ δὲ τὰ προαποδεδειγμένα, καὶ ἡ μὲν ὑπὸ τῆς ἀρχῆς τοῦ σκορπίου γινομένη γωνία τῶν ἴσων ἔσαι μοιρῶν ριᾶ, ἑκατέρα δὲ ἥτε ὑπὸ τῆς ἀρχῆς τῆ ταύρου καὶ τῆς ἀρχῆς τῆ ἰχθύων, τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς μοιρῶν ξθ, ὅπερ ἔδει δεῖξαι. πάλιν ὡδὶ ἡ αὐτῆς καταγραφῆς, ἡ ζβ περιφέρεια ὁμοιόδω β δεδιαιρήσθω εἰς τὰ ιβ ἴσα μέρη, ὥστε τὸ β σημεῖον εἶναι τῷ ἀρχῷ τοῦ λέοντος, καὶ τῶν αὐτῶν ὁμοιομερῶν, τῷ μὲν διπλῷ τῆς βᾶ, μοιρῶν ἐστὶ μᾶ, ἡ τῷ ὁμοίῳ αὐτῷ δυθείαν, τμημάτων μβ β, τῷ δὲ διπλῷ τῆς αὐ, μοιρῶν ρλθ. καὶ τῷ ὁμοίῳ αὐτῷ δυθείαν, τμημάτων ριβ κδ, ἡ πάλιν τῇ μὲν διπλῷ τῆς βζ, μοιρῶν ρκ, καὶ τῷ ὁμοίῳ αὐτῷ δυθείαν τμημάτων ργ νε κᾶ, τῷ ἢ διπλῷ τῆς ζθ μοιρῶν ξ, καὶ τῷ ὁμοίῳ αὐτῷ δυθείαν τμημάτων ξ, ἐὰν ἄρα πάλιν ἀπὸ τῶν μβ β πρὸς τὰ ριβ κδ λόγου, ἀφέλωμεν τὸν τῶν ργ νε κᾶ πρὸς τὰ ξ, καταλειφθήσεται ὁ τῆς ὑπὸ τῷ διπλῷ θε πρὸς τῇ ὑπὸ τῷ διπλῷ τῆς εῦ λόγος, ὁ τῶν κε, νᾶ πρὸς τὰ ρκ. ἡ ἄρα ὑπὸ τῷ διπλῷ τῆς θε, γίνεται τῶν αὐτῶν κε νᾶ. ὥστε καὶ ἡ μὲν διπλῆ θε, μοιρ. ἔσαι κε ἔγγισα. αὐτὴ δὲ ἡ θε τῶν αὐτῶν ιβ ς, ὅλη μὲν ἄρα ἡ θεκ καὶ αὐτή τε καὶ ἡ ὑπὸ κεθ γωνία, μοιρῶν ἐσιν ρβ ς. διὰ ταῦτα δὴ καὶ ἡ μὲν ὑπὸ τῆς ἀρχῆς τοῦ ἑξότου περιεχομένη γωνία τῶν ἴσων ρβ ς, ἑκατέρα δὲ ἥτε ὑπὸ τῆ ἀρχῆς τῆς διδύμων καὶ τῆς ἀρχῆς τοῦ ὑδροχόου τῶν λοιπῶν εἰς τὰς δύο ὀρθὰς, μοιρῶν οζ ς. καὶ δεδείκται ἡμῖν τὰ προκείμενα τῆς μὲν αὐτῆς ἐσομένης ἀγωγῆς. καὶ ὧν τῶν ἐσι μικρομερεστέρων τοῦ λοξοῦ κύκλου τμημάτων, ἀπαρκούσης δ' ὡς πρὸς αὐτὰ τῆ ς πραγματείας χρῆσιν, ἡ τῆ καθ' ἕκασον τῶ δωδεκατημορίων ἐκθέσεδ.



ΠΕΡΙ ΤΩΝ ΥΠΟ ΤΟΥ ΛΟΞΟΥ ΚΥΚΛΟΥ ΚΑΙ ΤΟΥ ΟΡΙΖΟΝΤΟΣ ΓΙΝΟΜΕΝΩΝ ΓΩΝΙΩΝ.

Ἐφεξῆς δὲ δείξομεν, πῶς ἂν λαμβάνοιμεν ὡδὶ τὴν διδυμίου ἐλίματος, καὶ τὰς πρὸς τὸν ὁρίζοντα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου γινομένας γωνίας, ἁπλατέραν καὶ αὐτὰς ἐχούσας τὴν μέθοδον τῶν λοιπῶν. ὅτι μὲν οὖν αἱ πρὸς τὸν μεσημβερινὸν γινόμεναι, αἱ αὐταί εἰσι ταῖς πρὸς τὸν ἐπ' ὀρθῆς τῇ σφαίρας ὁρίζοντα, φανερόν. φανερὸν δὲ τοῦτο καὶ ὡδὶ ἐγκεκλιμένης σφαίρας λαμβάνεσθαι, δεικτέον πάλιν, πρῶτον, ὅτι τὰ ἴσον ἀπέχοντα σημεῖα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου, τὰς γινομένας πρὸς τὸν αὐτὸν ὁρίζοντα γωνίας, ἴσας ἀλλήλαις ποιεῖ. ἔστω γὰρ μεσημβρινὸς κύκλος ὁ αβγδ, καὶ ἰσημερινὸν μὴ ἡμικύκλιον τὸ αεγ, ὁρίζοντος δὲ τὸ βεδ, καὶ γεγράφθω τοῦ λοξοῦ κύκλου δύο τμήματα τό τε ζηθ, καὶ τὸ κλμ, ὅτως ἔχοντα, ὥστε ἑκάτερον μῆ ζ καὶ κ σημείων, ὁμοιοειδὲς τὸ μεσοπωεινόν, ἰσημερινὸν, τῇ δὲ ζγ περιφέρειαν τῇ κλ ἴσην, λέγω ὅτι καὶ ἡ ὑπὸ εηθ γωνία, ἴση ἐδὶ τῇ ὑπὸ δλκ, καὶ ἔσιν αὐτόθεν δῆλον. ἰσογώνιον γὰρ γίνεται πάλιν τὸ εζγ τρίπλευρον, τῷ εκλ, ἐπεὶ διὰ τὰ προδεδειγμένα καὶ τὰς τρεῖς πλευρὰς, τρισὶ πλευραῖς ἴσας ἔχει, ἑκάστην ἑκάστῃ, τὴν μὲν ζγ τῇ κλ, τὴν δὲ εζ τῆς κοινῆς τοῦ ὁρίζοντος τῇ ελ, τὴν δὲ εγ τῆς ἀναφορᾶς, τῇ εκ. ἴση ἄρα ἐδὶ καὶ ἡ μὲν ὑπὸ εηζ γωνία, τῇ ὑπὸ ελκ, λοιπὴ δὲ ἡ ὑπὸ εηθ λοιπῇ τῇ ὑπὸ δλκ ἴση ἐδὶν, ὅπερ ἔδει δεῖξαι. λέγω δ' ὅτι καὶ τῶν διαμετροτώτων σημείων ἡ τῆ ἑτέρᾳ παραλλήλου, μετὰ τῆς τοῦ ἑτέρου δυτικῆς, δυ



σὶν ὀρθαῖς ἴσῃ ὄξὶν. ἐὰν γὰρ γράψωμεν ὁ-
ρίζοντα μὲν κύκλον τὸν αβγδ, τὸν δὲ διὰ
μέσων τῶν ζωδίων τὸν αεγζ, τέμνοντας
ἀλλήλους κατὰ τὰ α καὶ γ σημεῖα, σω-
αμφότεραι ἢ ἥτε ὑπὸ ζαδ τῇ ἡ ὑπὸ δαε,
ὀλυσὶν ὀρθαῖς ἴσαι γίνονται. ἴση δὲ ἡ ὑπὸ
ζαδ, τῇ ὑπὸ ζγδ, ὥστε καὶ σωαμφοτέρας
τὴν τε ὑπὸ ζγδ τῇ τὴν ὑπὸ δαε, ὅλον ὀρ-
θὰς ποιεῖν, ὅπερ ἔδει δεῖξαι. ἐπισυμβή-
σεταί τε τούτων οὕτως ἐχόντων ἐπεί-
περ ἐδείχθησαν, καὶ τῶν ἴσων ἀπεχόντων
τοῦ αὐτοῦ ἰσημερινοῦ σημείου, ἀεὶ πρὸς τὸν
αὐτὸν ὁρίζοντα θεωρούμεναι γωνίαι ἴσαι,
τὸ, καὶ τὸν τὸ ἴσον ἀπεχόντων τοῦ αὐτοῦ



προπικοῦ σημείου, τῷ τοῦ ἑτέρου ἀνατολικῷ, καὶ τῷ τοῦ ἑτέρου δυτικῷ, σωαμφοτέρας
ὀλυσὶν ὀρθαῖς ἴσας εἶναι, ὥστε καὶ ἡ διὰ δύο, ἐὰν τὰς ἀπὸ μεσημβρινοῦ μέχρι τῶν χηλῶν γινομένας ἀνα-
τολικὰς γωνίας εὕρωμεν, σωαποδεδειγμένας ἐσομένας καὶ τοῦ ἑτέρου ἡμικυκλίου ἀνα-
τολικάς, καὶ ἔτι ἀπὸ τῶν ὅλων ἡμικυκλίων δυτικάς. ὃν δὲ τρόπον δείκνυται διὰ βραχέων ἐκθη-
σόμεθα. χρησάμενοι πάλιν ὑποδείγματος γένεσιν τοῦ αὐτῷ παραλλήλῳ, τουτέστι καθ' ὃν
ὁ βόρειος πόλος ἀφήρτηται τοῦ ὁρίζοντος μοιρῶν λς. ἀεὶ μὲν οὖν ὑπὸ τῶν ἰσημερινῶν σημεί-
ων τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, πρὸς τὸν ὁρίζοντα γινόμεναι γωνίαι, προχείρως δειξά-
σομεν λαμβάνεσθαι. ἐὰν γὰρ γράψωμεν μεσημβρινὸν μὲν κύκλον τὸν αβγδ, τοῦ δὲ ὑποκειμέ-
νου ὁρίζοντος τὸν ἀνατολικὸν ἡμικύκλιον τὸ αεδ, καὶ τοῦ ἰσημερινοῦ τεταρτημόριον τὸ ιζ,
τοῦ δὲ διὰ μέσων τῶν ζωδίων δύο, τόν τε εβ καὶ
εγ, οὕτως ἐχόντα ὥστε τὸ ε σημεῖον πρὸς τὸ
βτεταρτημόριον μετοπωρινὸν νοεῖσθαι, πρὸς ᾧ
τὸ εγ, ἐαρινόν, καὶ τὸ μὲν β γίνεσθαι χειμερινὸν
τροπικόν, τὸ δὲ γ, θερινόν. σωάγεται ὅτι ἡ
μὲν δζ περιφερείας ὑποκειμένης μοιρῶν νδ,
ἑκατέρας ἢ τῶν βζ καὶ ζγ τῶν ἴσων κγ καὶ ἐγγι α
σα, καὶ ἡ μὲν γδ γίνεται μοιρῶν λ θ, ἡ δὲ βδ,
τῶν αὐτῶν οζ νά. ὥστε ἐπεὶ τὸ ε πόλος ὄξὶ τῆ
αβγ μεσημβρινοῦ, καὶ τῷ μὲν ὑπὸ δεγ γω-
νίαν, τῇ γινομένῳ ὑπὸ τῆς ἀρχῆς τοῦ ἰσημ
χιούτων ἐστὶν λ θ, οἵων ὀρθὴ ρκ, τῷ
δὲ ὑπὸ δεβ, τῇ γινομένῳ ὑπὸ τῆς ἀρχῆς τῶν
χηλῶν, τῶν αὐτῶν οζ νά. ἵνα δὲ καὶ ἡ τῶν λοι-



πῶν ἑφοδος, φανερὰ γένηται, προκείσθω ὑποδείγματος γένεσιν, εὑρεῖν τὴν γινομένην ἀνα
τολικὴν γωνίαν, ἀπὸ τῆς ἀρχῆς τοῦ ταύρου καὶ τοῦ ὁρίζοντος. καὶ ἔστω μεσημβρινὸς μὲν κύ-
κλος ὁ αβγδ, τοῦ δ' ὑποκειμένου ὁρίζοντος τὸ ἀνατολικὸν ἡμικύκλιον τὸ βεδ, καὶ γεγράφ-
θω τοῦ διὰ μέσων τῶν ζωδίων τὸ αεγ ἡμικύκλιον, ὥστε τὸ ε σημεῖον τῇ ἀρχῇ εἶναι τοῦ ταύ
ρου. καὶ ἐπεὶ φ τὸ ὑπὸ τὸν ὑπὸ γλίματι τῆς ἀρχῆς τοῦ ταύρου ἀνατελλούσης μεσουρανοῦσιν ὑπὸ
γλῶ ἀπὸ τοῦ καρκίνου μοιραὶ ιζ μά, ἐλάμβανεν γὰρ ὡς τὰ τοιαῦτα δζ δυκερούς λαμβάνεται
διὰ τῶν ἐκτεθειμένων ἡμῖν ἀναφορῶν. ἐλάσσων γίνεται ἡ εγ περιφέρεια τεταρτημορίου.
γεγράφθω δὴ πόλῳ τῷ ε καὶ διαστήματι τῆς τοῦ τετραγώνου πλευρᾶς, μείζονι δὲ κύκλου τμῆ
μα τὸ θηζ, καὶ προσαναπεπληρώσθω τό τε εγ τεταρτημόριον, καὶ τὸ εδθ. γίνεται δὲ καὶ ἡ
τε δζ καὶ ἡ ζηθ ἑκατέρα τεταρτημορίου, διὰ τὸ τὸν βεθ ὁρίζοντα, διὰ τῶν πόλων ἐστὶν τε
ζγδ μεσημβρινοῦ, τῇ τοῦ ζηθ μείζονι κύκλου. πάλιν ἐπεὶ ἀεὶ μὲν τοῦ καρκίνου ιζ μά μοιραὶ,
ἀπέχουσι τοῦ ἰσημερινοῦ πρὸς τὰς ἀρκτους, ὧδι δὲ διὰ τῶν πόλων αὐτοῦ μείζονος κύ-
κλου μ, ἐκτέθειται γὰρ ἡμῖν τῇ ταῦτα, ὁ δὲ ἰσημερινὸς, ἀπέχει τοῦ ζ πόλου τοῦ ὁρίζοντος ὧδι
λ αὐτῆς περιφερείας τῆς ζγδ μοιρὰς λς, σωάγεται τῇ ἡ ζγ περιφέρεια μοιρῶν νθ μ. τούτων
δὴ λοιπῶν γίνεται λοιπὸν διὰ τῶν καταγραφῶν ὁ τῆς ὑπὸ τῆ διπλῶ, ἡ γδ πρὸς τὸν

ὑπὸ τῆς διπλῆς τῆς δζ λόγος, συνημμένος ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆς τῆς γε, πρὸς τὴν ὑπὸ τὴν διπλῆς τῆς εη, καὶ τοῦ, τῆς ὑπὸ τὴν διπλῆς τῆς ηθ, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς ζθ. ἀλλὰ διὰ τὰ προκείμενα ἡ μὲν διπλῆ τῆς γδ, μοιρῶν ἐστιν ξβ μ, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ξβ κδ, ἡ δὲ διπλῆ τῆς δζ, μοιρῶν ρπ, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα, τμημάτων ρκ. καὶ πάλιν ἡ μὲν διπλῆ τῆς γε, μοιρ. ρνε κβ, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ριζ ιδ, ἡ δὲ διπλῆ τῆς εη, μοιρῶν ρπ, καὶ ἡ ὑπὸ αὐτὴν εὐθεῖα τμημάτων ρκ. ἐὰν ἄρα ἀπὸ τοῦ λόγου τῶν ξβ κδ πρὸς τὰ ρκ, ἀφέλωμεν τὸν τῶν ριζ ιδ, πρὸς τὰ ρκ, καταλειφθήσεται ἡμῖν ὁ τῆς ὑπὸ τὴν διπλῆς τῆς θη πρὸς τὴν ὑπὸ τὴν διπλῆς τῆς ζθ, λόγος, ὁ τῶν ξγ νβ πρὸς τὰ ρκ, καὶ ἔστιν ἡ ὑπὸ τῆς διπλῆς τῆς θζ τμημάτων ρκ, καὶ ἡ ὑπὸ τὴν διπλῆς ἄρα τῆς ηθ τῶν αὐτῶν ἐστιν ξγ νβ. ὥστε καὶ ἡ μὲν διπλῆ τῆς ηθ, μοιρῶν ἐστιν ξδ κ, ἡ δὲ ηθ, αὐτή τε καὶ ἡ ὑπὸ ηεθ γωνία τῶν αὐτῶν λβ ι, ὅπερ ἔδει δεῖξαι. ὁ δ' αὐτὸς τρόπος, ἵνα μὴ καθ' ἕκαστον ταυτολογοῦντες μηκύνωμεν τὸν ὑπομνηματισμὸν τῆς συντάξεως, καὶ ὧδε τῶν λοιπῶν δωδεκατημορίων τε καὶ κλιμάτων ἡμῖν νοηθήσεται.



ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΚΥΚΛΟΝ ΤΟΥ ΔΙΑ ΤΩΝ πόλων τοῦ ὁρίζοντος γινομένων γωνιῶν καὶ περιφερειῶν.

Ἐπιμένης δὴ τῆς ἐφόδου, καθ' ἣν ἂν λαμβάνοιμεν καὶ τὰς πρὸς τὴν διὰ τῶν πόλων τοῦ ὁρίζοντος καθ' ἑκάστην ἔγκλισιν, καὶ καθ' ἑκάστην θέσιν γινομένας τῶν διὰ μέσων τῶν ζωδίων κύκλου γωνίας, συναποδεικνυμένης ὡς ἔφαμεν ἑκάστοτε καὶ τῆς ἀπολαμβανομένης περιφερείας, τοῦ διὰ τῶν πόλων τοῦ ὁρίζοντος κύκλου, ὑπό τε τοῦ κατὰ κορυφὴν σημείου, καὶ τῆς πρὸς τὸν λοξὸν κύκλον αὐτοῦ τομήσεως, ἐκθησόμεθα πάλιν καὶ τὰ εἰς οὖσαν τὸ μέρος προλαμβανόμενα, καὶ δείξομεν πρῶτον, ὅτι τῶν ἴσον ἀπεχόντων τοῦ αὐτοῦ τροπικοῦ σημείου, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου σημείων, ἴσους χρόνους ἀπολαμβανόντων ἐφ' ἑκάτερα τοῦ μεσημβρινοῦ, τοῦ μὲν πρὸς ἀνατολάς, τοῦ δ' ἑτέρου πρὸς δυσμάς, αἵτε ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπ' αὐτὰ περιφέρειαι τῶν μεγίστων κύκλων, ἴσαι ἀλλήλαις εἰσί, καὶ αἱ πρὸς αὐτὰ γινόμεναι γωνίαι, καθ' ὃν διεστελάμεθα τρόπον, δυσὶν ὀρθαῖς ἴσαι. ἔστω γὰρ μεσημβρινοῦ τμῆμα τὸ αβγ, καὶ ὑποκείσθω ἐπ' αὐτοῦ, τὸ μὲν κατὰ κορυφὴν σημεῖον τὸ β, ὁ δὲ τοῦ ἰσημερινοῦ πόλος τὸ γ, καὶ γεγράφθω τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου δύο τμήματα, τό τε αδε, καὶ τὸ αζη, οὕτως ἔχοντα, ὥστε τὰ δ καὶ ζ σημεῖα, ἴσον τε ἀπέχειν ἀπὸ τοῦ αὐτοῦ τροπικοῦ, καὶ ἴσας ἀπολαμβάνειν περιφέρειας, τοῦ δι' αὐτῶν παραλλήλου ἐφ' ἑκάτερα τοῦ αβγ μεσημβρινοῦ. γεγράφθωσαν καὶ δὴ μεγίστων κύκλων περιφέρειαι, διὰ τῶν δ ζ σημείων, ἀπὸ μὲν τοῦ γ πόλου τοῦ ἰσημερινοῦ, ἥτε γδ, καὶ ἡ γζ, ἀπὸ δὴ τοῦ β τοῦ κατὰ κορυφὴν σημείου, ἥτε βδ, καὶ ἡ βζ, λέγω ὅτι ἡ μὲν βδ περιφέρεια, τῇ βζ ἴση ἐστίν, ἡ δὲ ὑπὸ βδε γωνία μετὰ τῆς ὑπὸ βζα, δυσὶν ὀρθαῖς ἴση. ἐπεὶ γὰρ τὰ δ καὶ ζ σημεῖα ἴσας τοῦ δι' αὐτῶν παραλλήλου περιφερείας ἀπέχει, τοῦ αβγ μεσημβρινοῦ, ἴση ἐστὶν ἡ ὑπὸ βγδ γωνία, τῇ ὑπὸ βγζ, δύο δὴ τρίπλευρα ἐστὶ, τό τε βγδ, καὶ τὸ βγζ, τὰς δύο πλευρὰς ταῖς δυσὶ πλευραῖς ἴσας ἔχοντα, ἑκατέραν ἑκατέρα, τὴν μὲν γδ, τῇ γζ, κοινὴν δὴ τὴν βγ, καὶ γωνίαν γωνία τὴν ὑπὸ τῶν ἴσων πλευρῶν περιεχομένην τὴν ὑπὸ βγδ, τῇ ὑπὸ βγζ, καὶ βάσιν ἄρα τὴν βδ, βάσει τῇ βζ ἴσην ἕξει, καὶ γωνίαν τὴν ὑπὸ βζγ, τῇ ὑπὸ βδγ. ἀλλ' ἐπεὶ δέδεικται μικρῷ πρόσθεν, ὅτι τῶν ἴσον ἀπεχόντων τοῦ αὐτοῦ τροπικοῦ σημείου, αἱ πρὸς τὸν διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ γινόμεναι γωνίαι συναμφότεραι, δυσὶν ὀρθαῖς ἴσαι εἰσί, συναμφότεραι ἄρα ἥτε ὑπὸ γδε καὶ ἡ ὑπὸ γζα, δυσὶν ὀρθαῖς ἴσαι εἰσίν. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ βδγ, τῇ ὑπὸ βζγ ἴση. καὶ συναμφότεραι ἄρα ἥτε ὑπὸ βδε καὶ ἡ ὑπὸ βζα, δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ὅπερ ἔδει δεῖξαι. πάλιν δὴ δεικτέον ὅτι τῶν αὐτῶν σημείων τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, ἴσους χρόνους ἀπεχόντων ἐφ' ἑκάτερα τοῦ μεσημβρινοῦ, αἵτε ἀπὸ τοῦ κατὰ κορυφὴν ἐπ' αὐτὰ γραφόμεναι μεγίστων κύκλων







περιφέρειαι, ἴσαι ἀλλήλαις εἰσί. καὶ αἱ πρὸς αὐτοὺς γινόμεναι γωνίαι συναμφότεραι, ἥτε πρὸς ἀνατολὰς καὶ ἡ πρὸς δυσμὰς, δυσὶ ταῖς ὑπὸ τοῦ μεσημβρινοῦ πρὸς τῷ αὐτῷ σημείῳ γινόμεναι, ἴσαι εἰσίν, ὅταν ἐφ' ἑκατέρας θέσεως, τὰ μεσουρανοῦντα ἀμφότερα, ἤτοι νοτιώτερα, ἢ βορειότερα, τοῦ κατὰ κορυφὴν σημείου τυγχάνει. πρῶτον δ' ὑποκείσθω ἀμφότερα νοτιώτερα, καὶ ἔστω μεσημβρινοῦ τμῆμα, τὸ αβγδ, ἐπ' αὐτοῦ δὴ τὸ μὲν κατὰ κορυφὴν σημεῖον τὸ γ, πόλος δὲ τοῦ ἰσημερινοῦ τὸ δ, καὶ γεγράφθω δύο τμήματα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τότε αεζ, καὶ τὸ βηθ, οὕτως ἔχοντα, ὥστε τὸ ε σημεῖον καὶ τὸ η, τὸ αὐτὸ ὑποκείμενον, ἴσην ἐφ' ἑκάτερα τοῦ δι' αὐτοῦ παραλλήλου περιφέρειαν ἀπέχειν, τοῦ αβγδ μεσημβρινοῦ. καὶ γεγράφθω πάλιν δι' αὐτῶν τμήματα μεγίστων κύκλων ἀπὸ μὲν τοῦ γ τό τε γε, καὶ τὸ γη, ἀπὸ δὲ τοῦ δ τό τε δε, καὶ τὸ δη. διὰ τὰ αὐτὰ δὴ τοῖς ἔμπροσθεν ἐπεὶ τὰ εη σημεῖα τὸν αὐτὸν ποιοῦντα παράλληλον, ἴσας αὐτοῦ περιφερείας, ἐφ' ἑκάτερα ποιεῖ τοῦ μεσημβρινοῦ, ἰσόπλευρόν τε καὶ ἰσογώνιον γίνεται τὸ γδε τρίπλευρον, τῷ γδη, ὥστε καὶ τὴν γε τῇ γη ἴσην γίνεσθαι. λέγω δὴ ὅτι καὶ συναμφότεραι ἥτε ὑπὸ γεζ, καὶ ἡ ὑπὸ γηβ, δυσὶ ταῖς ὑπὸ δεζ δηβ ἴσαι εἰσίν. ἐπεὶ γὰρ ἡ μὲν ὑπὸ δεζ ἡ αὐτή ἐστι τῇ ὑπὸ δηβ, ἡ δὲ ὑπὸ γεδ ἴση ἐστὶ τῇ ὑπὸ δηγ, καὶ συναμφότεραι ἄρα ἥτε ὑπὸ γεδ, καὶ ἡ ὑπὸ γηβ, ἴσαι εἰσὶ τῇ ὑπὸ δεζ, ὥστε καὶ συναμφότεραι ἥτε ὑπὸ γεζ ὅλη, καὶ ἡ ὑπὸ γηβ, δυσὶ ταῖς ὑπὸ δεζ, δηβ, ἴσαι εἰσίν, ὅπερ ἔδει δεῖξαι. καταγεγράφθω πάλιν τὰ αὐτὰ τμήματα τῶν ἐκκειμένων κύκλων, ὥστε μέντοι τό τε α σημεῖον καὶ τὸ β βορειότερα γίνεσθαι τοῦ γ σημείου, λέγω ὅτι τὸ αὐτὸ καὶ οὗτος συμβήσεται, τουτέστι συναμφότεραι, ἥτε ὑπὸ κεζ γωνία, καὶ ἡ ὑπὸ ληβ, δυσὶ ταῖς ὑπὸ δεζ δηβ ἴσαι εἰσίν. ἐπεὶ γὰρ ἡ μὲν ὑπὸ δεζ, ἡ αὐτή ἐστι τῇ ὑπὸ δηβ, ἴση δὴ ἡ ὑπὸ δεκ τῇ ὑπὸ δηλ, καὶ ὅλη ἄρα ἡ ὑπὸ ληβ, ἴση ἐστὶ συναμφοτέραις τήτε ὑπὸ δεζ, καὶ τῇ ὑπὸ δεκ, ὥστε καὶ συναμφότεραι ἥτε ὑπὸ ληβ καὶ ἡ ὑπὸ κεζ, δυσὶ ταῖς ὑπὸ δεζ, δηβ, ἴσαι εἰσίν. ἐκκείσθω δὴ πάλιν ἡ ὁμοία καταγραφὴ, ὥστε μέντοι τὸ μὲν τοῦ ἀνατολικοῦ τμήματος μεσουρανοῦν σημεῖον, τουτέστι τὸ α, νοτιώτερον εἶναι τοῦ γ, κατὰ κορυφὴν σημείου, τὸ δὲ τοῦ πρὸς δυσμὰς τμήματος μεσουρανοῦν, τουτέστι τὸ β, βορειότερον τοῦ αὐτοῦ, λέγω ὅτι συναμφότεραι ἥτε ὑπὸ γεζ καὶ ἡ ὑπὸ ληβ, δύο τῶν ὑπὸ δεζ δηβ μείζονες εἰσί δυσὶν ὀρθαῖς. ἐπεὶ γὰρ ἡ μὲν ὑπὸ δηγ ἴση ἐστὶ, τῇ ὑπὸ δεγ, συναμφότεραι δὲ ἥτε ὑπὸ δηγ, καὶ ἡ ὑπὸ δηλ,





Ἐξῆς δ' ὄντος καὶ τὴν φαινομένην ἀνωμαλίαν τοῦ ἡλίου δεῖξαι, προληπτέον καθόλου, διότι καὶ αἱ τῶν πλανωμένων εἰς τὰ ἑπόμενα τοῦ οὐρανοῦ μετακινήσεις, ὥσπερ καὶ ἡ εἰς τὰ ἡγούμενα φορὰ τῶν ὅλων, ὁμαλαὶ μὲν εἰσι πᾶσαι, καὶ ἐγκύκλιοι τῇ φύσει. τουτέστι αἱ νοούμεναι περιάγειν εὐθεῖαι εὖ ἀστέρας, ἢ καὶ εὖ κύκλους αὐτῶν, ὑπὸ πάντων ἁπλῶς γὰρ τοῖς ἴσοις χρόνοις, ἴσας γωνίας ἀπολαμβάνουσι, πρὸς τοῖς κέντροις ἑκάστης τῶν περιφορῶν, αἱ δὲ φαινόμεναι περὶ αὐτὰς ἀνωμαλίαι, παρὰ τὰς θέσεις, καὶ τάξεις τῶν γὰρ ταῖς σφαίραις αὐτῶν κύκλων, δι' ὧν ποιοῦνται, τὰς κινήσεις ἀποτελοῦνται, καὶ οὐδὲν ἀλλότριον αὐτῶν τῆς ἀιδιότητος, περὶ τὴν ὑπονοουμένην τῶν φαινομένων ἀταξίαν, τοῦ ὄντι πέφυκε συμβαίνειν. τὸ δ' αἴτιον τῆς ἀνωμάλου φαντασίας, κατὰ δύο μάλιστα τὰς πρώτας καὶ ἁπλᾶς ὑποθέσεις γὰρ δέχεται γίνεσθαι. τῆς γὰρ κινήσεως αὐτῶν θεωρουμένης, πρὸς τὸν ὁμόκεντρόν τε τοῦ κόσμου, καὶ γὰρ τῷ ἐπιπέδῳ τοῦ διὰ μέσων τῶν ζωδίων νοούμενον κύκλον, ὡς ἀδιαφορεῖν πρὸς τὸ κέντρον αὐτοῦ τῆς ἡμετέραν ὄψιν, αὐτοὺς, ἢ τοι κατὰ μὴ ὁμοκέντρων τοῦ κόσμου κύκλων, ὁμαλὰς ὑπολήπτεον ποιεῖσθαι τὰς κινήσεις, ἢ κατὰ ὁμοκέντρων μὲν, οὐχ ἁπλῶς δὲ ἐπ' αὐτῶν ἀλλ' ὑπὸ ἑτέρων ὑπ' ἐκείνων φερομένων, καλουμένων δὲ ἐπικύκλων. καθ' ἑκατέραν γὰρ τούτων τῶν ὑποθέσεων, γὰρ δεχόμενον φανήσετο, τὸ, γὰρ ἴσοις αὐτοὺς χρόνοις, ἀνίσους φαίνεσθαι ταῖς ὄψεσιν ἡμῶν διερχομένους, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου ὁμοκέντρου τῷ κόσμῳ περιφερείας. ἐάν τε γὰρ, ὑπὸ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως νοήσωμεν, τὸν μὲν ἔκκεντρον κύκλον ἐφ' οὗ ὁμαλῶς ὁ ἀστὴρ κινεῖται, τὸν αβγδ περὶ κέντρον τὸ ε, καὶ διαμετρον τὴν αεδ, τὸ δὲ ζ σημεῖον ἐπ' αὐτῆς τὴν ἡμετέραν ὄψιν, ὥς τε καὶ τὸ μὲν α, τὸ ἀπογειότατον γίνεσθαι σημεῖον, τὸ δὲ δ περιγειότατον, ἀπολαβόντες τε ἴσας περιφερείας, τήν τε αβ καὶ τὴν δγ, ἐπιζεύξωμεν τὰς βε, καὶ βζ, καὶ γε, καὶ γζ, αὐτόθεν δῆλον ἔσται, διότι, τὰς αβ καὶ γδ περιφερείας, ἑκατέραν γὰρ ἴσῳ χρόνῳ κινηθεὶς ὁ ἀστὴρ, ἀνίσους δόξει τοῦ περὶ τὸ ζ κέντρον γραφομένου κύκλου, διεληλυθέναι περιφερείας. διὰ τὸ ἴσης οὔσης τῆς ὑπὸ βεα γωνίας, τῇ ὑπὸ γεδ, ἐλάσσονα μὲν γίνεσθαι τὴν ὑπὸ βζα ἑκατέρας αὐτῶν, μείζονα δὲ τὴν ὑπὸ γζδ. ἐάν τε ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως νοήσωμεν, τὸν μὲν ὁμόκεντρον, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλον, τὸν αβγδ, περὶ κέντρον τὸ ε, καὶ διαμετρον τῆς αεγ, τὸν δὲ ἐπ' αὐτοῦ φερόμενον ἐπίκυκλον, ἐφ' οὗ κινεῖται ὁ ἀστὴρ, τὸν ζηθκ, περὶ κέντρον τὸ α, φανερὸν καὶ οὕτως αὐτόθεν ἔσται, διότι, τοῦ ἐπικύκλου ὁμαλῶς διερχομένου τὴν αβγδ κύκλον, ὡς ἀπὸ τοῦ α (λόγου ἕνεκα) ὑπὸ τὸ β, καὶ τοῦ ἀστέρος τὸν ἐπίκυκλον, ὅταν μὲν κατὰ τῶν ζ καὶ θ γένηται ὁ ἀστὴρ, ἀδιαφόρως φανήσεται, τῷ α κέντρῳ τοῦ ἐπικύκλου, ὅταν δὲ κατ' ἄλλων, οὐκέτι, ἀλλὰ κατὰ μὲν τοῦ η (φέρε εἰπεῖν) γινόμενος, πλείονα δόξει πεποιῆσθαι κίνησιν, τῆς ὁμαλῆς, τῇ αη περιφερείᾳ, κατὰ δὲ τοῦ κ, ἐλάσσονα ὁμοίως τῇ ακ περιφερείᾳ. ὑπὸ μὲν οὖν τῆς τοιαύτης κατ' ἐκκεντρότητα ὑποθέσεως, ἀεὶ συμβέβηκε τὴν ἐλαχίστην κίνησιν, κατὰ τὸ ἀπογειότατον ἀκολουθεῖν, τῆς δὲ μεγίστην, κατὰ τὸ περιγειότατον. ἐπεὶ καὶ πάντοτε, ἡ ὑπὸ αζβ γωνία, ἐλάσσων ἐστὶ τῆς ὑπὸ δζγ. ὑπὸ δὲ τῆς κατ' ἐπίκυκλον, ἀμφότερα δύναται συμβαίνειν. τοῦ γὰρ ὑπὸ κύκλου εἰς τὰ ἑπόμενα





ζ 4

τοῦ οὐρανοῦ τῆς μεταβάσιν ποιουμένου, ὡς λόγου ἕνεκεν, ἀπὸ τοῦ α̅ ἐπὶ τὸ β̅, ἐὰν μὲν ὁ ἀστὴρ, οὕτως ἐν τῷ ἐπικύκλῳ ποιῆται τὴν κίνησιν, ὥστε τὴν ἀπὸ τοῦ ἀπογείου μεταβάσιν, εἰς τὰ ἑπόμενα πάλιν ἀποτελεῖσθαι, τουτέστιν ἀπὸ τοῦ ζ̅ ὡς ἐπὶ τὸ η̅, κατὰ τὸ ἀπόγειον τὴν μεγίστην πάροδον γίνεσθαι συμβήσεται, διὰ τὸ ἐπὶ τὰ αὐτὰ, τόν τε ἐπίκυκλον τότε, καὶ τὸν ἀστέρα κινεῖσθαι. ἐὰν δὲ ἡ ἀπὸ τοῦ ἀπογείου τοῦ ἀστέρος μεταβάσις, εἰς τὰ προηγούμενα τοῦ ἐπικύκλου γίνετο, τουτέστιν ἀπὸ τοῦ ζ̅ ὡς ἐπὶ τὸ κ̅, κατὰ τὸ ἀπόγειον ἀνάπαλιν ἡ ἐλαχίστη πάροδος ἀποτελεσθήσεται, διὰ τὸ εἰς τὰ ἐναντία τῆς τοῦ ἐπικύκλου μεταβάσεως, τὸν ἀστέρα τότε μετακινεῖσθαι. τούτων δ' οὕτως ἐχόντων, ἐφεξῆς κἀκεῖνα προληπτέον, ὅτι τὲ ἐπὶ μὲν τῶν τὰς διοσὰς ποιουμένων ἀνωμαλίας, ἀμφοτέρας τὰς ὑποθέσεις ταύτας ἐνδέχετο συμπεπλέχθαι, ὡς ἐν τοῖς περὶ αὐτῶν ἀποδείξομεν. ἐπὶ δὲ τῶν μιᾶ καὶ τῇ αὐτῇ κεχρημένων ἀνωμαλίᾳ, καὶ μία τῶν ἐκκειμένων ὑποθέσεων ἀρκέσει, καὶ ὅτι πάντα τὰ φαινομένα καθ' ἑκατέραν αὐτῶν ἀπαραλλάκτως ἀποτελεσθήσετο, τῶν αὐτῶν λόγων ἐν ἀμφοτέραις περιεχομένων, τουτέστιν, ὅταν ὃν ἔχει λόγον ἡ μεταξὺ τῶν κέντρων, ἐπὶ τὸ καθ' ἐκκεντρότητα ὑποθέσεως, τῆς τε ὄψεως, καὶ τοῦ ἐκκέντρου κύκλου, πρὸς τῆς ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου, τοῦτον ἔχῃ τὸν λόγον ἐπὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως ἡ ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου, πρὸς τὴν ἐκ τοῦ κέντρου τοῦ φέροντος αὐτὸν κύκλου, καὶ ἔτι ἐν ὅσῳ χρόνῳ τὸν ἔκκεντρον κύκλον ὁ ἀστὴρ, ὡς εἰς τὰ ἑπόμενα ποιούμενος τῆς κίνησιν, ἀμετάπτωτον ὄντα διαπορεύεται, ἐν τοσούτῳ καὶ ὁ μὲν ἐπίκυκλος τὸν ὁμόκεντρον τῇ ὄψει κύκλον διέρχηται, πάλιν ὡς εἰς τὰ ἑπόμενα μετακινούμενος, ὁ δ' ἀστὴρ τὸν ἐπίκυκλον ἰσοταχῶς, ὡς μέντοι τῆς κατὰ τὸ ἀπόγειον μεταβάσεως εἰς τὰ προηγούμενα γινομένης. ὅτι δὲ τούτων οὕτως ὑποκειμένων τὰ αὐτὰ περὶ ἑκατέραν τῶν ὑποθέσεων φαινόμενα συμβήσεται, διὰ βραχέων ἐφοδεύσομεν διά τε τῶν λόγων αὐτῶν, καὶ μετὰ ταῦτα, καὶ διὰ τῶν ἐφοδευομένων ἐν αὐτοῖς ἐπὶ τὸ τοῦ ἡλίου ἀνωμαλίας ἀριθμῶν. λέγω δὴ πρῶτον ὅτι καθ' ἑκατέραν αὐτῶν, ἡ μεγίστη διαφορὰ γίνεται τὸ ὁμαλῆς κινήσεως, παρὰ τῆς φαινομένην ἀνώμαλον, καθ' ἣν καὶ ἡ μέση πάροδος τῶν ἀστέρων νοῆται, ὅταν ἡ φαινομένη διάστασις ἀπὸ τοῦ ἀπογείου τεταρτημόριον ἀπολαμβάνῃ, καὶ ὅτι ἀπὸ τοῦ ἀπογειοτάτου μέχρι τὸ εἰρημένης μέσης παρόδου, χρόνος μείζων ἐστὶ τοῦ, ἀπὸ τῆς μέσης ἐπὶ τὸ περιγειότατον. ὅθεν συμβαίνει κατὰ μὲν τὴν τῶν ἐκκέντρων ὑπόθεσιν ἀεὶ, καὶ κατὰ τὴν τῶν ἐπικύκλων δὲ, ὅταν αἱ ἀπὸ τῶν ἀπογείων αὐτῶν μεταβάσεις, εἰς τὰ προηγούμενα γίνωντο, τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως, ἐπὶ τὴν μέσην, χρόνον μείζονα γίνεσθαι, τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην. διὰ τὸ κατὰ τὸ ἀπόγειον ἐν ἑκατέρᾳ τὴν ἐλαχίστην πάροδον ἀποτελεῖσθαι. κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα τῶν ἐπικύκλων, τὰς ἀπὸ τοῦ ἀπογείου ποιοῦσαν περιαγωγὰς τῶν ἀστέρων, ἀνάπαλιν τὸν ἀπὸ τῆς μεγίστης κινήσεως ἐπὶ τὴν μέσην, χρόνον μείζονα γίνεσθαι τοῦ ἀπὸ τοῦ μέσης ἐπὶ τὴν ἐλαχίστην, διὰ τὸ καὶ ἐνταῦθα κατὰ τὸ ἀπόγειον τῆς μεγίστην πάροδον ἀποτελεῖσθαι. ἔστω δὴ πρότερον ὁ ἔκκεντρος τοῦ ἀστέρος κύκλος ὁ αβγδ̅ περὶ κέντρον τὸ ε̅, καὶ διάμετρον τὴν αεγ̅, ἐφ' ἧς εἰλήφθω τὸ κέντρον τοῦ ζωδιακοῦ, τουτέστι τὸ κατὰ τὴν ὄψιν, καὶ ἔστω τὸ ζ̅, καὶ διὰ τοῦ ζ̅ πρὸς ὀρθὰς γωνίας τῇ αεγ̅ διαχθείσης τῆς βζδ̅, ὑποκείσθω ὁ ἀστὴρ ἐπὶ τῶν β̅ καὶ δ̅ σημείων, ἵνα δηλονότι τεταρτημόριον ἑκατέρωθεν ἡ φαινομένη διάστασις ἀπέχῃ, τοῦ α̅ ἀπογείου, δεικτέον ὅτι πρὸς τοῖς β̅ καὶ δ̅ σημείοις ἡ μεγίστη γίνεται διαφορὰ τῆς ὁμαλῆς κινήσεως, παρὰ τὴν ἀνώμαλον. ἐπεζεύχθωσαν γὰρ ἥτε εβ̅ καὶ ἡ εδ̅. ὅτι μὲν οὖν ὃν ἂν ἔχῃ λόγον ἡ ὑπὸ εβζ̅ γωνία πρὸς τὰς δ̅ ὀρθὰς, τοῦτον ἔχει τὸν λόγον ἡ τοῦ παρὰ τῆς ἀνωμαλίαν διαφόρου περιφέρεια, πρὸς τὸν ὅλον κύκλον, αὐτόθεν γίνεται φανερόν. ἐπειδήπερ ἡ μὲν ὑπὸ αεβ̅ γωνία, τὴν τῆς ὁμαλῆς κινήσεως ὑποτείνει περιφέρειαν, ἡ δὲ ὑπὸ αζβ̅, τὴν τῆς φαινομένης ἀνωμάλου. ὑπεροχὴ δὴ αὐτῶν ἐστιν ἡ ὑπὸ εβζ̅ γωνία. φημὶ δὴ ὅτι τούτων ἑκατέρας, ἄλλη γωνία μείζων οὐ συσταθήσεται πρὸς τῇ τοῦ αβγδ̅ κύκλου περιφερείᾳ, ἐπὶ τῆς εζ̅ εὐθείας. συνεστάτωσαν γὰρ γωνίαι πρὸς τοῖς θ̅ καὶ κ̅, ἡ ὑπὸ εθζ̅, καὶ ἡ ὑπὸ εκζ̅, καὶ ἐπεζεύχθωσαν ἥτε θδ̅, καὶ ἡ κδ̅. ἐπεὶ οὖν παντὸς τριγώνου ἡ μείζων πλευρὰ, ὑπὸ τῆς μείζονα γωνίαν ὑποτείνει, μείζων δὲ ἐστιν ἡ θζ̅ τῆς ζδ̅, μείζων ἔσται καὶ ἡ ὑπὸ θδζ̅ γωνία, τῆς ὑπὸ δθζ̅, ἴση δὲ ἐστιν ἡ ὑπὸ εδθ̅ τῇ ὑπὸ εθδ̅, ἐπείπερ καὶ ἡ εθ̅ τῇ εδ̅ ἐστὶν ἴση, καὶ ὅλη ἄρα ἡ ὑπὸ εδζ̅ γωνία, τουτέστιν ἡ ὑπὸ εβδ̅, μείζων ἐστὶ τῆς ὑπὸ εθζ̅. πάλιν ἐπεὶ μείζων ἐστὶν ἡ δζ̅ τῆς κζ̅, μείζων ἐστὶ καὶ ἡ ὑπὸ ζκδ̅, τῆς ὑπὸ ζδκ̅, ἴση δὲ ἐστιν ἡ ὑπὸ εκδ̅ ὅλη, τῇ ὑπὸ εδκ̅, ἐπείπερ καὶ ἡ εκ̅ πάλιν, τῇ εδ̅ ἐστὶν ἴση, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ εδζ̅, τουτέστιν ἡ ὑπὸ εβζ̅, τῆς ὑπὸ εκζ̅ ἐστὶ μείζων. οὐκ ἄρα δυνατὸν ἄλλας μείζονας συστήσασθαι γωνίας καθ' ὃν εἰρήκαμεν τρόπον, τῶν πρὸς τοῖς β̅ καὶ δ̅ σημείοις. συνα

ποδείκ

ποδείκνυ) δ', ὅτι ἡ ΑΒ περιφέρεια, ἥτις περιέχει τὴν ἀπὸ τ' ἐλαχίστης λυπήσεως, ἕως τῆς μέσης χρόνου, μείζων δέ ἐστι ΒΓ, ἥτις περιέχει τὴν ἀπὸ τῆς μέσης λυπήσεως ἕως τοῦ μεγίστου, χρόνου, λυσὶ ταῖς τὸ διάφορον τῆς ἀνωμαλίας περιεχούσας περιφερείας. ἐπεὶ οὖν ἡ μὲν ὑπὸ ΑΕΒ γωνία, μείζων ἐστὶν ὀρθῆς, τουτέστι τ' ὑπὸ ΕΖΒ, τῆς ὑπὸ ΕΒΖ γωνίας, ἡ ὑπὸ ΒΑΓ ἐλάσσων τῆς αὐτῆς. πάλιν ᾧ τ', ἡ ὑπὸ ΑΘΓ τῆς ἑτέρας ὑποθέσεως λαμβάνει τὸ αὐτὸ συμβαῖνον, ἔσω ὁ μὲν ὁμόκεντρος τοῦ μέσου κύκλος ὁ ΑΒΓ, περὶ κέντρον τὸ Δ, καὶ διαμέτρου τῆς ΑΔΒ, ὁ δὲ ἐπὶ τῷ αὐτῷ ἐπιπέδῳ φερόμενος ἐπ' αὐτοῦ ἐπίκυκλος, ὁ ΕΖΗ, περὶ κέντρον τὸ Α, ἡ ὑπὸ ΗΑΘ γωνία, ἥτις περιέχει τὴν ἀπόγειον σημείου, καὶ ἐπεζεύχθωσαν ἥτε ΑΗ, καὶ ΔΗΓ, λέγω ὅτι ἡ ΔΗΓ, ἐφάπτεται τοῦ ἐπικύκλου. τότε γὰρ τὸ πλεῖστον γίνεται διάφορον τῆς ὁμαλῆς λυπήσεως, παρὰ τὴν ἀνώμαλον. ἐπεὶ γὰρ ἡ μὲν ὁμαλὴ ἀπὸ τοῦ ἀπογείου λύπησις, περιέχει τὴν ὑπὸ τῆς ἀπὸ γωνίας, ἰσοταχῶς γάρ ὅτε ἀπὸ τὸν ἐπίκυκλον, καὶ ὁ ἐπίκυκλος τὸν ΑΒΓ κύκλον διέρχονται, τὸ δὲ διάφορον τῆς ὁμαλῆς λυπήσεως, παρὰ τὴν φαινομένην ὑπὸ τῆς ὑπὸ ΑΔΗ γωνίας περιέχει, φανερὸν ὅτι καὶ ἡ ὑπεροχὴ τῆς ὑπὸ ΗΑΘ γωνίας, πρὸς τὴν ὑπὸ ΑΔΗ, τουτέστιν ἡ ὑπὸ ΑΗΔ γωνία, τὴν φαινομένην τοῦ ἀστέρος ἀπὸ τοῦ ἀπογείου διάστασιν περιέχει. ὥστε ἐπεὶ ὑπόκειται αὕτη τεταρτημορίου, ὀρθὴ μὲν ἔσται καὶ ἡ ὑπὸ ΑΗΔ γωνία, ἐφαπτομένη ἡ διὰ τοῦτο ἡ ΔΗΓ εὐθεῖα, τοῦ ΕΖΗ ἐπικύκλου. ἡ ΑΓ ἄρα περιφέρεια, μεταξὺ τοῦ Α λοξοῦ καὶ τῆς ἐφαπτομένης, ἡ μεγίστη δέ διάφορα, τῆς παρὰ τὴν ἀνωμαλίαν. καὶ ἡ τὰ αὐτὰ ἡ ΕΗ περιφέρεια, ἥτις περιέχει τὴν φαινομένην ὑποπεμπτέαν τοῦ ἐπικύκλου μεταβασιν, τὴν ἀπὸ τ' ἐλαχίστης λυπήσεως ἕως τῆς μέσης, χρόνου, μείζων δέ ἐστι ΗΖ, ἥτις περιέχει τὴν ἀπὸ τῆς μέσης λυπήσεως ἕως τοῦ μεγίστου, χρόνου, λυσὶ ταῖς ΑΓ περιφερείαις. ἐπεὶ οὖν ἐάν ἐκβάλλωμεν τὴν ΔΗΘ, ἡ ἀγαγώμεν τὴν ΕΖΗΘ ὀρθὰς γωνίας, τὰς ΑΗΘ, ἴσας μὴ γίνονται ἥτε ὑπὸ ΗΑΘ γωνία τῇ ὑπὸ ΑΔΓ, καὶ ἡ ΗΘ περιφέρεια τῇ ΑΓ ὁμοία. ταύτην δὲ τ' ἑνὸς τεταρτημορίου, μείζων μείζονι ἐστὶν ἡ ΕΗΘ, ἐλάσσων δὲ ἡ ΖΗ, ὅπερ ἔδει δεῖξαι. ὅτι δὲ ἐν ταῖς τῶν ΗΖ μέρος λυπήσεων, ἐφ' ἑκατέρας τ' ὑποθέσεως, ἐν τοῖς ἴσοις χρόνοις τὰ αὐτὰ γίνεται πάντα, περί τε τὰς ὁμαλὰς καὶ τὰς φαινομένας λυπήσεις, καὶ ἔτι τὰς ὑπεροχὰς αὐτῶν, τουτέστι τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον, γνωσθήσεται τάδε. ἔστω γὰρ ὁ μὲν ὁμόκεντρος τοῦ μέσου κύκλος ὁ ΑΒΓ, περὶ κέντρον τὸ Δ, ὁ δὲ ἐπίκεντρος μὲν, ἴσος δὲ τῷ ΑΒΓ ὁμοκέντρῳ, ὁ ΕΖΗ περὶ κέντρον τὸ Θ, λοιπὴ δ' ἀμφοτέρων διάμετρος, ἡ ΔΘ τῶν δ' ΑΔ Θ ἴσων τῷ ΔΗΘ, ἀγάγωμεν τὴν ΕΖΗΘ ὀρθὰς γωνίας, τὰς ΑΘΕ, καὶ τοῦ Ε ἀπογείου, ἡ ἐπιζευχθεῖσα ἡ ΔΕΒ. καὶ ἀπολαμβάνεται τοῦ ὁμοκέντρου τυχούσης περιφερείας ἡ ΑΒ, ἴσῳ κέντρῳ τοῦ Β, διαχθέντος δὲ τοῦ ΔΘ, γεγράφθω ὁ ΗΖ ἐπίκυκλος, καὶ ἐπεζεύχθω ἡ ΚΒΔ, λέγω ὅτι ὁ μὲν ἀστὴρ, ὑφ' ἑκατέρας τῶν λυπήσεων ἐν τοῖς Ζ τομοῖς, τοῦ ἐπικέντρου καὶ τοῦ ἐπικύκλου, πάντως τῇ τοῦ ἴσου χρόνου φανήσεται, τουτέστιν ἀπὸ τῆς περιφερείας, ὁμοίας ἐούσης ἀλλήλαις, ἥτε ΕΖ τοῦ ἐπικέντρου, καὶ ἡ ΑΒ τοῦ ὁμοκέντρου, καὶ ἡ ΗΖ τοῦ ἐπικύκλου, ἡ δὲ διαφορὰ τῆς ὁμαλῆς λυπήσεως παρὰ τὴν ἀνώμαλον, τῇ τῆς φαινομένης τοῦ ἀστέρος παρόδου, λαμβανομένων τῶν ὑποθέσεων, ὁμοία καὶ ἡ αὐτὴ συμβήσεται. ἐπεζεύχθωσαν γὰρ ἥτε ΖΘ καὶ ἡ ΒΖ, καὶ ἔτι ἡ ΔΖ. ἐπεὶ τετραπλεύρου τοῦ ΒΔΘΖ αἱ ἀπεναντίον πλευραὶ, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, ἡ μὲν ΖΘ, τῇ ΒΔ, ἡ δὲ ΒΖ τῇ ΔΘ, παραλληλόγραμμον ἔσαι τὸ ΒΔΖΘ τετράπλευρον, ἴσαι ἄρα εἰσὶν





αἱ $\bar{\Gamma}$ γωνίαι, ἥτε ὑπὸ $\bar{\varepsilon\theta\zeta}$, καὶ ἡ ὑπὸ $\bar{\alpha\delta\beta}$, καὶ ἡ ὑπὸ $\bar{\zeta\beta\kappa}$, ὥστε ἐπεὶ πρὸς τοῖς κέντροις εἰσὶ καὶ τὰς ὑποτεινομένας ὑπ' αὐτῶν περιφερείας, ὁμοίας ἀλλήλαις γίνεσθαι, τήν τε $\bar{\varepsilon\zeta}$ τοῦ ἐκκέντρου, καὶ τὴν $\bar{\alpha\beta}$ τοῦ ὁμοκέντρου, καὶ τὴν $\bar{\kappa\zeta}$ τοῦ ἐπικύκλου. καθ' ἀμφοτέρας ἄρα τὰς κινήσεις ἐν τῷ ἴσῳ χρόνῳ, ὑπὸ τὸ αὐτὸ σημεῖον τὸ $\bar{\zeta}$, ἐνεχθήσεται ὁ ἀστὴρ, καὶ τὴν αὐτὴν τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου περιφέρειαν, ἀπὸ τοῦ ἀπογείου τὴν $\bar{\alpha\lambda}$ φανήσετε διεληλυθώς, ἔσαι τε ἀκολούθως, καὶ τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον, τὸ αὐτὸ καθ' ἑκατέραν τῶν ὑποθέσεων. ἐπειδὴ τὴν τοιαύτην διαφορὰν, ἐδείξαμεν περιεχομένην ὑπὸ μὲν τοῦ κατ' ἐκκεντρότητα ὑποθέσεως, ὑπὸ τοῦ ὑπὸ $\delta\bar{\zeta\theta}$ γωνίας, ὑπὸ δὲ τῆς κατ' ἐπίκυκλον, ὑπὸ τοῦ $\beta\bar{\delta\zeta}$. καὶ αὗται δὲ ἴσαι τε καὶ ἐναλλὰξ γίνονται, διὰ τὸ παραλλήλον δεδεῖχθαι, τὴν $\bar{\zeta\theta}$ τῇ $\bar{\beta\delta}$. δῆλον δ' ὅτι καὶ ἐπὶ πασῶν τῶν διαστάσεων ταῦτα παρακολουθήσει, παραλληλογράμμου πάντοτε γινομένου τοῦ $\bar{\theta\delta\beta\zeta}$ τετραπλεύρου, καὶ γραφομένου τοῦ ἐκκέντρου κύκλου ὑπ' αὐτῆς, τοῦ κατὰ τὸν ἐπίκυκλον τοῦ ἀστέρος μεταβάσεως, ὅταν οἱ λόγοι καθ' ἑκατέραν τῶν ὑποθέσεων, ὁμοιοί τε καὶ ἴσοι συμβαίνωσιν. ὅτι δὲ καὶ ὅμοιοι μόνον ὦσιν, ἄνισοι δὲ τῷ μεγέθει, τὰ αὐτὰ πάλιν φαινόμενα συμβήσεται, φανερὸν καὶ οὕτως γενήσεται. ἔστω γὰρ ὡσαύτως ὁ μὲν ὁμόκεντρος τῷ κόσμῳ κύκλος ὁ $\bar{\alpha\beta\Gamma}$, περὶ κέντρον τὸ $\bar{\delta}$, καὶ διαμέτρον, καθ' ἣν ἀπογειότατός τε καὶ περιγειότατος ὁ ἀστὴρ γίνεται τὴν $\bar{\alpha\delta\Gamma}$, ὁ δὲ περὶ τὸ $\bar{\beta}$ ἐπίκυκλος ἀπέχων ἀπὸ τοῦ $\bar{\alpha}$ ἀπογείου, τὴν $\bar{\alpha\beta}$ τυχοῦσαν περιφέρειαν, καὶ κεκινήσθω ὁ ἀστὴρ τὴν $\bar{\varepsilon\zeta}$ περιφέρειαν, ὁμοίαν γινομένην διλονότι τῇ $\bar{\alpha\beta}$, διὰ τὸ ἰσοχρονίους εἶναι τὰς τῶν κύκλων ἀποκαταστάσεις, καὶ ἐπεζεύχθωσαν ἥτε $\delta\bar{\beta\varepsilon}$, καὶ ἡ $\bar{\beta\zeta}$, καὶ ἡ $\bar{\delta\zeta}$. ὅτι μὲν οὖν ἴσαι τέ εἰσι πάντοτε, ἥτε ὑπὸ $\bar{\alpha\delta\varepsilon}$ γωνία, καὶ ἡ ὑπὸ $\bar{\zeta\beta\varepsilon}$, καὶ ὅτι ὑπὸ τοῦ $\bar{\delta\zeta}$ εὐθείας ὁ ἀστὴρ φανήσετε, κατὰ ταύτην τὴν ὑπόθεσιν, αὐτόθεν ἐστὶ δῆλον. λέγω δ' ὅτι καὶ διὰ τοῦ κατ' ἐκκεντρότητα, ἐάν τε μείζων ἐάν τε ἐλαττων ᾖ ὁ ἔκκεντρος τοῦ $\bar{\alpha\beta\Gamma}$ ὁμοκέντρου, τοῦ τε τῶν λόγων ὁμοιότητος μόνης ὑποκειμένης, καὶ τοῦ τῶν ἀποκαταστάσεων ἰσοχρονιότητος, ὑπὸ τοῦ αὐτῆς πάλιν εὐθείας τοῦ $\bar{\delta\zeta}$ φανήσετε ὁ ἀστὴρ. γεγράφθω γὰρ μείζων μὲν ὡς ἔφαμεν ἔκκεντρος ὁ $\bar{\eta\theta}$, περὶ κέντρον ὑπὸ τοῦ $\bar{\alpha\Gamma}$ τὸ $\bar{\kappa}$, ἐλάσσων δὲ ὁ $\bar{\lambda\mu}$ περὶ κέντρον ὁμοίως τὸ $\bar{\nu}$, καὶ ἐκβληθεισῶν τοῦ τε $\delta\bar{\mu\zeta\theta}$, καὶ τοῦ $\delta\bar{\lambda\alpha\eta}$, ἐπεζεύχθωσαν ἥτε $\bar{\theta\kappa}$ καὶ ἡ $\bar{\mu\nu}$. ἐπεὶ ἐστὶν ὡς ἡ $\bar{\delta\beta}$ πρὸς $\bar{\beta\zeta}$, οὕτως ἥτε $\bar{\theta\kappa}$ πρὸς $\bar{\kappa\delta}$, καὶ ἡ $\bar{\mu\nu}$ πρὸς $\bar{\nu\delta}$, καὶ γωνία ἡ ὑπὸ $\beta\bar{\zeta\delta}$, γωνία τῇ ὑπὸ $\mu\bar{\delta\nu}$ ἴση, διὰ τὸ παραλλήλον εἶναι τὴν $\bar{\delta\alpha}$ τῇ $\bar{\beta\zeta}$, ἰσογώνια ἐστὶ τὰ $\bar{\Gamma}$ τρίγωνα, καὶ αἱ ὑπὸ τὰς ἀναλόγον πλευρὰς γωνίαι, ἴσαι, ἥτε ὑπὸ $\beta\bar{\delta\zeta}$, καὶ ἡ ὑπὸ $\delta\bar{\theta\kappa}$, καὶ ἡ ὑπὸ $\delta\bar{\mu\nu}$, παραλληλοι ἄρα εἰσὶν αἱ $\bar{\beta\delta}$, καὶ $\bar{\theta\kappa}$, καὶ $\bar{\mu\nu}$ εὐθεῖαι. ὥστε καὶ γωνίαι αἱ ὑπὸ $\bar{\alpha\delta\beta}$ καὶ ἡ ὑπὸ $\bar{\alpha\kappa\theta}$, καὶ ἡ ὑπὸ $\bar{\alpha\nu\mu}$, ἴσαι εἰσί. καὶ ἐπεὶ πρὸς τοῖς κέντροις εἰσὶ τῶν κύκλων, ὅμοιαι ἔσονται καὶ αἱ ἐπ' αὐτῶν περιφέρειαι, ἥτε $\bar{\alpha\beta}$, καὶ $\bar{\eta\theta}$, καὶ $\bar{\lambda\mu}$. ἐν τῷ ἴσῳ ἄρα χρόνῳ, οὐ μόνον ὅτε ἐπίκυκλος τὴν $\bar{\alpha\beta}$ περιφέρειαν, καὶ ὁ ἀστὴρ τὴν $\bar{\varepsilon\zeta}$ διεληλύθασιν, ἀλλὰ καὶ ὑπὸ τῶν ἐκκέντρων ὁ ἀστὴρ τήν τε $\bar{\eta\theta}$, καὶ τὴν $\bar{\lambda\mu}$, διεληλυθὼς ἔσαι, καὶ ὑπὸ τοῦ αὐτῆς εὐθείας πάντοτε τοῦ $\delta\bar{\mu\zeta\theta}$ διαστοῦτο θεωρηθήσεται, καὶ κατὰ μὲν τὸν ἐπίκυκλον ὑπὸ τοῦ $\bar{\zeta}$ σημείου γινόμενος, κατὰ δὲ τὸν μείζονα ἔκκεντρον ὑπὸ τοῦ $\bar{\theta}$, κατὰ δὲ τὸν ἐλαττονα ὑπὸ τοῦ $\bar{\mu}$, καὶ ὑπὸ πασῶν τῶν θέσεων ὁμοίως. ἐπισυμβαίνει δ', ὅτι, καὶ ὅταν ἴσην περιφέρειαν ὁ ἀστὴρ ἀπειληφὼς φαίνητε, ἀπό τε





τοῦ ἀπογείου, καὶ τοῦ περιγείου, ἴσον ἔσται καθ' ἑκατέραν θέσιν, τὸ παρὰ τῆς ἀνωμαλίαν διάφορον. ἐπί τε γὰρ τῆς κατ' ἐκκεντρότητα, ἐὰν γράψωμεν τὸν αβγδ ἔκκεντρον κύκλον, περὶ κέντρον τὸ ε, καὶ διάμετρον τὴν αεγ, διὰ τοῦ α ἀπογείου, τῆς ὄψεως ὑποκειμένης ἐπ' αὐτῆς κατὰ τὸ ζ σημεῖον, καὶ διὰ τοῦ ζ τὴν ζβδ τυχοῦσαν διαγαγόντες, ἐπιζεύξωμεν τὰς εβ καὶ εδ, αἵ τε φαινόμεναι πάροδοι ἴσαι τε καὶ ἀπεναντίον ἔσονται, τουτέστιν ἥ τε ὑπὸ αζβ γωνία τῆς ἀπὸ τοῦ ἀπογείου, καὶ ἡ ὑπὸ γζδ τῆς ἀπὸ τοῦ περιγείου, τότε παρὰ τὴν ἀνωμαλίαν διάφορον τὸ αὐτὸ ἔσται. διὰ τὸ, ἴσην εἶναι τὴν μὲν βε τῇ εδ, τῆς δὲ ὑπὸ εβζ γωνίαν, τῇ ὑπὸ εδζ, ὥστε τοῦ αὐτῷ διαφόρῳ τῆς φαινομένης περιφερείας, τουτέστι τῆς ὑφ' ἑκατέρας τῶν ὑπὸ αζβ, καὶ γζδ γωνιῶν περιεχομένης, μείζονα μὲν γίνεσθαι, τὴν ἀπὸ τοῦ α ἀπογείου τῆς ὁμαλῆς κινήσεως περιφέρειαν, ἐλάσσονα δὲ τὴν ἀπὸ τοῦ γ περιγείου τῆς ὁμαλῆς κινήσεως περιφέρειαν. διὰ τὸ καὶ τὴν μὲν ὑπὸ αεβ γωνίαν, μείζονα εἶναι τῆς ὑπὸ αζβ, τὴν δὲ ὑπὸ γεδ, ἐλάσσονα τῆς ὑπὸ γζδ. καὶ ὧν τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, ἐὰν γράψωμεν, τὸν μὲν ὁμόκεντρον ὁμοίως κύκλον τὸν αβγ, περὶ κέντρον τὸ δ, καὶ διάμετρον τῆς αδγ, τὸν δ' ἐπίκυκλον τὸν εζη, περὶ κέντρον τὸ α, καὶ διαγαγόντες τῆς δκβζ τυχοῦσαν, ἐπιζεύξωμεν τὰς αζ καὶ αη, ἡ μὲν τοῦ παρὰ τῆς ἀνωμαλίαν διαφόρου περιφέρεια, ἡ αβ, ἡ αὐτὴ πάλιν ἔσται ὑποκειμένη κατ' ἀμφοτέρας τὰς θέσεις, τουτέστιν ἐάν τε κατὰ τὸ ζ, ἐάν τε κατὰ τὸ η, ἡ ὁ ἀστὴρ καὶ ἴσον δὲ ἀπέχων φανήσεται, ἀπό τε τοῦ κατὰ τὸ ἀπόγειον σημείου τοῦ διὰ μέσων τῶν ζωδίων, ὅταν ἦ κατὰ τὸ ζ, καὶ ἀπὸ τοῦ κατὰ τὸ περίγειον, ὅταν ἦ κατὰ τὸ η. ἐπειδήπερ ἡ μὲν ἀπὸ τοῦ ἀπογείου φαινομένη περιφέρεια, περιέχεται ὑπὸ τῆς ὑπὸ δζα γωνίας. ὑπεροχὴ γὰρ οὖσα ἐδείχθη τῆς τε ὁμαλῆς κινήσεως, καὶ τοῦ παρὰ τὴν ἀνωμαλίαν διαφόρου, ἡ δὲ ἀπὸ τοῦ περιγείου φαινομένη, περιέχεται ὑπὸ τῆς ὑπὸ ζηα γωνίας. ἴση γάρ ἐστι καὶ αὐτὴ, τῇ τε ἀπὸ τοῦ περιγείου ὁμαλῆς κινήσει, καὶ τοῦ παρὰ τὴν ἀνωμαλίαν διαφόρῳ. ἴση δὲ ἐστι καὶ ἡ ὑπὸ δζα γωνία, τῇ ὑπὸ ζηα, διὰ τὸ καὶ τὴν αζ, τῇ αη ἴσην εἶναι. ὥστε καὶ ἐντεῦθεν συνάγεσθαι πάλιν, ὅτι τοῦ αὐτῷ διαφόρῳ τουτέστι τῇ ὑπὸ αδη γωνία, μείζων μὲν ἐστιν ἡ πρὸς τῷ ἀπογείῳ μέση, τῆς φαινομένης, τουτέστιν ἡ ὑπὸ εαζ γωνία, τῆς ὑπὸ αζδ. ἐλάσσων δὲ ἡ πρὸς τοῦ περιγείῳ μέση, τῆς φαινομένης τῆς αὐτῆς οὔσης, τουτέστιν ἡ ὑπὸ ηαδ γωνία, τῆς ὑπὸ αηζ, ὅπερ προέκειτο δεῖξαι.





ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΗΛΙΟΥ ΦΑΙΝΟΜΕΝΗΣ ΑΝΩΜΑΛΙΑΣ.

Τούτων δὴ οὕτως προεκτεθειμένων, προυπολητέον, καὶ τὴν περὶ τὸν ἥλιον φαινομένην ἀνωμαλίαν, ἕνεκεν τοῦ μίαν τε εἶναι, καὶ τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως, ὧν τὴν μέσην, χρόνον, μείζονα ποιεῖν πάντοτε, τοῦ ἀπὸ τῆς μέσης ὧν τῆς μεγίστην. καὶ οὐδὲν γὰρ σύμφωνον ὂν εὑρίσκομεν τοῖς φαινομένοις, δύνασθαι μὲν καὶ δι' ἑκατέρας τῶν προκειμένων ὑποθέσεων, ἀποτελεῖσθαι, διὰ τῆς κατ' ἐπίκυκλον μέντοι, ὅταν κατὰ τῆς ἀπόγειον αὐτοῦ περιφέρειαν, ἡ τοῦ ἡλίου μετάβασις εἰς τὰ προηγούμενα γίνηται, εὐλογώτερον δ' ἂν εἴη περιαφθῆναι τῇ κατ' ἐκκεντρότητα ὑποθέσει ἁπλουστέρᾳ οὔσῃ, καὶ ὑπὸ μιᾶς, οὐχὶ δὲ ὑπὸ δύο κινήσεων συντελουμένῃ. προηγουμένου τοίνυν τοῦ τὸν λόγον τῆς περὶ τὸν ἡλιακὸν κύκλον ἐκκεντρότητος εὑρεῖν, τουτέστιν τίνα λόγον ἔχει ἡ μεταξὺ τῶν κέντρων τοῦ τε ἐκκέντρου, καὶ τοῦ κατὰ τὴν ὄψιν κέντρου, τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, πρὸς τῆς

ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου, καὶ ἔτι κατὰ ποῖον μάλιστα τμῆμα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, τὸ ἀπογειότατον ἐστὶ τοῦ ἐκκέντρου σημεῖον, δέδεικται μὲν ταῦτα καὶ τοῦ Ἱππάρχῳ μετὰ σπουδῆς. ὑποθέμενος γὰρ τὸν μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας μέχρι θερινῆς τροπῆς χρόνον, ἡμερῶν κ̄ δ ς̈, τὸν δὲ ἀπὸ θερινῆς τροπῆς μέχρι μετοπωρινῆς ἰσημερίας, ἡμερῶν κ̄ β ς̈, διὰ μόνων τούτων τῶν φαινομένων ἀποδείκνωσι, τὰ μὲν μεταξὺ τῶν προειρημένων κέντρων εὐθεῖαν, εἰκοστοτεταρτον ἔγγιστα μέρος οὖσαν, τοῦ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου. τὸ δ' ἀπόγειον αὐτοῦ προηγούμενον τῆς θερινῆς τροπῆς, τμήμασιν κ̄ δ ς̈ ἔγγιστα, οἵων ἐστὶν ὁ διὰ μέσων τῶν ζωδίων κύκλος τ̄ ξ̄. καὶ ἡμεῖς δὲ τοὺς μὲν τῶν προκειμένων τεταρτημορίων χρόνους, καὶ τοὺς λόγους τοὺς προκειμένους, τοὺς αὐτοὺς ἔγγιστα καὶ νῦν ὄντας εὑρίσκομεν, ὡς διαταῦτο, καὶ ὅτι τὴν αὐτὴν ἀεὶ θέσιν ὁ ἔκκεντρος τοῦ ἡλίου κύκλος συντηρεῖ, πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα, φανερὸν ἡμῖν γίνεσθαι. ἕνεκεν δὲ τοῦ μὴ παραλελειμένον εἶναι τὸν τοιοῦτον τόπον, ἀλλὰ καὶ διὰ τῶν ἡμετέρων ἀριθμῶν ἐφωδευμένον ἐκκεῖσθαι τὸ θεώρημα, ποιησόμεθα καὶ αὐτοὶ τὴν τῶν προκειμένων δεῖξιν, ὡς ὑπὸ ἐκκέντρου κύκλου, χρησάμενοι τοῖς αὐτοῖς φαινομένοις τουτέστιν ὡς ἔφαμεν, τοῦ τὸν μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας μέχρι θερινῆς τροπῆς χρόνον, περιέχειν ἡμέρας κ̄ δ ς̈, τὸν δ' ἀπὸ θερινῆς τροπῆς, μέχρι μετοπωρινῆς ἰσημερίας κ̄ β ς̈. καὶ γὰρ διὰ τῶν ἀκριβέστατα τηρηθεισῶν ὑφ' ἡμῶν κατὰ τὸ υξ̄ ἔτος, ἀπὸ τῆς Ἀλεξάνδρου τελευτῆς, ἐαρινῆς ἰσημερίας τε καὶ θερινῆς τροπῆς, σύμφωνον τὸ τῶν διαστάσεων πλῆθος, τῶν ἡμερῶν εὑρίσκομεν. ἐπειδήπερ ὡς ἔφαμεν ἡ μὲν μετοπωρινὴ ἰσημερία, γέγονε τῇ θ̄ τοῦ ἀθὺρ, μετὰ τὴν τοῦ ἡλίου ἀνατολὴν, ἡ δὲ ἐαρινὴ τῇ ζ̄ τοῦ παχὼν, μετὰ τὴν μεσημβρίαν, ὡς συναγεσθαι τὴν διάστασιν, ἡμερῶν ρο̄ η δ̈. τὴν δὴ θερινὴν τροπὴν τῇ ῑα τοῦ μεσορῆ, μετὰ τὸ εἰς τὴν ῑβ μετονύκτιον. ὡς καὶ ταύτην μὲν τὴν διάστασιν, τουτέστι τὴν ἀπὸ ἐαρινῆς ἰσημερίας, ὑπὸ τὴν θερινὴν τροπὴν, ἡμέρας συνάγειν κ̄ δ ς̈, καταλείπεσθαι δ' εἰς τὴν ἀπὸ τοῦ θερινῆς τροπῆς, ὑπὸ τὴν ἑξῆς μετοπωρινὴν ἰσημερίαν, τὰς λοιπὰς εἰς τὸν ἐνιαύσιον χρόνον ἡμέρας ἔγγιστα κ̄ β ς̈. ἔστω δὴ ὁ διὰ μέσων τῶν ζωδίων κύκλος ὁ αβ̄ γ̄ δ̄, περὶ κέντρον τὸ ε̄, καὶ διήχθωσαν ἐν αὐτῷ δύο διάμετροι πρὸς ὀρθὰς ἀλλήλαις, διὰ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, ἥτε ᾱ γ̄ καὶ β̄ δ̄. ὑποκείσθω δὴ τὸ μὲν ᾱ ἐαρινὸν σημεῖον, τὸ δὴ β̄ θερινὸν, καὶ τὰ ἑξῆς ἀκολούθως. ὅτι μὲν οὖν τὸ κέντρον τοῦ ἐκκέντρου κύκλου, μεταξὺ τῶν ε̄α καὶ ε̄β εὐθειῶν πεσεῖται, φανερὸν ἐκ τοῦ τὸ μὲν αβ̄ γ̄ ἡμικύκλιον, πλείονα περιέχειν χρόνον τοῦ ἡμίσους τοῦ ἐνιαυσίου χρόνου, καὶ διαταῦτο μεῖζον ἀπολαμβάνειν τοῦ ἐκκέντρου τμῆμα ἡμικύκλου, τὸ δὲ ᾱβ τεταρτημόριον, καὶ αὐτὸ πλείονα περιέχειν χρόνον, καὶ μείζονα περιφέρειαν ἀπολαμβάνειν τοῦ ἐκκέντρου, παρὰ τὸ β̄ γ̄ τεταρτημόριον. τούτου δὲ οὕτως ἔχοντος, ὑποκείσθω τὸ ζ̄ σημεῖον, κέντρον τοῦ ἐκκέντρου, καὶ διήχθω μὲν ἡ διαμφοτέρων τῶν κέντρων καὶ τοῦ ἀπογείου διάμετρος ἡ ε̄ζ̄η, κέντρῳ δὲ τῷ ζ̄ καὶ διαστήματι τυχόντι, γεγράφθω ὁ ἔκκεντρος τοῦ ἡλίου κύκλος, ὁ θκ̄λ̄μ, καὶ διὰ τοῦ ζ̄ ἤχθωσαν παράλληλοι, τῇ μὲν ᾱγ̄, ἡ νξ̄ο, τῇ δὲ β̄δ̄, ἡ πρ̄ς. καὶ ἔτι ἤχθωσαν κάθετοι ἀπὸ μὲν τοῦ θ̄ ὑπὸ τὴν νξ̄ο, ἡ θτ̄υ, ἀπὸ δὲ τοῦ κ̄ ὑπὸ τὴν πρ̄ς ἡ κφ̄χ. ἐπεὶ τείνυν ὁ ἥλιος τὸν θκ̄λ̄μ κύκλον ὁμαλῶς διερχόμενος, τὴν μὲν θ̄κ περιφέρειαν διαπορεύεται ἐν ἡμέραις κ̄ δ ς̈, τὴν δὲ κ̄λ̄ ἐν ἡμέραις κ̄ β ς̈, κινεῖται δὲ ὁμαλῶς ἐν μὲν ταῖς κ̄ δ ς̈ ἡμέραις, μοιρὰς κ̄ γ̄ θ̈ ἔγγιστα, οἵων ἐστὶν ὁ κύκλος τ̄ ξ̄, ἐν δὲ ταῖς κ̄ β ς̈ μοιρὰς κ̄ α ϊα, εἴη ἂν τὸ μὲν θκ̄λ τμῆμα, μοιρῶν ρπ̄ δ κ̈, συναμφότερα δὲ τό τε ν̄θ καὶ τὸ λ̄ο, τῶν λοιπῶν τῶν εἰς τὸ ν̄πο ἡμικύκλιον, μοιρῶν δ̄κ. ἡ δὴ διπλῆ περιφέρεια τοῦ θ̄μ ἡ θν̄υ, τῶν αὐτῶν δ̄ κ̈. ὥστε καὶ ἡ μὲν ὑπὸ αὐτὴν εὐθεῖα ἡ θ̄υ, τοιούτων ἔσται δ̄λ β̈ ἔγγιστα, οἵων ἐστὶν ἡ τοῦ ἐκκέντρου διάμετρος ρ̄κ. ἡ δὲ ἡμίσεια αὐτῆς ἡ θ̄τ, τουτέστιν ἡ ε̄ξ̄, τῶν αὐτῶν β̄ ϊς. πάλιν ἐπεὶ τὸ θν̄πκ τμῆμα ὅλον, μοιρῶν ἐστιν κ̄ γ̄ θ̈, ἔστι δὲ καὶ τὸ θ̄ν, μοιρ. β̄ ϊ, τὸ δὲ ν̄π τεταρτημόριον μοιρῶν κ̄, καὶ λοιπὴ μὲν ἔσται ἡ π̄κ περιφέρεια, μοιρῶν ο̄ν θ̈, ἡ δὲ διπλῆ αὐτῆς, ἡ κ̄πχ περιφέρεια, μοιρ. ᾱν η̈. ὥστε καὶ ἡ μὲν ὑπὸ αὐτὴν εὐθεῖα ἡ κφ̄χ τοιούτων ἔσται β̄ δ̈, οἵων ἐστὶν ἡ τοῦ ἐκκέντρου διάμετρος ρ̄κ, ἡ δ' ἡμίσεια αὐτῆς ἡ κ̄φ τουτέστιν ζ̄ξ τμημάτων ᾱ β̈. τῶν δ' αὐτῶν ἐδείχθη καὶ ἡ ε̄ζ εὐθεῖα β̄ ϊς. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν συντεθέντα, ποιεῖ τὸ ἀπὸ τοῦ ε̄ζ, ἔσται καὶ αὐτὴ μήκει τοιούτων β̄ κθ ς̈ ἔγγιστα, οἵων ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄. ἡ ἄρα ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου κύκλου τετρακαιεικοσαπλασίων ἐστὶν ἔγγιστα τοῦ μεταξὺ τῶν κέντρων αὐτοῦ τε καὶ τοῦ ζωδιακοῦ. πάλιν ἐπεὶ οἵων ἡ ε̄ζ ἐδείχθη β̄ κθ ς̈, τοιούτων ἦν ἡ ζ̄ξ εὐθεῖα ᾱ β̈, καὶ οἵων ἄρα ἐστὶν ἡ ε̄ζ ὑποτείνουσα ρ̄κ, τοιούτων ἔσται καὶ ἡ μὲν ζ̄ξ εὐθεῖα μ̄θ μ̈ς ἔγγιστα, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοῦ γραφομένου κύκλου περὶ τὸ ε̄ζ̄ξ ὀρθογώνιον, τοιούτων μ̄θ ἔγγιστα, οἵων ἐστὶν ὁ κύκλος τ̄ ξ̄, καὶ ἡ ὑπὸ ζ̄ε̄ξ ἄρα γωνία, οἵων μέν εἰσιν αἱ β̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων

ὑτων κδλ. ὥστε ἐπεὶ πρὸς τοῦ κέντρῳ ἐστὶ τοῦ ζωδιακοῦ καὶ ἡ βη περιφέρεια, ἣν προηγεῖται τὸ κτ τὸ η ἀπόγειον τοῦ β θερινοῦ τροπικοῦ σημείου, μοιρῶν ἐστιν κδλ. λοιπὸν δὲ ἐπειδὴ τὸ μὲν ος τεταρτημόριον αὐτό τε καὶ τὸ ον ἑκάτερον, μοιρῶν ἐστιν ιη, ἔστι δὲ καὶ ἡ μὲν ολ περιφέρεια αὐτή τε καὶ ἡ θν ἑκατέρα μοιρ. βι. ἡ δὲ με, μοιρῶν ονθ. ἡ ἡ μ λμ περιφέρεια ἔσται μοιρ. πς νά. ἡ δὲ μθ μοιρῶν πη μθ. ἀλλὰ τὰς μὲν πς νά μοιρ. ὁμαλῶς ὁ ἥλιος διέρχετο, ἐν ἡμέραις πη ἡ, τὰς δὲ πη μθ μοιρὰς, ἐν ἡμέραις ιη καὶ ἡ ἔγγιστα, ὥστε ἡ τῆς μ γδ περιφέρειαν ἥτις ἐστὶν ἀπὸ μεταπωρινῆς ἰσημερίας ἐπὶ χειμερινὴν τροπὴν, φανήσετο διερχόμενος ὁ ἥλιος, ἐν ἡμέραις πη καὶ ἡ, τῆς δὲ δα, ἥτις ἐστὶν ἀπὸ χειμερινῆς τροπῆς ἐπὶ τὴν ἐαρινὴν ἰσημερίαν, ἐν ἡμέραις ιη καὶ ἡ ἔγγιστα. καὶ εὕρηται ἡμῖν τὰ προκείμενα συμφώνως τοῖς ὑπὸ τοῦ Ἱππάρχου λεγομένοις. κτ ταύτας οὖν τὰς πηλικότητας σκεψώμεθα πρότερον, πόσον ἐστὶ τὸ πλεῖστον διάφορον τῆς ὁμαλῆς κινήσεως παρὰ τὴν ἀνώμαλον, καὶ πρὸς τίσι σημείοις τὸ τοιοῦτον συμβήσεται. ἔστω δὴ ἔκκεντρος κύκλος αβγ, περὶ κέντρον τὸ δ, καὶ διάμετρον διὰ τοῦ α ἀπογείου τῆς αδγ, ἐφ' ἧς ἔστω τὸ κέντρον τοῦ ζωδιακοῦ τὸ ε, καὶ πρὸς ὀρθὰς γωνίας τῇ αγ, ἤχθω ἡ εβ, καὶ ἐπεζεύχθω ἡ δβ. ἐπεὶ οἵων ἐστὶν ἡ βδ ἐκ τοῦ κέντρου ξ, τοιούτων ἐστὶν ἡ δε μεταξὺ τῶν κέντρων βλ, κτ τὸν τετρακαιεικοσαπλασίονα λόγον. καὶ οἵων ἄρα ἐστὶν ἡ βδ ὑποτείνουσα ρκ, τοιούτων ἔσται καὶ ἡ μὲν δε εὐθεῖα ε, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοιούτων δμς ἔγγιστα, οἵων ἐστὶν ὁ περὶ τὸ βδε ὀρθογώνιον κύκλος τξ, ὥστε ἡ ὑπὸ δβε γωνία, ἥτις περιέχει τὸ πλεῖστον διάφορον τῆς ἀνωμαλίας, οἵων μ εἰσιν αἱ β ὀρθαὶ τξ, τοιούτων ἔσται δμς, οἵων δὲ αἱ δ ὀρθαὶ τξ, τοιούτων βκγ. τῶν δ' αὐτῶν ἐστι καὶ ἡ μ ὑπὸ βεδ ὀρθὴ γωνία ιη. ἡ δὲ ἴση ταῖς δυσὶν ὑπὸ βδα διλονότι ιη βκγ. καὶ ἐπεὶ πρὸς τοῖς κέντροις εἰσὶν, ἡ μ ὑπὸ βδα τοῦ ἐκκέντρου, ἡ δὲ ὑπὸ βεδ τοῦ ζωδιακοῦ, ἕξομεν τὸ μὲν πλεῖστον διάφορον τοῦ παρὰ τὴν ἀνωμαλίαν, μοιρῶν βκγ, τῶν δὲ περιφερῶν πρὸς αἷς τοῦτο γίνεται, τὴν μ τοῦ ἐκκέντρου καὶ ὁμαλὴν, μοιρῶν ιη βκγ, ἀπὸ τοῦ ἀπογείου, τὴν δὲ τοῦ ζωδιακοῦ καὶ ἀνώμαλον φαινομένην τῶν τοῦ τεταρτημορίου. καθάπερ καὶ πρότερον ἀπεδείξαμεν, μοιρῶν ιη. φανερὸν δ' ἐκ τῶν προεφωδευμένων, ὅτι κτ τὸ ἀντικείμενον τμῆμα, ἡ μ φαινομένη μέση πάροδος, ἡ τὸ πλεῖστον διάφορον τῆς ἀνωμαλίας ἔσται, κτ τὰς σο μοιρ. ἡ δ' ὁμαλὴ καὶ κτ τὸν ἔκκεντρον κατὰ τας σξζλζ. ἵνα δὲ καὶ διὰ τῶν ἀριθμῶν, ὡς ἔφαμεν, τὰς αὐτὰς πηλικότητας δείξωμεν συναγομένας, καὶ ἐπὶ τῆς κατὰ τὸν ἐπίκυκλον ὑποθέσεως, ὅταν οἱ αὐτοὶ λόγοι καθ' ὃν εἰρήκαμεν τρόπον περιέχωντο, ἔστω ὁ μὲν ὁμόκεντρος τοῦ διὰ μέσων τῶν ζωδίων κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ, καὶ διάμετρον τὴν αδγ, ὁ δ' ἐπίκυκλος ὁ εζη, περὶ κέντρον τὸ α, καὶ ἤχθω ἀπὸ τοῦ δ ἐφαπτομένη τοῦ ἐπικύκλου εὐθεῖα ἡ δζβ, καὶ ἐπεζεύχθω ἡ αζ. γίνετο δὴ ὡσαύτως ἐν ὀρθογωνίῳ τῷ αδζ, τετρακαιεικοσαπλασίων ἡ αδ







τῆς ᾱζ. ὥστε καὶ οἵων ἐστὶν ἡ ᾱδ ὑποτείνουσα ρ̄κ, τοιούτων πάλιν καὶ τῆς μὲν ᾱζ γίνεσθαι ε̄, τῆς δὲ ἐπ' αὐτῆς περιφέρειαν, τοιούτων δ̄ μς, οἵων ἐστὶν ὁ περὶ τὸ αδ̄ζ ὀρθογώνιον γραφόμενος κύκλος τ̄ξ. καὶ ἡ ὑπὸ αδ̄ζ ἄρα γωνία, οἵων μὲν εἰσιν αἱ δύο ὀρθαὶ τ̄ξ, τοιούτων ἔσται δ̄ μς, οἵων δὲ αἱ δ̄ ὀρθαὶ τ̄ξ, τοιούτων β̄ κγ. τὸ μὲν πλεῖστον ἄρα διάφορον τῆς ἀνωμαλίας, τουτέστιν ἡ ᾱβ περιφέρεια, καὶ ἐν τοῦθεν εὕρητο συμφώνος μοιρ. β̄ κγ, ἡ δὲ ἀνώμαλος περιφέρεια ἐπείπερ ὑπὸ τῆς ὑπὸ ᾱζδ ὀρθῆς γωνίας περιέχητο, μοιρ. ϟ̄, ἡ δὲ ὁμαλὴ, περιεχομένη δὲ ὑπὸ τῆς εᾱζ γωνίας, μοιρ. πάλιν ϟ̄β κγ.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΤΑ ΚΑΤΑ ΜΕΡΟΣ ΤΜΗΜΑΤΑ ΤΗΣ ΑΝΩΜΑΛΙΑΣ ΕΠΙΣΚΕΨΕΩΣ.



Ἔνεκεν δὲ τοῦ καὶ τὰς κατὰ μέρος ἀνωμαλοὺς κινίσεις ἑκάστοτε δύνασθαι διακρίνειν, δείξομεν πάλιν ἐφ' ἑκατέρας τῶν ὑποθέσεων, πῶς ἂν μιᾶς τῶν ἐκκειμένων περιφερειῶν δοθείσης, λαμβάνοιμεν καὶ τὰς λοιπάς. ἔστω δὴ πρῶτον μὲν ὁμόκεντρος τοῦ ζωδιακῷ κύκλῳ ὁ αβγ, περὶ κέντρον τὸ δ̄, ὁ δ' ἔκκεντρος ὁ εζη, περὶ κέντρον τὸ θ̄, ἡ δὲ δι' ἀμφοτέρων τῶν κέντρων, καὶ τοῦ ε̄ ἀπογείου διαμέτρος ἡ εαθδη. καὶ ἀπολημφθείσης τῆς ε̄ζ περιφερείας, ἐπεζεύχθωσαν ἥτε ζδ, καὶ ἡ ζθ. δεδόσθω δὲ πρῶτον ἡ ε̄ζ περιφέρεια μοιρῶν οὖσα λόγου ἕνεκεν λ̄, καὶ ἐκβληθείσης τῆς ζθ, κάθετος ἐπ' αὐτὴν ἤχθω ἀπὸ τοῦ δ̄, ἡ δκ. ἐπεὶ τοίνυν ἡ ε̄ζ περιφέρεια ὑπόκειται μοιρῶν λ̄, καὶ ἡ ὑπὸ εθ̄ζ ἄρα γωνία, τουτέστιν ἡ ὑπὸ δθ̄κ, οἵων μὲν εἰσιν αἱ δ̄ ὀρθαὶ τ̄ξ, τοιούτων ἔσται λ̄, οἵων δὲ αἱ β̄ ὀρθαὶ τ̄ξ, τοιούτων ξ̄. καὶ ἡ μὲν ὑπὸ τῆς δ̄κ ἄρα περιφέρεια, τοιούτων ἐστὶν ξ̄, οἵων. ὁ περὶ τὸ δθ̄κ ὀρθογώνιον κύκλος τ̄ξ. ἡ δὲ ὑπὸ τῆς κθ̄ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρ̄κ. καὶ αἱ ὑπ' αὐτὰς ἄρα εὐθεῖαι ἔσονται ἡ μὲν δ̄κ τοιούτων ξ̄, οἵων ἐστὶν ἡ δθ̄ ὑποτείνουσα ρ̄κ, ἡ δὲ κθ̄ τῶν αὐτῶν ργ̄ν ε. ὥστε καὶ οἵων ἐστὶν ἡ μὲν δθ̄ εὐθεῖα β̄ λ, ἡ δὲ ζθ̄ ἐκ τοῦ κέντρου ξ̄, τοιούτων καὶ ἡ μὲν δ̄κ ἔσται ᾱ ιε, ἡ δὲ θ̄κ, τῶν αὐτῶν β̄ ι. ἡ δὲ κθ̄ζ ὅλη ξ̄β ι. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν συντεθέντα, ποιεῖ τὸ ἀπὸ τῆς ζδ, ἔσται καὶ ἡ ζδ ὑποτείνουσα, τοιούτων ξ̄β ιά ἔγγιστα. καὶ οἵων ἄρα ἐστὶν ἡ ζδ ρ̄κ, τοιούτων ἔσται καὶ ἡ μὲν δ̄κ εὐθεῖα β̄κ ε. ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια τοιούτων β̄ ιή, οἵων ἐστὶν ὁ περὶ τὸ ζδ̄κ ὀρθογώνιον κύκλος τ̄ξ. ὥστε καὶ ἡ ὑπὸ δζ̄κ γωνία, οἵων μὲν εἰσιν αἱ β̄ ὀρθαὶ τ̄ξ, τοιούτων ἐστὶ β̄ ιή, οἵων δὲ αἱ δ̄ ὀρθαὶ τ̄ξ, τοιούτων ᾱ θ. τοσούτων ἄρα ἐστὶ τὸ παρὰ τὴν ἀνωμαλίαν τότε διάφορον. τῶν δ' αὐτῶν καὶ ἡ ὑπὸ εθ̄ζ γωνία λ̄. καὶ λοιπὴ ἄρα ἡ ὑπὸ αδ̄β γωνία, τουτέστιν ἡ ᾱβ τοῦ ζωδιακοῦ περιφέρεια, μοιρῶν ἐστιν κ̄η νά. ὅτι δὲ καὶ ἄλλη τις τῶν γωνιῶν δοθῇ, καὶ αἱ λοιπαὶ δοθήσονται, φανερὸν αὐτόθεν ἔσται, καθέτου ἀχθείσης ὑπὸ τῆς αὐτῆς κατὰ γραφῆς, ἀπὸ τοῦ θ̄ ὑπὸ τὴν ζδ τῆς θλ. ἐάν τε γὰρ τὴν ᾱβ τοῦ ζωδιακοῦ περιφέρειαν ὑποθώμεθα δεδομένην, τουτέστιν τῆς ὑπὸ θδ̄λ γωνίαν, διάτουτον ἔσται καὶ ὁ τῆς δθ πρὸς θλ λόγος δεδομένος. δεδομένου δὲ καὶ τοῦ τῆς δθ πρὸς θζ, δοθήσετο καὶ ὁ τῆς θζ πρὸς θλ. διατοῦτο δὲ ἕξομεν δεδομένας τήν τε ὑπὸ θζλ γωνίαν, τουτέστι τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον, καὶ τῆς ὑπὸ εθ̄ζ, τουτέστι τὴν ε̄ζ τοῦ ἐκκέντρου περιφέρειαν. ἐάν τε τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον ὑποθώμεθα δεδομένον, τουτέστιν τῆς ὑπὸ θζδ γωνίαν, ἀναπαλιν τὰ αὐτὰ συμβήσεται. δεδομένου μὲν διατοῦτο τοῦ τῆς θζ πρὸς θλ λόγου. δεδομένου δὲ ἐξαρχῆς καὶ τοῦ τῆς θζ πρὸς θδ. ὥστε δεδόσθαι μὲν καὶ τὸν τῆς δθ πρὸς θλ λόγον, δεδόσθαι δὲ διατοῦτο καὶ τῆς ὑπὸ θδλ γωνίαν, τουτέστιν τὴν ᾱβ τοῦ ζωδιακοῦ περιφέρειαν, καὶ τὴν ὑπὸ εθ̄ζ, τουτέστι τὴν ε̄ζ τοῦ ἐκκέντρου περιφέρειαν. πάλιν ἔστω ὁ μὲν ὁμόκεντρος τοῦ διὰ μέσων κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ̄, καὶ διαμέτρον τὴν αδ̄γ, ὁ δὲ κατὰ τὸν αὐτὸν λόγον ἐπικύκλος ὁ εζηθ, περὶ κέντρον τὸ ᾱ, καὶ ἀπολημφθείσης τῆς ε̄ζ περιφερείας, ἐπεζεύχθωσαν ἥτε ζβδ, καὶ ἡ ζα. ὑπόκεισθω δὲ πάλιν ἡ ε̄ζ περιφέρεια τῶν αὐτῶν μοιρῶν λ̄, καὶ ἤχθω ἀπὸ τοῦ ζ κάθετος, ὑπὸ τὴν ᾱε ἡ κζ.





ἐπεὶ

ἐπεὶ ἡ ΖΡ περιφέρεια, μοιρῶν ἐστι Λ, εἴη ἂν καὶ ἡ μὲν ὑπὸ ΕΑΖ γωνία, οἵων μγ΄ εἰσιν αἱ Δ ὀρθαὶ τ ξ, τοιούτων Λ, οἵων δὲ αἱ δύο ὀρθαὶ τ ξ, τοιούτων ξ. ὥστε καὶ ἡ μὲν ὑπὸ ΖΚΡ περιφέρεια, τοιούτων ὀδὼν ξ, οἵων ὁ πρὸς τῷ Κ ὀρθογώνιον κύκλος τ ξ. ἡ δ' ὑπὸ τῆς ΑΚ, τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ϱ κ. καὶ αἱ ὑπὸ αὐτὰς ἄρα δύο εὐθεῖαι ἔσονται ἡ μὲν ΖΚ τοιούτων ξ, οἵων ὀδὼν ἡ ΑΖ διάμετρος ϱ κ. ἡ δὲ ΚΑ, τῶν αὐτῶν ϱ γ νε. ὥστε καὶ οἵων ὀδὼν ἡ μὲν ΑΖ ὑποτείνουσα β λ, ἡ δὲ ΑΔ ἐκ τοῦ κέντρου ξ, τοιούτων ἔσαι καὶ ἡ μὲν ΖΚ δυθεῖα α ιϛ, ἡ δὲ ΚΑ τῶν αὐτῶν β ί, ἡ δὲ ΚΔ ὅλη ξβ ί. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν σωτεθγότα ποιεῖ τὸ ἀπὸ ΖΔ, ἔσαι καὶ ἡ ΖΔ μήκει τοιούτων ξβ ιά, οἵων ἡ ΖΚ ὡ α ιε. καὶ οἵων ἄρα ὀδὼν ἡ δὶς ὑποτείνουσα ϱ κ, τοιούτων ἔσαι ⟨ἡ ΜΝ, ΖΚ δυθεῖα β κέ. ἡ δ' ἐπ' αὐτῆς περιφέρεια τοιούτων β ιά, οἵων ὁ πρὸς τῷ Ν ὀρθογώνιον κύκλος τ ξ, ὥστε καὶ ἡ ὑπὸ ΖΔΚ γωνία, οἵων μγ΄ εἰσιν αἱ Δ ὀρθαὶ τ ξ, τοιούτων ὀδὼν β ιά, οἵων δ' αἱ δύο ὀρθαὶ τ ξ, τοιούτων α θ. τοσούτων ἄρα ὀδὼν πάλιν τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον ΖΔ περιφερείας. τ δ' αὐτῶν ὡ ἡ ὑπὸ ΕΑΖ γωνία Λ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΖΔ γωνία, τουτέστιν ἡ φαινομένη τοῦ ζωδιακοῦ περιφέρεια, μοιρῶν κθ νά, συμφώνως ταῖς ὡ ΖΔ ἐκκεντρότητος ἀπὸ διαιρεσιμφίας πηλικότησιν. ὁμοίως δὲ καὶ ἐν τῷ ΑΒΓ ἄλλη τοιαύτη γωνία, διαιρουμένη ἐν τοῖς ⟨ αἱ λοιπαί, ἀχθείσης καθέτου ὡ τ αὐτῆς καταγραφῆς, ἀπὸ τ α ὡδὶ τῷ δ ΖΔ ΑΛ. ἐάν τε γὰρ πάλιν τῷ φαινομένῳ τοῦ ζωδιακοῦ περιφερείαν λάμῃ, τῷ ὑπὸ ΑΖΔ γωνίαν, διαιρουμένου ⟨ ΜΔ διατοῦτο ἔσαι, ⟨ ὁ ΖΔ πρὸς ΑΛ λόγος. διαιρουμένου δὲ ἀπ' ἀρχῆς καὶ τοῦ ΖΔ πρὸς ΑΔ, λοιπὴ ἔσται καὶ ὁ τῆς Δ πρὸς ΑΛ. ἀλλὰ δὲ τοῦτο ⟨ ἦτε ὑπὸ ΑΖΔ γωνία διαιρουμένη ἔσαι, τουτέστιν ἡ φαινομένη τοῦ ζωδιακοῦ περιφέρεια, καὶ ἡ ὑπὸ ΕΑΖ, τουτέστιν ἡ ΕΖ τοῦ ἐπικύκλου περιφέρεια. πάλιν ὡ ΖΔ προειμένης τοῦ ἐκκέντρου κύκλου καταγραφῆς, ἀπειλήφθω ἀπὸ τοῦ Η περιγείου, τοῦ ἐκκέντρου ἡ ΗΖ περιφέρεια, ὑποκειμένων τῶν αὐτῶν μοιρῶν Λ, καὶ ἐπεζεύχθωσαν ἥτε ΔΖΒ, καὶ ἡ ΖΘ. καὶ κάθετος ἤχθω ἀπὸ τοῦ Δ ὡδὶ τῷ ΘΖ ἡ ΔΚ. ἐπεὶ ἡ ΖΗ περιφέρεια μοιρῶν ἐστι Λ, εἴη ἂν καὶ ἡ ὑπὸ ΖΘΗ γωνία, οἵων μγ΄ εἰσιν αἱ Δ ὀρθαὶ τ ξ, τοιούτων Λ, οἵων δὲ αἱ δύο ὀρθαὶ τ ξ, τοιούτων ξ. ὥστε καὶ ἡ μὲν ὡδὶ ΖΚ δυθείας περιφέρεια, τοιούτων ὀδὼν ξ, οἵων ὁ πρὸς τὸ λθκ ὀρθογώνιον κύκλος τ ξ. ἡ δὲ ὡδὶ ΚΘ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον τμημάτων ϱ κ. αἱ ἄρα ὑποτείνουσαι αὐτὰς δυθεῖαι ἔσονται, ἡ μὲν ΔΚ, τοιούτων ξ, οἵων ὀδὼν ἡ ΔΘ διάμετρος ϱ κ, ἡ δὲ ΚΘ τῶν αὐτῶν ϱ γ νε. ⟨ οἵων ἄρα ὀδὼν ἡ μὲν ΔΘ ὑποτείνουσα β λ, ἡ δὲ ΘΖ ἐκ τοῦ κέντρου ξ, τοιούτων ὀδὼν καὶ ἡ μὲν ΔΚ δυθεῖα, α ιε ἡ, δὲ ΘΚ ὁμοίως β ί, ἡ δὲ ΚΖ τῶν λοιπῶν νζ ν. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν σωτεθγότα, ποιεῖ τὸ ἀπὸ ΔΖ, ἔσαι καὶ αὐτὴ μήκει τοιούτων νζ να΄ ἐγγισα, οἵων ἡ ΔΚ ⟨ ιε. ⟨ οἵων







ὀδὶν ἡ δ ϛ ὑποτείνουσα ρ̄ κ, τοιούτων καὶ ἡ μὲν δ κ ἔσαι β̄ λδ̄ λς. ἡ δὲ ἐπ' αὐτὴν περιφέρεια τοιούτων β̄ κ ϛ, οἵων ὁ πᾶσι τὸ δ ϛ κ ὀρθογώνιον λύκλος τ̄ ξ̄. ὥστε ☾ ἡ ὑπὸ δ ϛ κ γωνία, οἵων μέν εἰσιν αἱ β̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων ὀδὶν β̄ κ ϛ, οἵων δ' αἱ δ̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων ᾱ ισ̄ ἐγγισα. τοσοῦτον ἄρα ὀδὶν τὸ παρὰ τὴν ἀνωμαλίαν διαφορον. καὶ ἐπεὶ, τῶν αὐτῶν ὑποκειται καὶ ἡ ὑπὸ ζ θ̄ η γωνία λ̄, ἔσαι καὶ ἡ ὑπὸ β δ̄ γ ὅλη, τουτέστιν ἡ γ̄ β περιφέρεια μοιρῶν λᾱ ισ̄. διατὰ τὰ αὐτὰ δὲ ☾ γνωσθήσεται ἐκβληθείσης ☿ β̄ δ̄, καὶ καθέτου ἐπ' αὐτὴν ἀχθείσης τ̄ θ̄ λ, ἐάν τε τὴν γ̄ β τοῦ ζῳ διακοῦ περιφέρειαν λάβωμεν, τουτέστι τὴν ὑπὸ θ δ̄ λ γωνίαν, λοιπήσεται μὲν διατοῦτο καὶ ὁ ☿ δ̄ θ πρὸς θ̄ λ λόγος, διεσδομένου δ' ἀρχῆς καὶ τοῦ τῆς θ δ̄ πρὸς θ ϛ, λοιπήσεται ☾ ὁ ☿ θ ϛ πρὸς θ̄ λ. σχεδὸν τοῦτο λείξομεν διεσδομένας, τήν τε ὑπὸ θ ϛ δ̄ γωνίαν, τουτέστι τὸ παρὰ τὴν ἀνωμαλίαν διαφορον, καὶ τὴν ὑπὸ ζ θ̄ δ̄, τουτέστιν τὴν γ̄ ϛ τοῦ ἐκκέντρου περιφέρειαν. ἐάν τε τὸ παρὰ τὴν ἀνωμαλίαν διαφορον λάβωμεν, τουτέστιν τὴν ὑπὸ θ ϛ δ̄ γωνίαν, αὖθις πάλιν λοιπήσεται μὲν διατοῦτο καὶ ὁ ☿ ζ θ̄ πρὸς θ̄ λ λόγος. διεσδομένου δ' ἀρχῆς καὶ τοῦ ☿ ζ θ̄ πρὸς θ δ̄, λοιπήσεται καὶ ὁ ☿ δ θ̄ πρὸς θ̄ λ. σχεδὸν δὲ τοῦτο διεσδομένας ἐξομεν τήν τε ὑπὸ θ δ̄ λ γωνίαν, τουτέστιν τὴν γ̄ β περιφέρειαν τοῦ ζῳ διακοῦ, καὶ τὴν ὑπὸ ζ θ̄ η, τουτέστι τὴν γ̄ ϛ τοῦ ἐκκέντρου περιφέρειαν. ὡσαύτως ὧν ☿ προκειμένης τοῦ ὁμοκέντρου καὶ τοῦ ἐπικύκλου καταγραφῆς, ἀπολαφθείσης ἀπὸ τοῦ θ̄ περιγείου ☿ θ̄ η περιφερείας, τῶν αὐτῶν μοιρῶν λ̄, ἐπεζεύχθωσαν μὲν ἥτε ᾱ η̄, καὶ ἡ δ̄ γ̄ β̄. κάθετος δὲ ἀπὸ τοῦ η̄ ἐπὶ τὴν ᾱ δ̄ ἤχθω ἡ η̄ κ. ἐπεὶ οὖν πάλιν ἡ θ̄ η περιφέρεια μοιρ. ὀδὶν λ̄, εἰσὶ καὶ ἡ ὑπὸ θ ᾱ η γωνία, οἵων μέν εἰσιν αἱ δ̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων λ̄. οἵων δ' αἱ β̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων ξ̄. ὥστε καὶ ἡ μὲν ὑπὸ ☿ η̄ κ περιφέρεια, τοιούτων ὀδὶν ξ̄, οἵων ὁ πᾶσι τὸ η̄ κ ᾱ ὀρθογώνιον λύκλος τ̄ ξ̄. ἡ δ' ὑπὸ ☿ ᾱ κ, τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρ̄ κ. καὶ τῶν ὑπὸ αὐτὰς ἄρα ὀυθειῶν ἡ μὲν η̄ κ, ἔσαι τοιούτων ξ̄, οἵων ὀδὶν ἡ ᾱ η̄ ὑποτείνουσα ρ̄ κ. ἡ δὲ ᾱ κ τῶν αὐτῶν ρ̄ ϛ νέ. ἢ οἵων ἄρα ὀδὶν ἡ μὲν ᾱ η̄ ὀυθεῖα β̄ λ, ἡ δὲ ᾱ δ̄ ἐκ τοῦ λφήτρου ξ̄, τοιούτων καὶ ἡ μὲν η̄ κ ἔσαι ᾱ ιε̄. ἡ δὲ ᾱ κ ὁμοίως β̄ ί, ἡ δὲ κ δ̄, τῶν λοιπῶν ν̄ ϛ ν̄. ☾ ἐπεὶ, τὰ ἀπ' αὐτῶν σωτεθέντα, ποιεῖ τὸ ἀπὸ ☿ δ̄ η, μήκει ἄρα ἔσαι ἢ αὐτὴ τοιούτων ν̄ ϛ νά ἐγγισα, οἵων ἡ κ̄ η ὀυθεῖα ιᾱ ιε̄. ☾ οἵων ἄρα ὀδὶν ἡ δ̄ η ὑποτείνουσα ρ̄ κ, τοιούτων ἔσαι καὶ ἡ μὲν η̄ κ ὀυθεῖα β̄ λδ̄ λς, ἡ δὲ ἐπ' αὐτὴν περιφέρεια, τοιούτων β̄ κ ϛ, οἵων ὁ πᾶσι τὸ δ̄ η κ ὀρθογώνιον λύκλος τ̄ ξ̄, ὥστε καὶ ἡ ὑπὸ κ δ̄ κ γωνία, οἵων μέν εἰσιν αἱ β̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων ὀδὶν β̄ κ ϛ, οἵων δ' αἱ δ̄ ὀρθαὶ τ̄ ξ̄, τοιούτων ᾱ ισ̄ ἐγγισα. τοσούτων ἄρα ὀδὶν τὸ παρὰ τὴν ἀνωμαλίαν διαφορον, ☾ γνωσθήσεται τουτέστιν ἡ ᾱ β̄ περιφέρεια. ☾ ἐπεὶ, τῶν αὐτῶν ὑποκειται ἡ ὑπὸ κᾱ η γωνία λ̄, ἔσαι καὶ ἡ ὑπὸ β η̄ α ὅλη, ἥτις περιέχει τὴν φαινομένην τοῦ ζῳδιακοῦ περιφέρειαν, μοιρῶν λᾱ ισ̄, συμφώνως ταῖς ὑπὸ τοῦ ἐκκέντρου πεπλινθεύσεσιν. ἐκ δὲ τούτων δὲ ☾ γνωσθήσεται λαβέτου ἀχθείσης ὑπὸ τὴν δ̄ β̄, ☿ ᾱ λ, ἐάν τε τὴν τοῦ ζῳδιακοῦ περιφέρειαν λάβωμεν, τουτέστι τὴν ὑπὸ ᾱ η̄ λ γωνίαν, λοιπήσεται μὲν διατοῦτο ὁ ☿ η̄ α πρὸς ᾱ λ λόγος. διεσδομένου δ' ἀρχῆς καὶ τοῦ ☿ η̄ α πρὸς ᾱ δ̄, λοιπήσεται καὶ ὁ ☿ δ α πρὸς ᾱ λ. σχεδὸν δὲ τοῦτο διεσδομένας ἐξομεν τήν τε ὑπὸ α δ̄ β γωνίαν, τουτέστι τὴν ᾱ β περιφέρειαν τοῦ παρὰ τὴν ἀνωμαλίαν διαφόρου, καὶ τὴν ὑπὸ θ α η, τουτέστι τὴν θ η τοῦ ἐπικύκλου περιφέρειαν. ἐάν τε πάλιν τὴν ᾱ β περιφέρειαν λάβωμεν τοῦ παρὰ τὴν ἀνωμαλίαν διαφόρου, τουτέστι τὴν ὑπὸ α δ̄ β γωνίαν, αὖθις πάλιν ὡσαύτως λοιπήσεται διατοῦτο ὁ ☿ δ α πρὸς ᾱ λ λόγος. διεσδομένας δ' ἀρχῆς ☾ τοῦ ☿ δ α πρὸς ᾱ η, λοιπήσεται καὶ ὁ τῆς η α πρὸς ᾱ λ λόγος. σχεδὸν δὲ τοῦτο διεσδομένας ἐξομεν, τήν τε ὑπὸ α η̄ λ γωνίαν, τουτέστι τὴν τοῦ ζῳδιακοῦ περιφέρειαν, ☾ τὴν ὑπὸ θ α η, τουτέστι τὴν θ η τοῦ ἐπικύκλου περιφέρειαν, καὶ διεσδεικται ἡμῖν τὰ προτεθέντα. ποικίλης





διὰ



δὴ δὰ τούτων τῶν θεωρημάτων δυναμένης συνίστασθαι κανονοποιΐας, τῶν περιεχόντων τμημάτων, τὰς ἐκ τῆς ἀνωμαλίας τῶν φαινομένων παρόδων διακρίσεις, πρὸς τὸ ἐξετοίμου λαμβάννειν τὰς τῶν κατὰ μέρος διορθώσεων πηλικότητας, ἀρέσκει μᾶλλον ἡμῖν, ἡ ταῖς ὁμαλαῖς περιφερείαις παρακειμένας ἔχουσα, τὰς παρὰ τὴν ἀνωμαλίαν διαφορὰς, διά τε τὸ κατ' αὐτὰς τὰς ὑποθέσεις ἀκόλουθον, καὶ δὰ τὸ ἁπλοῦν τε καὶ εὐεπίβολον τῆς καθ' ἕκαστα ψηφοφορίας. ἔνθεν ἀκολουθήσαντες τοῖς πρώτοις καὶ ὑπὲρ τῶν ἀριθμῶν ἐκτεθειμένοις τῶν θεωρημάτων, καὶ ὑπὲρ τῶν κατὰ μέρος τμημάτων, ἐπελογισάμεθα δὰ τῶν γραμμῶν ὡσαύτως τοῖς ἀποδεδειγμένοις, τὰς ἑκάστη τῶν ὁμαλῶν περιφερειῶν ἐπιβαλλούσας τῆς ἀνωμαλίας διαφοράς. καθόλου δὲ τὰ μὲν πρὸς τοῖς ἀπογείοις τεταρτημόρια, καὶ ὑπὲρ τοῦ ἡλίου καὶ ὑπὲρ τῶν ἄλλων διείλομεν εἰς τμήματα ιε̄, ὡς γίνεσθαι τὴν παράθεσιν ἐπ' αὐτῶν, δὰ μοιρῶν ϛ̄. τὰ δὲ πρὸς τοῖς περιγείοις εἰς τμήματα λ̄, ὡς καὶ ὑπὲρ τούτων γίνεσθαι τὴν παραθεσιν δὰ μοιρῶν γ̄. ἐπειδήπερ μείζονες εἰσὶν αἱ πρὸς τοῖς περιγείοις διαφοραὶ τῆς ὑπεροχῆς, τῶν παρὰ τὴν ἀνωμαλίαν ἐπιβαλλόντων τοῖς ἴσοις τμήμασι διαφόρων, τῶν πρὸς τοῖς ἀπογείοις γινομένων. τάξομεν οὖν τοῦ τὸ τῆς τοῦ ἡλίου ἀνωμαλίας κανόνιον, ὑπὲρ στίχους μὲν πάλιν μ̄ε, σελίδια δὲ γ̄, ὧν τὰ μὲν πρῶτα τέταρτα, περιέχει τοὺς ἀριθμοὺς τῶν τῆς ὁμαλῆς κινήσεως τ̄ ξ μοιρῶν, τῶν μὲν πρώτου ιε στίχων περιεχόντων τὰ πρὸς τοῦ ἀπογείου δύο τεταρτημόρια, τῶν δὲ λοιπῶν λ̄, τὰ πρὸς τῷ περιγείῳ. τὸ δὲ τρίτον, τὰς ἑκάστῳ τῶν ἀριθμῶν ἐπιβαλλούσας μοιρ. τῆς προσθαφαιρέσεως, τοῦ παρὰ τὴν ἀνωμαλίαν διαφόρου. καὶ ἔστι τὸ κανόνιον τοιοῦτον.

Tabula huc pertinens, in proximam paginam transposita est.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΜΕΣΗΝ ΤΟΥ ΗΛΙΟΥ ΠΑΡΟΔΟΝ ΕΠΟΧΗΣ.

Ποιποῦ δ' ὄντος, τοῦ, τῆς ἐποχὴν τῆς ὁμαλῆς τοῦ ἡλίου κινήσεως συστήσασθαι, πρὸς τὰς τῶν κατὰ μέρος ἑκάστοτε παρόδων ἐπισκέψεις, ἐποιησάμεθα καὶ τὴν τοιαύτην ἔκθεσιν, ἀκολουθοῦντες μὲν καθόλου πάλιν, ἐπί τε τοῦ ἡλίου καὶ τῶν ἄλλων ταῖς ὑφ' ἡμῶν αὐτῶν ἀκριβέστατα τετηρημέναις παρόδοις, ἀναβιβάζοντες δὲ ἀπ' αὐτῶν τὰς τῶν ἐποχῶν συστάσεις εἰς τὴν ἀρχὴν τῆς Ναβονασάρου βασιλείας, δὰ τῶν ἀποδεικνυμένων μέσων κινήσεων, ἀφ' οὗ χρόνου καὶ τὰς παλαιὰς τηρήσεις ἔχομεν, ὡσεπίπαν μέχρι τοῦ δεῦρο διασωζομένας. ἔστω δὴ ὁ μὲν ὁμόκεντρος τοῦ δὰ μέσων κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ̄, ὁ δ' ἔκκεντρος τοῦ ἡλίου κύκλος, ὁ εζη, περὶ κέντρον τὸ θ̄, ἡ δὲ δι' ἀμφοτέρων τῶν κέντρων καὶ τοῦ ε̄ ἀπογείου διαμέτρος, ἡ εαηγ. ὑποκείσθω δὲ τὸ β̄ σημεῖον τοῦ ζωδιακοῦ τὸ μετοπωρινόν. καὶ ἐπεζεύχθωσαν μὲν, ἥτε βζδ, καὶ ἡ ζθ. κάθετος δὴ ἀπὸ τοῦ θ̄, ὑπὲρ τῆς ζδ ἐκβληθεῖσαν, ἤχθω ἡ θκ. ἐπεὶ τὸ μὲν β̄ μετοπωρινὸν σημεῖον περιέχει τὴν τῶν χηλῶν ἀρχὴν, τὸ δὲ γ̄ περίγειον, τὰς τοῦ τοξότου μοιρ. ε̄ ϛ, ἡ βγ ἄρα περιφέρεια μοιρῶν ἐστιν ξ̄ε λ. καὶ ἡ ὑπὸ βδγ ἄρα γωνία, τουτέστιν ἡ ὑπὸ θδκ, οἵων μὲν εἰσιν αἱ τέτταρ. ὀρθαὶ τ̄ ξ, τοιούτων ξ̄ε λ. οἵων δὲ αἱ β̄ ὀρθαὶ τ̄ ξ, τοιούτων ρλα. ὥστε καὶ ἡ μὲν ὑπὲρ τῆς θκ εὐθείας περιφέρεια, τοιούτων ἐστὶν ρλα, οἵων ὁ περὶ τὸ δθκ ὀρθογώνιον κύκλος τ̄ ξ. ἡ δὲ ὑποτείνουσα αὐτὴν εὐθεῖα ἡ θκ, τοιούτων ρθιβ, οἵων ἐστὶν ἡ δθ διάμετρος ρκ. οἵων ἄρα ἐστὶν ἡ μὲν δθ εὐθεῖα ε̄, ἡ δὲ ζθ ὑποτείνουσα ρκ, τοιούτων καὶ ἡ μὲν θκ ἔσται δ̄ λγ, ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια, τοιούτων δκ, οἵων ἐστὶν ὁ περὶ τὸ θζκ ὀρθογώνιον κύκλος τ̄ ξ. ὥστε καὶ ἡ ὑπὸ θζκ γωνία, οἵων μὲν εἰσιν αἱ δύο ὀρθαὶ τ̄ ξ, τοιούτων ἐστὶ δκ, οἵων δὲ αἱ δ̄ ὀρθαὶ τ̄ ξ, τοιούτων β̄ ι. τῶν δ' αὐτῶν ἦν ἡ ὑπὸ βδγ γωνία ξ̄ε λ, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ζθη, τουτέστιν ἡ ζη τοῦ ἐκκέντρου περιφέρεια μοιρῶν ἐστιν ξ̄γ κ. ὅταν ἄρα ὑπὲρ τῆς μετοπωρινῆς ἰσημερίας ἦ ὁ ἥλιος, τοῦ μὲν περιγείου τουτέστι τῶν τοῦ τοξότου μοιρ. ε̄ ϛ, προγεῖται μέσως κινούμενος μοιρὰς ξ̄γ κ. τοῦ δὲ ἀπογείου τουτέστι τῶν κατὰ τοὺς διδύμους μοιρῶν ε̄ λ, ἀπέχει μέσως εἰς τὰ ἑπόμενα μοιρ. ρῑς μ. τούτου δὴ θεωρηθέντος ἐπειδὴ τῶν ἐν ταῖς πρώταις ἡμῖν τετηρημένων ἰσημεριῶν, μία τῶν ἀκριβέστατα ληφθεισῶν γέγονεν ἰσημερία μετοπωρινὴ τοῦ ιζ ἔτει Ἀδριανοῦ, κατ' Αἰγυπτίους Ἀθὺρ ζ μετὰ δύο ἔγγιστα ἰσημερι

κανόνιον τῆς ἡλιακῆς ἀνωμαλίας.

ά	β́	γ́	
μοιρ. ὁμαλῶν κινήσεων ἀριθμοὶ κοινοὶ		προσθαφαιρέσεις	
ς	τνδ	ō	ιδ
ιβ	τμη	ō	κη
ιη	τμβ	ō	μβ
κδ	τλς	ō	νς
λ	τλ	α	θ
λς	τκδ	α	κα
μβ	τιη	α	λβ
μη	τιβ	α	μγ
νδ	τς	α	νγ
ξ	τ	β	α
ξς	σϟδ	β	η
οβ	σπη	β	ιδ
οη	σπβ	β	ιη
πδ	σος	β	κα
ϟ	σο	β	κγ
ϟγ	σξζ	β	κγ
ϟς	σξδ	β	κγ
ϟθ	σξα	β	κβ
ρβ	σνη	β	κα
ρε	σνε	β	κ
ρη	σνβ	β	ιη
ρια	σμθ	β	ις
ριδ	σμς	β	ιγ
ριζ	σμγ	β	ι
ρκ	σμ	β	ς
ρκγ	σλζ	β	β
ρκς	σλδ	α	νη
ρκθ	σλα	α	νδ
ρλβ	σκη	α	μθ
ρλε	σκε	α	μδ
ρλη	σκβ	α	λθ
ρμα	σιθ	α	λγ
ρμδ	σις	α	κζ
ρμζ	σιγ	α	κα
ρν	σι	α	ιδ
ρνγ	σζ	α	ζ
ρνς	σδ	α	ō
ρνθ	σα	ō	νγ
ρξβ	ρϟη	ō	μς
ρξε	ρϟε	ō	λθ
ρξη	ρϟβ	ō	λβ
ροα	ρπθ	ō	κδ
ροδ	ρπς	ō	ις
ροζ	ρπγ	ō	η
ρπ	ρπ	ō	ō



νὰς ὥρας ℞ μεσημβρίας δηλονότι, κατ' ἐκεῖνον τ̃ χρόνον ὁ ἥλιος μέσως κινούμενος ἀπέχει τ̃ ἀπογείου ηβ| τ̃ ἐκκέντρου κύκλου ἐς τὰ ἑπόμενα μοιρ. ρις μ. ἀλλ' ἀπὸ μὲν ℞ Ναβονασσάρου βασιλείας, μέχρι ℞ Ἀλεξάνδρου τελευτ̃ς, ἔτη σωϡγ ἐστι κατ' Αἰγυπτίους νκ̃ϑ. ἀπὸ δὲ τ̃ς Ἀλεξάνδρου τελευτ̃ς, μέχρι ℞ Αὐγούστου βασιλείας, ἔτη σιϑ̃. ἀπὸ δὲ τ̃ς τοῦ ā ἔτους Αὐγούστου κατ' Αἰγυπτίους ℞ γὼ ϡϐ θὼθ ā μεσημβρίας, ἐπισὶ τὰς ἐποχὰς ἀπὸ μεσημβρίας σωισταμεθα, μέχρι τοῦ ιζ ἔτους Ἀδριανοῦ ἀθὺρ ζ, μετὰ δύο ἰσημερινὰς ὥρας ℞ μεσημβρίας, ἔτη γίνεται ρξα, καὶ ἡμέραι ξς, καὶ ὧραι ἰσημερειναὶ β. ⊂ ἀπὸ τοῦ ā ἔτους ἀρ̃α Ναβονασσάρου κατ' Αἰγυπτίους ℞ γὼ τ̃ῃ τοῦ θὼθ ā μεσημβρίας, ἕως τ̃ χρόνου ℞ ἐκκειμένης μετοπωρινῆς ἰσημερίας, σωαχϑήσεται ἔτη Αἰγυπτιακὰ, ϡοθ, καὶ ἡμέραι ξς, καὶ ὧραι ἰσημερειναὶ β. ἀλλ' γὼ τῷ τοσούτῳ χρόνῳ ὁ ἥλιος μέσως κινεῖται, μεθ' ὅλους κύκλους μοίρας σια κε ἔγγιστα. ἐὰν οὖν ταῖς ℞ ηβ| τῶν ἐκκειμένῳ μετοπωρινῷ ἰσημερίαν ἀποχ̃ς ἀπὸ τ̃ ἀπογείου τοῦ ἐκκέντρου μοίρας ρις μ, προσθῶμεν ἑνὸς κύκλου μοίρας τ ξ, καὶ ἀπὸ τῶν γινομένων ἀφέλωμεν τὰς σια κε μοιρ. ℞ ηβ| τὸν μεταξὺ χρόνον ἐπουσίας, ἕξομεν ἐς τὸν ἐποχὸν τ̃ς μέσης κινήσεως ϡϐ ā ἔτει Ναβονασσάρου κατ' Αἰγυπτίους ϑὼθ ā τ̃ς μεσημβρίας, ἀφελόντα μὲν τοῦ ἀπογείου τὸν ἥλιον ἐς τὰ ἑπόμενα καθ' ὁμαλὸν κίνησιν μοιρ. σξε ις. ἐπέχοντα δὲ μέσως τῶν ιχϑύων ℞ ā μοιρῶν ἑξήκοντα μέ.

ΠΕΡΙ ΤΗΣ ΗΛΙΑΚΗΣ ΥΠΟΦΟΡΙΑΣ.



Σάκις οὖν ἐὰν ἐθέλωμεν τὸν καθ' ἕκαστον τῶν ἐπιζητουμένων χρόνων τοῦ ἡλίου πάροδον ἐπιγιγνώσκειν, τὸν σωαγόμενον ἀπὸ ℞ ἐποχ̃ς χρόνον, μέχρι τ̃ γνώσεως μόνον πῶς τ̃ γὼ Ἀλεξανδρείας ὥραν, εἰσενεγκόντες εἰς τὰ ℞ ὁμαλ̃ς κινήσεως κανόνια, τὰς πλανημένας τοῖς οἰκείοις ἀριθμοῖς μοιρ. ἐπισωϑήσομεν, μετὰ τῶν ℞ ἀποχ̃ς σξε ις μοιρῶν, ⊂ ἀπὸ τῶν γνομένων ἐκβαλόντες ὅλους κύκλους, τὰς λοιπὰς ἀφησομεν ἀπὸ τῶν γὼ τοῖς δηλουμένοις μοιρῶν ε λ, εἰς τὰ ἑπόμενα τῶν ζωδίων. καὶ ὅπου ἂν ἐκπέσῃ ὁ ἀριθμὸς, ἐκεῖ τὸν μέσον τοῦ ἡλίου πάροδον εὑρήσομεν. ἔξεστι δὲ τὸν αὐτὸν ἀριθμὸν, τουτέστι τὸν ἀπὸ τοῦ ἀπογείου, μέχρι ℞ μέσης παρόδου εἰσενεγκόντες εἰς τὸ τ̃ς ἀνωμαλίας κανόνιον, τὰς παρακειμένας ϡϐ ἀριθμῷ μοιρ. γὼ τῷ τρίτῳ σελιδίῳ, ηβ| μ̃ τὸ πρῶτον σελίδιον τοῦ ἀριθμοῦ πίπτοντος, τουτέστιν ἕως ρ π μοιρῶν ὄντος, ἀφελοῦμεν ἀπὸ ℞ ηβ| τὸν μέσον πάροδον ἐποχ̃ς. ηβ| δὲ τὸ δεύτερον σελίδιον τυχόντος τ̃ ἀριθμ̃, τουτέστιν ὑπερπεσόντος ρ π μοιρὰς προσθήσομεν τ̃ μέσῃ παρόδῳ, καὶ οὕτως τὸν ἀκριβ̃ ⊂ φαινόμενον ἥλιον εὑρήσομεν.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΝΥΧΘΗΜΕΡΩΝ ΑΝΙΣΟΤΗΤΟΣ.



Ὰ μὲν οὖν περὶ τὸν ἥλιον μόνον θεωρούμενα, χαλεπὸν ταῦτ' ὄντα. ἀκόλουθον δ' ἂν εἴη τούτοις προδιδάσκειν καὶ βραχέως, ⊂ τὰ περὶ ℞ τῶν νυχθημέρων ἀνισότητος, ὀφείλοντα προληφθῆναι, διὰ τὸ τὰ μὲν ἐπιτεθυμένα ἡμῖν καθ' ἕκαστον ἁπλῶς μέσα κινήματα, πάντα κατ' ἴσας ὑπεροχὰς τὴν παραύξησιν λαμβάνειν, ὡς ⊂ τ̃ νυχθημέρου πάντων ἰσοχρονίων ὄντων, οὕτω δὲ μὴ οὕτως ἔχον, θεωρεῖσθαι. ℞ γοῦν τῶν ὅλων τροφ̃ς ὁμαλῶς τε ἀποτελουμένης, ηβ| περὶ αὐτὸ τὸ ἰσημερινὸν πόλους, καὶ ℞ ταύτ̃ς ἀποκατάστασιν, ηβ| τὸ σημειωδέστερον, ἤτοι πῶς τὸν ὁρίζοντα, ἢ πῶς τὸν μεσημβρινὸν λαμβανομένης, πρόσκειται μ̃ πρότερον δηλον ὅτι μία ὥρα, ἢ τοῦ αὐτοῦ σημείου τοῦ ἰσημερινοῦ ἀπὸ τινος τμήματος ἤτοι τοῦ ὁρίζοντος ἢ τοῦ μεσημβρινοῦ ὑπὸ τὸ αὐτὸ ἀποκατάστασις. νυχθήμερον δὲ ἁπλῶς ἢ τοῦ ἡλίου ἀπό τινος τμήματος, ἤτοι τ̃ ὁρίζοντος, ἢ τοῦ μεσημβρινοῦ πάλιν ὑπὸ τὸ αὐτὸ ἀποκατάστασις. ὁμαλὸν μὲν οὖν νυχθήμερον γίνεται διὰ ταῦτα, τὸ περιέχον πάροδον τῶν τ̃ς μιᾶς ὡρισμένης τροφ̃ς τοῦ ἰσημερινοῦ χρόνων τ ξ, καὶ ἔτι ἑνὸς χρόνου ἐφ' ὃν ἡ ἐγγισα, ὅσα γὼ ϡϐ τοσούτῳ μέσως ὁ ἥλιος ἐπικινεῖ. ἀνώμαλον δὲ τὸ περιέχον πάροδον, τῶν τε ℞ μιᾶς ὡρισμένης τ̃ ἰσημερινοῦ χρόνων τ ξ, ⊂ ἔτι τῶν, ἤτοι συναναφερομένων, ἢ συμμεσουρανούντων τῷ ἀνωμαλίᾳ τοῦ ἡλίου ἐπικινήματι. ὅθεν δὴ καὶ προσδιερχόμενοι τοῦ ἰσημε-

ρινοῦ τμῆμα τοῖς τ ξ χρόνοις, ἄνισον ἀναγκη γίνεσθαι, διά τε τὴν φαινομένην τοῦ ἡλίου ἀνωμαλίαν, καὶ διὰ τὸ, τὰ ἴσα τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τμήματα, μὴ ἐν ἴσοις χρόνοις μήτε τὸν ὁρίζοντα μήτε τὸν μεσημβρινὸν διαπορεύεσθαι. ἑκάτερον μέντοι τούτων τὴν μὲν ἐπὶ τοῦ ἑνὸς νυχθημέρου διαφορὰν τῆς ὁμαλῆς ἀποκαταστάσεως παρὰ τῆς ἀνώμαλον, ἀνεπαίσθητον ποιεῖ, τὴν δὲ ἐκ πλειόνων νυχθημέρων ἐπισυναγομένην, καὶ μάλα αἰσθητήν. παρὰ μὲν οὖν τὴν ἡλιακὴν ἀνωμαλίαν τὸ πλεῖστον γίνεται διάφορον, ὑπὲρ τῶν ἀπὸ μιᾶς τῶν μέσων τοῦ ἡλίου κινήσεων, ὑπὲρ τὴν ἑτέραν διαστάσεων. τὰ γὰρ οὕτως συναγόμενα νυχθήμερα, διοίσει τῶν μὲν ὁμαλῶν χρόνοις δ ς καὶ δ ἔγγιστα, ἀλλήλων δὲ τοῖς διπλασίοις χρόνοις θ ς. διὰ τὸ καὶ τὴν τοῦ ἡλίου φαινομένην πάροδον παρὰ τὴν ὁμαλὴν, κατὰ μὲν τὸ περὶ τοῦ ἀπογείου ἡμικύκλιον δ ς δ μοιρὰς ἐλλείπειν, κατὰ δὲ τὸ πρὸς τῷ περιγείῳ πλεονάζειν ταῖς αὐταῖς. παρὰ δὲ τὴν τῶν συναναπολῶν ἢ συγκαταδύσεων ἀνωμαλίαν, τὸ πλεῖστον γίνεσθαι διάφορον ὑπὲρ τῶν ὑπὸ τῶν τροπικῶν σημείων ἀφοριζομένων ἡμικυκλίων. καὶ γὰρ ἐνθάδε γὰρ αἱ ἑκατέρου τούτων τῶν ἡμικυκλίων συναναφοραὶ, διοίσουσι τῶν μὲν ὁμαλῶς θεωρουμένων χρόνων ρ π, τοῖς διαφόροις τῆς μεγίστης ἢ ἐλαχίστης ἡμέρας, παρὰ τῆς ἰσημερινὴν. ἀλλήλων δὲ, οἷς ἡ μεγίστη τῶν ἡμερῶν ἢ νυκτῶν τῆς ἐλαχίστης διαφέρει. παρὰ δὲ τὴν τῶν συμμεσουρανήσεων ἀνισότητα, τὸ πλεῖστον πάλιν γίνετο διάφορον, ὑπὲρ τῶν δύο μάλιστα δωδεκατημόρια περιεχουσῶν διαστάσεων, τὰ ἑκαθέρωθεν ἅμα, ἤτοι τῶν τροπικῶν ἢ τῶν ἰσημερινῶν σημείων. καὶ τούτων γὰρ τὰ πρὸς τοῖς τροπικοῖς συναμφότερα, τῶν μὲν ὁμαλῶς θεωρουμένων, διοίσει χρόνοις δ ς ἔγγιστα, τῶν δὲ πρὸς τοῖς ἰσημερινοῖς συναμφοτέρων, πάλιν χρόνοις θ. διὰ τὸ ταῦτα μὲν ἐλλείπειν παρὰ τὴν μέσην ἐπιβολὴν, ἐκεῖνα δὲ τοῦ ἴσου σχεδὸν πλεονάζειν. ἔνθεν καὶ τὰς ἐν ταῖς ἐποχαῖς ἀρχὰς, τῶν νυχθημέρων ἀπὸ τῶν μεσουρανήσεων συνιστάμεθα, καὶ οὐκ ἀπὸ τῶν ἀνατολῶν ἢ δύσεων τοῦ ἡλίου. διὰ τὸ τὴν μὲν πρὸς τοὺς ὁρίζοντας θεωρουμένην διαφορὰν, καὶ μέχρι πολλῶν ὡρῶν δύνασθαι φθάνειν, καὶ μὴ εἶναι τὴν αὐτὴν πανταχῆ. συμμεταβάλλειν δὲ τῇ καθ' ἑκάστην ἔγκλισιν τῆς σφαίρας ὑπεροχῆ τῶν μεγίστων ἢ ἐλαχίστων ἡμερῶν. τῆς δὲ πρὸς τὸν μεσημβρινὸν, τὴν αὐτὴν τε εἶναι, κατὰ πᾶσαν οἴκησιν, καὶ μὴ δὲ τοὺς ἐκ τῆς ἡλιακῆς ἀνωμαλίας συναγομένους τοῦ διαφόρου χρόνους ὑπερβάλλειν. συνίσταται δὲ καὶ ἐκ τῆς ἀμφοτέρων τούτων μίξεως, τῆς τε παρὰ τῆς τοῦ ἡλίου ἀνωμαλίαν, καὶ τῆς παρὰ τὰς συμμεσουρανήσεις, τὸ πλεῖστον διάφορον, ὑπὲρ τῶν κατ' ἀμφοτέρας τὰς εἰρημένας διαφορὰς, ἤτοι προσθετικῶν ἅμα ἢ ἀφαιρετικῶν διαστάσεων. ἀφαιρετικοῦ μὲν ἑκατέρωθεν μάλιστα γινομένου, τοῦ ἀπὸ ὑδροχόου μέσου, μέχρι χηλῶν τμήματος. προσθετικοῦ δὲ τοῦ ἀπὸ σκορπίου μέχρι μέσου ὑδροχόου. διὰ τὸ ἑκάτερον τῶν ἐκκειμένων τμημάτων τὸ πλεῖστον, ἤτοι προστιθέναι ἢ ἀφαιρεῖν, παρὰ μὲν τῆς ἡλιακὴν ἀνωμαλίαν, μοιρ. ρ ἔγγιστα καὶ διτρίτον. παρὰ δὲ τὰς συμμεσουρανήσεις, χρόνους δ καὶ διτρίτον ἔγγιστα. ὡς πλεῖστον ἐκ τῆς ἐκκειμένης μίξεως συνάγεσθαι διάφορον, τῶν νυχθημέρων κατ' ἑκάτερον τῶν εἰρημένων τμημάτων, πρὸς μὲν τὰ ὁμαλὰ, χρόνους η καὶ ρ, τουτέστι α μιᾶς ὥρας ς ιη, πρὸς ἄλληλα δὲ τῶν διπλασίων χρόνων, ις διτρίτον τουτέστιν ὥραν α καὶ θ. τὸ δὲ τοσοῦτον ὑπὲρ μὲν ἡλίου καὶ τῶν ἄλλων παρορώμενον, οὐδενὶ ἂν ἴσως αἰσθητῷ καταβλάπτοι τὴν τῶν περὶ αὐτὰ φαινομένων ἐπίσκεψιν. ὑπὲρ δὲ τῆς σελήνης, διὰ τὸ τῆς κινήσεως αὐτῆς τάχος, ἀξιόλογον ἂν ἤδη τῆς διαφορὰν ἀπεργάζοιτο, καὶ μέχρι τριῶν πεντημορ. μιᾶς μοίρας. ἵνα οὖν καὶ τὰ καθ' ὁποιανδήποτε διάστασιν διδόμενα νυχθήμερα, λέγω δὲ τὰ ἀπὸ μεσημβρίας, ἢ μεσονυκτίου, ἢ ὑπὲρ μεσημβρίαν ἢ ὑπὲρ μεσονύκτιον, εἰς ὁμαλὰ νυχθήμερα καθάπαξ ἀναλύωμεν, σκεψόμεθα κατά τε τὴν προτέραν ἐποχὴν καὶ τὴν ὑστέραν τῆς διδομένης τῶν νυχθημέρων διαστάσεως, κατὰ ποίων ἐστὶ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου μοιρῶν ὁ ἥλιος, ὁμαλῶς τε κινούμενος καὶ ἀνωμάλως, ἔπειτα τὴν ἀπὸ τῆς ἀνωμάλου, τουτέστι τῆς φαινομένης, ὑπὲρ τῆς φαινομένην διάστασιν τῶν τῆς ἐπουσίας μοιρῶν, εἰσενεγκόντες εἰς τὰς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορὰς, ἐπισκεψόμεθα πόσοις συμμεσουρανοῦσι χρόνοις τοῦ ἰσημερινοῦ, αἱ τῆς ἀνωμάλου διαστάσεως ὡς ἔφαμεν μοιραὶ, καὶ λαβόντες τὴν ὑπεροχὴν τῶν τε εὑρεθέντων χρόνων, καὶ τῶν τῆς ὁμαλῆς διαστάσεως μοιρῶν, ἐπιλογισάμενοί τε, τὸ περιεχόμενον μέγεθος ὥρας ἰσημερινῆς, ὑπὸ τῶν τῆς ὑπεροχῆς χρόνων, οὐδὲν, πλείονος μὲν εὑρισκομένου τοῦ τῶν χρόνων ἀριθμοῦ τῆς ὁμαλῆς διαστάσεως, προσθήσομεν τοῦ διδομένου τῶν νυχθημέρων πλήθει. ἐλάττονος δὲ, ἀφελοῦμεν ἀπ' αὐτοῦ. καὶ τὸν γενόμενον χρόνον ἕξομεν εἰς τὰ ὁμαλὰ νυχθήμερα διακεκριμένον. ᾧ καὶ χρησόμεθα μάλιστα, πρὸς τὰς ἐπισυναγωγὰς τῶν ἐν τοῖς κανόσι τῆς σελήνης μέσων κινήσεων. εὐκατανόητον δ' αὐτόθεν, ὅτι, καὶ ἀπὸ

τῆς

ϕ τῶν ὁμαλῶν νυχθημέρων ὑποστάσεως, τὰ λαμπρὰ καὶ ἁπλῶς θεωρούμενα λαμβάνεται,
τῆς προκειμένης τῶν ὡριαίων χρόνων προσαφαιρέσεως ἀναπαλιν γινομένης. ἐπέχει
μέντοι κατὰ τὴν ἡμέραν ἐποχὴν ὁ ἥλιος, τουτέστι ϐϕ ϛ ἔτει Ναβονασσά-
ρου κατ' Αἰγυπτίους θωθ α ϕ μεσημβρίας, ὁμαλῶς μὲν κινούμενος
ὡς μικρῷ πρόσθεν ἀπεδείξαμεν, ἐχθύων ο μὲ, ἀνωμάλως
δὲ γ μοιρῶν, καὶ ἦν ἐγγὺς ἑξῆκ. τῶν ἰχθύων.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΤΕΤΑΡΤΩ ΤΗΣ ΠΤΟΛΕ
μαίου μαθηματικῆς σωταξεως.

Ἀπὸ ποίων δεῖ τηρήσεων τὰ περὶ τὴν σελήνην ἀχειρίζεσθαι.
Περὶ τῶν πρωτικῶν χρόνων ϕ σελήνης.
Περὶ τῶν ιϐ μέρος ὁμαλῶν κινήσεων τῆς σελήνης.
Κανόνων ἔκθεσις, πρειχόντων τὰς μέσας παρόδους τῆς σελήνης.
Ὅτι ☾ ὡὴ ϕ ἁπλῆς ὑποθέσεως ϕ σελήνης, τὰ αὐτὰ φαινόμενα ποιοῦσιν, ἥτε κατ' ἐκ
κεντρότητα καὶ ἡ κατ' ἐπίκυκλον.
Ἡ μὲν οὖν τῶν ἀπλανῶν ἀστέρων τάξις τοιαύτην ἂν ἡμῖν ἔχοι τὴν ἔκθεσιν. συνάψομεν δ' ἀκολούθως καὶ τὰ περὶ τὴν τοῦ γαλακτίου κύκλου διαθέσεως, ὡς ἐνιμάλιστα, καὶ ὡς ἕκαστα τῶν μερῶν αὐτοῦ τετηρήκαμεν, πειρώμενοι τὰς κατὰ μέρος φαντασίας διατυπώσασθαι. ὅτι μὲν δὴ ὁ γαλακτίας οὐκ ἔστι κύκλος ἁπλῶς, ἀλλὰ ζώνη τίς ὡς περὶ γάλακτος ἐπίπαν ἐπέχουσα τὴν χρόαν, ὅθεν καὶ τὴν ὀνομασίαν ἔσχε, καὶ αὕτη δὲ οὐχ ὁμαλήτις οὐδὲ τεταγμένη, ἀλλὰ καὶ τῷ πλάτει καὶ τῷ χρώματι καὶ τῇ πυκνότητι καὶ τῇ θέσει διάφορος, καὶ ὅτι κατά τι μέρος διπλῇ τυγχάνει, καὶ τοῖς οὕτως ἁπλῶς ὁρῶσιν ἐνσυνόπτον ἂν γένοιτο. τὰ δὲ κατὰ μέρος καὶ περιεργοτέρας δεόμενα παρατηρήσεως, οὕτως ἔχοντα εὑρίσκομεν. τὸ τοίνυν διπλοῦν μέρος τῆς ζώνης, τὴν μὲν ἑτέραν τῶν ὡσεὶ συναφῶν ἔχει πρὸς τοῦ θυμιατηρίου, τὴν δὲ ἑτέραν κατὰ τὸν ὄρνιν. καὶ ἡ μὲν προηγουμένη ζώνη οὐδαμῶς συνῆπται τῇ ἑτέρᾳ. διαλείμματα γὰρ ποιεῖ κατὰ τὴν πρὸς τοῦ θυμιατηρίου συναφὴν, καὶ κατὰ τὴν πρὸς τοῦ ὄρνιθι. ἡ δ' ἑπομένη συνῆπται τῷ λοιπῷ μέρει τοῦ γαλακτίου, καὶ μίαν ποιεῖ ζώνην, δι' ἧς ἂν ἔχοιτο καὶ ὁ κατὰ μέσην αὐτὴν μαλιστα γραφόμενος μέγιστος κύκλος. ὑπὲρ ἧς πρῶτον ποιησόμεθα τὸν λόγον, ἀπὸ τῶν νοτιωτάτων αὐτῆς μερῶν ἀρξάμενοι. ταῦτα δὴ φέρεται μὲν διὰ τῶν ποδῶν τοῦ κενταύρου, μᾶλλον δ' ἔστιν ἀραιότερα καὶ ἀμαυρότερα. καὶ ὁ μὲν ὑπὸ τὴν ἀγκύλης τοῦ ὀπισθίου καὶ δεξιοῦ ποδὸς ὀλίγῳ νοτιώτερος ἐστὶ τὴν βορείου γραμμῆς τοῦ γάλακτος. ὁμοίως δὲ καὶ ὑπὸ τοῦ ἐμπροσθίου ἀριστεροῦ γόνατος, καὶ ὁ ὑπὸ τὸ δεξιὸν ὀπίσθιον σφυρόν. ὁ δ' ἐν τοῦ ὀπισθίῳ καὶ ἐνωνύμῳ πήχει, ἐν μέσῳ κεῖται τῷ γάλακτι. ὁ δ' ἐν τοῦ αὐτῷ σφυρῷ, καὶ ὁ ὑπὸ τοῦ ἐμπροσθίου δεξιοῦ σφυροῦ, ἀπέχουσι πρὸς ἄρκτους τὴν νοτίου ἀψίδος τμήματα β ἔγγιστα, οἵων ἐστὶν ὁ μέγιστος κύκλος τξ. καὶ ἔστιν ἠρέμα πυκνότερα τὰ κατὰ τῶν ὀπισθίων ποδῶν. εἶτα ἐφεξῆς ἡ μὲν βόρειος ἀψὶς τοῦ γαλακτος, ἀπέχει τοῦ ὑπὸ τῆς ὀσφύος τοῦ θηρίου τμῆμα ας ἔγγιστα, ἡ δὲ νότιος ἐναπολαμβάνει μὲν τὸν ὑπὸ τοῦ καυστῆρος τοῦ θυμιατηρίου. παράπτεται δὲ τῶν ἐν τοῦ ἐπιπύρῳ δύο συνεχῶν τοῦ βορειοτέρου, καὶ τῶν ἐν τῇ βάσει δύο τοῦ νοτιωτέρου. ὁ δ' ἐν τῷ βορειοτέρῳ μέρει τοῦ ἐπιπύρου, καὶ ὁ ἐν μέσῳ τοῦ ἐπιπύρῳ, ἐν αὐτῷ κεῖνται τοῦ γαλακτι. καὶ ἔστιν ἀραιότερα μᾶλλον ταῦτα τὰ μέρη. εἶτα τὸ μὲν βόρειον μέρος τοῦ γάλακτος ἐναπολαμβάνει τοῦ πρὸ τοῦ κέντρου τοῦ σκορπίου τρεῖς σπονδύλους, καὶ τὴν ἑπομένην τῷ κέντρῳ νεφελοειδῆ συστροφήν. ἡ δὲ πρὸς μεσημβρίαν ἀψὶς, ἅπτεται μὲν τοῦ ἐν τοῦ ἐμπροσθίῳ καὶ δεξιῷ σφυρῷ τοῦ τοξότου, ἐναπολαμβάνει δὲ τὸν ὑπὸ τὴν ἐνωνύμου χειρός. καὶ ὁ μὲν ὑπὸ τοῦ νοτίου μέρους τοῦ τοξότου ἐκτός ἐστι τοῦ γάλακτος, ὁ δ' ὑπὸ τὴν ἀκίδος τοῦ βέλου, ἐν μέσῳ αὐτοῦ. οἱ δ' ἐν τῷ βορείῳ μέρει τοῦ τοξότου καὶ αὐτοὶ κεῖνται ἐν τοῦ γαλακτι, μικρῷ πλέον ἑνὸς τμήματος, ἑκάτερος ἀπέχων ἀφ' ἑκατέρας τῶν ἀψίδων, ὁ μὲν νότιος, τὴν πρὸς τὴν μεσημβρίαν, ὁ δὲ βόρειος, τὴν ἐναντίας. καὶ ἔστι τὰ μὲν κατὰ τῶν γ σπονδύλων, ἠρέμα πυκνότερα, τὰ δὲ περὶ τὴν ἀκίδα σφόδρα πεπύκνωται καὶ καπνώδη φαίνεται. τὰ δ' ἐφεξῆς ἠρέμα μέν ἐστιν ἀραιότερα, παρατείνει δὲ παρὰ τὸν ἀετὸν τὸ αὐτὸ σχεδὸν πλάτος σώζοντα. καὶ ὁ μὲν ἐπ' ἄκρας τὴν οὐρᾶς τοῦ ὄφεως, ὃν ἔχει ὁ ὀφιοῦχος ἐν καθαρῷ κείμενος ἀέρι, μικρῷ πλέον ἑνὸς τμήματος ἀπέχει τὴν προηγουμένης τοῦ γάλακτος ἀψίδος. τῶν δ' ὑπὸ αὐτὸν κειμένων λαμπρῶν οἱ προηγούμενοι β, ἐν αὐτῷ κεῖντο τοῦ γάλακτι, ὁ μὲν νοτιώτερος ἀπέχων τῆς ἑπομένης ἀψίδος ἐν τμῆμα, ὁ δὲ βορειότερος β. καὶ ὁ μὲν ἑπόμενος τῶν ἐν τῷ δεξιῷ ὤμῳ τοῦ ἀετοῦ ἅπτεται τὴν αὐτῆς ἀψίδος, ὁ δὲ προηγούμενος ἐν τὸν ἀπολαμβάνεται. ὁμοίως δὲ καὶ ὁ προηγούμενος λαμπρὸς τῶν ἐν τῇ ἐνωνύμῳ πτέρυγι. ὁ δ' ὑπὸ τοῦ μεταφρένου λαμπρὸς, καὶ οἱ ἐπ' εὐθείας αὐτῷ β ὀλίγῳ δέουσι καὶ αὐτοὶ παράπτεσθαι τὴν αὐτῆς ἀψίδος. μετὰ ταῦτα δὲ ὁ ὀϊστὸς ὅλος ἐναπολαμβάνετο τοῦ γάλακτι, καὶ ὁ μὲν ὑπὸ τὴν ἀκίδος, τμῆμα ἐν ἀπέχει τὴν πρὸς ἀνατολὰς ἀψίδος, ὁ δ' ὑπὸ τὴν γλυφίδος β τμήματα τῆς πρὸς δυσμάς. καὶ ἔστι τὰ μὲν περὶ τὴν ἀετὸν ἠρέμα πυκνότερα, τὰ δὲ λοιπὰ ἠρέμα ἀραιότερα. ἐφεξῆς δὲ ὑπὸ τὴν ὄρνιν ἔρχετο τὸ γάλα καὶ ἡ μὲν πρὸς ἄρκτους καὶ δυσμὰς ἀψὶς ἀφορίζετο ἐν ἐπικαμπίῳ, ὑπό τε τοῦ ἐν τοῦ νοτίῳ ὤμῳ τοῦ ὄρνιθος, καὶ τοῦ ὑπὸ αὐτὸν ἐν τῇ πτέρυγι τῇ αὐτῇ καὶ τῶν ὑπὸ τοῦ νοτίου ποδὸς β. ἡ δὲ πρὸς ἀνατολὰς καὶ μεσημβρίαν ἀφορίζετο μὲν ὑπὸ τοῦ ἐν ἄκρῳ τοῦ νοτίῳ ταρσῷ, ἐναπολαμβάνει δὲ τοῦ ὑπὸ τὴν αὐτὴν πτέρυγα β ἀμορφώτους, ἀπέχοντας αὐτῆς ἐγγὺς β τμήματα, ἃ καὶ ἔστι τὰ περὶ τὴν πτέρυγα ἠρέμα πυκνότερα.

τὰ δὲ

τὰ ἢ ἐφεξῆς σωπᾶται ⸗ ταύτῃ τῇ ζώνῃ, πυκνότερα δὲ ὄζει λίαν, ἢ ὡς ἀπ' ἄλλης ἀρχῆς ὁρώμενα. νοῦσι ⸗ γὰρ πῶς τὰ ἔχατα ⸗ ἑτέρας ζώνης, διάλειμμα δὲ πῶς ἐκείνῳ τοιοῦτα, ἐκ μὲν ⸗ πῶς μεσημβρίαν πλευρᾶς σωάπτει τῇ καταλεγομένῃ νῦν ζώνῃ, ἀραιᾷ σφόδρα οὔσῃ ἢ ⸗ τῷ σωαφεῖ. ἄρχεται δὲ μετὰ τὸ πῶς τ̄ ἑτέραν διάλειμμα ⸗ πυκνώσεως ἀπὸ τοῦ λαμπροῦ, τοῦ ⸗ τῷ ὀρθοπυγίῳ τ̄ ὄρνιθος, καὶ ⸗ ⸗ ἐν τοῖς βορείῳ γόνατι νεφελοειδοῦς συστροφῆς, εἶτα ἐπιστρέψαντα πρῖμα μέχρι τ̄ ἢ τὸ νότιον γόνυ, πυκνότητα τῷ πυκνότητα, κατ' ὀλίγον ἀραιουμένην, μέχρι ⸗ τιάρας τ̄ λιφέως. ἀφορίζεται τε τ̄ πῶς ἄρκτους πλευρᾶν, τοῦ τε νοτίῳ τῶν ⸗ τῇ τιάρᾳ τριῶν, ⸗ τοῦ τοῖς τ̄ ἑπομένῳ. καθ' ὃν καὶ ἀρχὰς ποιεῖται β̄, τῷ μὲν, ὡς πῶς ἄρκτους καὶ πῶς ἀναπολὰς νοτίουσαν, τῷ δὲ ὡς πρὸς μεσημβρίαν καὶ ὡρὸς ἀνατολάς. μετὰ δὲ ταῦτα πεπιλαμβάνει τῷ καστερισμὸν ὅλῳ, χωρὶς τοῦ ⸗ ἄκρου τοῦ ποδός. καὶ ἡ μὲν ὡρὸς μεσημβρίαν ἁψὶς, ἀφορίζεται ὑπὸ τοῦ τῆ λιφαλῆ ⸗ καστερισμοῦ, ἡ δὲ ὡρὸς ἄρκτους, ὑπό τε τοῦ ⸗ τῷ ποδὶ τοῦ θρονίου καὶ ὑπὸ τοῦ ⸗ τῇ λυρικῇ ⸗ καστερισμοῦ. οἱ δὲ λοιποὶ καὶ πρὸς ταύτῃ πάντες ⸗ τοῦ γαλακτι λεῖνται. καὶ τὰ μὲν ὡρὸς ταῖς ἁψῖσιν, ἀραιότερόν χύματος ὄζει, τὰ δὲ κατὰ μέσῳ τῷ καστερισμῷ, ὡραμήκη τῷ πύκνωσιν ἐμφαίνει. ἐφεξῆς δὲ τὰ λειὰ μέρη τοῦ πρότεως ⸗ ⸗ ἀπολαμβάνεται τοῦ γαλακτι. πάλιν δὲ τῷ μὲν ἀπ' ἄρκτων πλευρᾷ, ἀραιοτάτῳ οὔσῃ ἀφορίζει ὁ ἐκτὸς τοῦ λειοῦ γόνατος τοῦ πρότεως μοναχός. τῷ δ' ἀπὸ μεσημβρίας πυκνοτάτῳ οὔσῃ ὅ, τε ⸗ τοῦ λειοῦ λαμπρὸς, καὶ τῶν ἀπὸ μεσημβρίας αὐτοῦ γ̄, οἱ β̄ οἱ ἑπόμενοι. πορίζονται δὲ ⸗ ⸗ αὐτῷ, ⸗ ἥ τε ⸗ ⸗ λαβὴς νεφελοειδὴς συστροφὴ, ⸗ ὁ ⸗ τῇ λιφαλῇ, ἢ ὁ ⸗ τοῦ λειῷ ὤμῳ. καὶ ὁ ὠδὶ τοῦ λειοῦ ἀγκών ⸗. τὸ δ' ⸗ τῷ λειῷ γόνατι τέτρα πλευρον ⸗ ἔτι ⸗ ⸗ αὐτῆς γαστροκνημίας, ⸗ μέσῳ λεῖνται τοῦ γαλακτι, ὁ δ' ⸗ τῇ λειᾷ πτέρνῃ καὶ αὐτὸς ⸗ τός ὄζει μικρῷ ⸗ ὡρὸς μεσημβρίαν πλευρᾶς. μετὰ δὲ ταῦτα τ̄ ἡνιόχου φέρεται ἡ ζώνη, τὸ χῦμα ἀραιότερον ἐμφαίνουσα. καὶ ὁ μὲν ὠδὶ τοῦ ἀειτερού ὤμου, καλούμενος δὲ αἴξ, οἵ τε ⸗ τοῦ λειοῦ ὠήχεως β̄, μικροῦ δεῖσιν ἅπτεσθαι ⸗ ὡρὸς ἀνατολὰς καὶ ἄρκτους ἁψίδος τοῦ γαλακτος. ὁ δὲ ὑπὲρ τὸν δυώνυμον πόδα ⸗ τοῦ πορίποδι μικρὸς, ἀφορίζει τῷ ὡρὸς λυσμὰς τῇ μεσημβρίας πλευρᾷ. ὁ δ' ὑπὲρ τὸν λειὸν πόδα ἡμιμορίῳ ⸗ τός ὄζει ⸗ αὐτῆς πλευρᾶς. οἱ δ' ὠδὶ τοῦ δυωνύμου ὠήχεως β̄ σωεχεῖς, καλούμενοι δὲ ὄρῖφοι, ⸗ μέσῳ λεῖνται τῇ ζώνῃ. ἐφεξῆς δὲ ὄρχηται τὸ γαλα ⸗ τῶν ποδῶν τῶν διδύμων, πυκνότητα ποδῶν καὶ ἐπιμήκη διαφαίνον, τῷ κατ' αὐτῶν τῶν ἐπ' ἄκροις τοῖς ποσὶν ἀστέρων. ὁ μὲν οὖν ἑπόμενος τῶν ὑπὸ τὸν λειὸν πόδα τοῦ ἡνιόχου ἐπ' ὀὐθείας γ̄, ⸗ τῶν ⸗ τοῦ λολοῤῥόθου τοῦ ὠείωνος β̄ ὁ ἑπόμενος, καὶ τῶν ἐπ' ἄκρα τῇ χειρὶ αὐτοῦ δ̄ οἱ ἀπ' ἄρκτων, τ̄ ὡροκουρουμένην ἁψίδα τοῦ γαλακτος ἀφορίζουσιν. ὁ δ' ὑπὸ τῷ λειᾷ χεῖρα τοῦ ἡνιόχου ἐκφανὴς, καὶ ὁ ⸗ τῷ ἀκροποδὶ τοῦ ἑπομένου τοῦ ἑπομένου διδύμου, ⸗ τός εἰσιν ἐνὶ τμήματι ἐγγὺς ⸗ τ̄ ἑπομένης πλευρᾶς. οἱ δ' ⸗ τοῖς λοιποῖς ἀκροποσιν ⸗ μέσῳ λεῖνται τῷ γαλακτι. ⸗ τοῦτο ὑπὸ ⸗ τῶν ποδῶν ἡ ζώνη τόν τε ὡροκῶα καὶ τὸν ὦμον, τὸν μὲν ὡροκῶα χωρίζουσα ὡρὸς ἀναβολὰς ὅλον οὐκ ὀλίγῳ ἐκτὸς τοῦ γαλακτος, τὸν δὲ ὦμον ὡρὸς λυσμὰς, καὶ αὐτὸν χεῖλον ὅλον ἐκτὸς ὄντα. τὸν μὲν γὰρ ⸗ τοῦ ⸗ νότῳ αὐτοῦ ὀρέχουσά τις ὡσεὶ νεφέλη καταλαμβάνει. τῶν δὲ ἐφεξῆς ἑπομένων αὐτῷ γ̄ ⸗ τοῦ ⸗ αὐχένι τ̄ ὦμος, ὀλίγα δεῖ πᾶσα. ὁ δ' ὑπὲρ τὸν λιφαλὸν τ̄ ὦμος ἐκτὸς ἡ ἀποτόμῳ μοναχός, ⸗ τός ὄζει ⸗ ὡρὸς ἀναβολὰς ἁψίδος β̄ ⸗ ς̄ τμήμασιν ἐγγὺς, καὶ ἔσι τὸ χῦμα ⸗ πρῖμα ὅλον ἀραιότερον, μετὰ δὲ ταῦτα διὰ ⸗ ἀργοῦς φέρεται τὸ γάλα. καὶ ὁ μὲν βόρειος καὶ ἡγούμενος ⸗ τῶν ⸗ τῇ ἀστιδίσκῃ τῆς πρύμνης ἀφορίζει τῷ πῶς λυσμὰς ἁψίδα ⸗ ζώνης, ὁ δ' ⸗ μέσῃ τῇ ἀστιδίσκῃ, ⸗ οἱ ὑπὸ αὐτὸν β̄ σωεχεῖς, καὶ ὁ ⸗ ἀρχῇ τοῦ πῶς ⸗ πυσταλίῳ καταστρόματος λαμπὼς, καὶ τῶν ⸗ τῇ τροπεῖ γ̄ ὁ μέσος, μικροῦ δεῖσιν ἅπτεσθαι τῆς αὐτῆς πλευρᾶς. ὁ δὲ βόρειος τῶν ⸗ τῇ ἰσοσλόκῃ γ̄, ἀφορίζει τῷ πῶς τὰς ἀναπολὰς ἁψίδα. καὶ ὁ μὲν ⸗ τῷ ἀκροσολίῳ λαμπὼς, ⸗ τός ὄζει ⸗ αὐτῆς πλευρᾶς ἐνὶ τμήματι. ὁ ⸗ ὑπὸ τ̄ ⸗ ⸗ καστερόματι ἑπομένῳ ἀστιδίσκῳ λαμπρὸς ἐκτὸς ὄζει ⸗ αὐτῆς πλευρᾶς, τῶν αὐτῶν ἐνὶ τμήματι. ὁ δὲ νότιος τῶν ⸗ μέσῳ ⸗ ἰσῷ δύο ἐκφανῶν, παραπίπτεται ⸗ αὐτῆς πλευρᾶς. οἱ δὲ ⸗ τῇ αὐτῇ ἀποτομῇ τῆς τροπεως β̄ λαμπροί, ⸗ τός εἰσι ⸗ προκουρουμένης ἁψίδος, δυσὶ τμήμασιν ἐγγὺς. ⸗ τοῦτο δὲ ἤδη σωαπτᾶται τὸ γαλα τῇ διὰ τῶν ποδῶν τοῦ λαγωτάυρου ζώνη. καὶ ἔσι μὲν καὶ ⸗ τὸ διὰ τῆς ἀργοῦς χῦμα πρῖμα λεπτόν. πεπύκνωται δὲ αὐτοῦ μᾶλλον τὰ πρὸς τὸν ἀστιδίσκῳ, καὶ τὰ πρὸς τὸν ἰσοσλόκῳ, καὶ τὰ πρὸς τὸν ἀποτομὸν τῆς τροπεως. ἡ ⸗ προειρημένη ζώνη, διάλειμμα ὡς ἔφαμεν ποιησαμένη πῶς τ̄ καταειλημμένην κατὰ τὸ θυμιατήριον, διὰ κεῖθεν τὸν ἀρχὸν ποιησαμένη,

οὐ μὴ ἀπὸ τ σώματος τ σκορπίου τ ἀστερισμὸν γὰρ ἀπολαμβάνει, τ δὲ ἐπόμβῳ τ γῆ ὁρ σώματι τι τ ἐκτὸς ἔχῃ τ πῶς λυσμὰς ἀψίδος ἐνὶ τμήματι. ὁ ἢ γὰρ τῷ δ ω ἀστερισμῷ, γῆ λαθαρῷ ἀέρι ὁρ μεταξὺ τ δύο ζωνῶν μέτρ, τὸ ἴσον ἔγγισα ἑκατόρας ἀπέχων, ἢ μικρῷ πλέον ἑνὸς τμήματος. μετὰ ταῦτα δὲ ἡ προκυμμένη ζώνη πρὸς ἀνατολὰς κύκλῳ τμήματι ὁμοίως, ☾ τ μὴ προκυμμένῳ πλευρὰν τ γαλακτὸς ἀφορίζει, τῷ ὧν τ δεξιῷ γόνατος τ ὀφιούχου, τ δ' ἑπομένῳ, ὁρ ὧν τ αὐτὸ αὐλικνημίου. ὁ ἢ προκυμένος τ γῆ ἄνερω ὁρ αὐτῷ ποσὶ ποδὸς ἀρκτοφύλακος τ πλευρᾶς. πάλιν ἢ ἑφεξῆς τ μὴ πῶς λυσμὰς ἀψίδα ὁ ὑπὸ τ δεξιὸν ἀγκῶνα τ ὀφιούχου ἀφορίζει, τ ἢ πῶς ἀνατολὰς τ γῆ ἄνερα τῇ αὐτῇ χρεὶ δύο ἡγούμενος. γῆ τοῦθεν δὲ ἢ διάλειμμα λαθαρὸν ἀέρος ἱκανὸν γίνετ, λαθ' ὃ λείπ οἱ ὧν ῥ ὁρᾶς τ ὄφεως β μετὰ τ γῆ ἄνερα. τὸ δὲ λατειλεγμένον μέρος ὅλον ταύτης ῥ ζώνης, λεπτὸν παντελῶς ☾ ἀχλύν ἀερώδης δὲ χύμαρος, χωρὶς δὲ οὐ τ αστερισμὸν γὰρ ἡρέμα ὑποπτύπνωται. μετὰ ἢ τὸ διάλειμμα πάλιν ἄλλῳ ἀρχὴν λαμβάνει τὸ γάλα ἀπὸ τ ἑπομένου τῷ δεξιῷ ὤμῳ τ ὀφιούχου. ☾ τ μὴ πῶς ἀνατολὰς ἀψίδα ῥ ζώνης ταύτης ἀφορίζει πεπαρόμενος ἀπὸ ἐκφανὴς παρὰ τ ἀρὴν τ ἀετοῦ μοναχός. τ δ' ἐναντίαν ὁ τ προειρημένου δ ἀποστόρω ☾ ἀπ' ἀρκτοφύλακος. ἐντοῦθεν ἢ ἡ ζώνη αὐτῇ πῶς τῷ ἄρματι ἔστ, ☾ εἰς στενότητα σωμάτων ῥ τὰ προκυμένα μέρη τ γῆ τῷ ῥάμφει τοῦ ὄρνιθος, ὡς τε διάλειμμα ἐμφανὲς παρέχειν. τὸ μὲν λοιπὸν αὐτῆς τὸ ἀπὸ τ ἐν ῥ ῥάμφει μέχρι τ ἐν τῷ κάτω, τ ὄρνιθος πλατύτερόν τέ ὄν, καὶ ἐπικάμπτερον ἱκανῶς. ☾ ὁ ἐν τῷ προκλίνῳ τ ὄρνιθος, ἐν μέσῳ κείτ τῷ ἐπικαμπτικῷ, πεπαρόμενος κλίνῃ δὲ ἐλάχιστον μέρος ἀρκτοῦ πῶς ἀρκτοφύλακος καὶ τ ἐν ῥ κάτω μέχρι τ ἐν τῷ ὤμῳ τ δεξιᾶς πτέρυγος. καὶ τ ἐν ἄνερω τῷ δεξιῷ ποδὶ β σωμάτων. ὅθεν ὡς προείπομεν καθαρὸν διάλειμμα γίνετ πῶς τ ἑτέραν ζώνην, τὸ ἀπὸ τ ἐρημένου τ ὄρνιθος ἀστέρων μέχρι τ λαμπροῦ τ ἐπὶ τὸ ὀρθοπτύγιον.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΣΤΕΡΕΑΣ ΣΦΑΙΡΑΣ.



ΑΛΛ' οὖν ποδὶ τ γαλακτίαν φαινόμενα διαύτην ἔχει τ θέσιν. ἵνα ἢ ☾ τ εἰκόνα τ δι' ῥ στερεᾶς σφαίρας ἀκολούθως κατασκευάζωμεν ταῖς ποδὶ ῥ τ ἀπλανοῦν σφαίραις ἀρμοδίως μένας ὑποθέσεσι, καθ' ἃς ἐφάνη καὶ αὐτὴ παρεπλησίως ταῖς τ πλανωμένων περιαγομένη μὲν ὑπὸ ῥ τ πρώτης φορᾶς ἀπ' ἀνατολῶν ἐπὶ δυσμὰς, ποδὶ οὐ τ ἰσημερινὸς πόλος, μεθαρμοζόμενος ἢ κὴ εἰς τὰ φαινόμενα ποδὶ οὐ τ ζωδιακὸν καὶ κὴ δι' μέσων τ ζῳδίων κύκλος πόλος, ποιησόμεθα τὸν τε κατασκευὴν αὐτῆς ☾ τ ἐφοδον τ ἀστερισμῶν τρόπον τοιῶνδε. τὸ μὲν γὰρ ῥ τ ὑποκειμένης σφαίρας χρῶμα βαθύτερόν πως ποιήσομεν, ὥστε μὴ ὁρ ῥ τ ἡμέρας, ἀλλὰ τῷ τ νυκτὸς ἀεὶ μᾶλλον γ' ὢν κὴ τὰ ἄστρα φαίνετ, προσεοικέναι. λαβόντος ἢ ἐπ' αὐτῆς σημεῖα β. κὴ διάμετρον ἀκριβῶς, πόλοις αὐτοῖς γράφομεν μέγιστον κύκλον τ ἐσόμβῳ πάντοτε γ' τῷ ἐπιπέδῳ τ διὰ μέσων τῶν ζῳδίων. καὶ τότῳ πῶς ὀρθὰς γωνίας κὴ διὰ τ πόλων αὐτὸ κύκλον ἕτερον, ἀφ' οὗ ῥ μιᾶς τ πῶς τ πρῶτον τομῶν ἀρξάμενοι, διελόμεν τ διὰ μέσων εἰς τὰ τξ τμήματα, πρατιθέντος αὐτῷ οὐ ἀριθμός, δι' ὅσων ἂν δύνηται φαίνετ μοιρῶν. ἔπειτα ποιήσαντος δὲ ὕλης δύτονος ☾ τετραμένης δύο κύκλους τεθραγώνους ταῖς ἐπιφανείαις, ☾ ἀκριβῶς πάντοθεν τετορνευμένους, τ μὴ ἐλάσσονα ☾ ἐφαπτομῶν ῥ σφαίρας δι' ὅλης αὐτοῦ τ κοίλης ἐπιφανείας, τ ἢ, μικρῷ τότε μείζονα, πρὸς γράφομεν κατὰ μέσης ῥ κυρτῆς ἐπιφανείας ἑκατόρου, γραμμὰς δύο διαιρέσας ἀκριβῶς αὐτῶν τὰ πλάτη. ☾ διὰ τούτων τῶν γραμμῶν ἐκτεμόντος ὧν τὸ ἥμισυ τῶν πορισμάτων τὰς ἑτέρας τῶν ὑπ' αὐτῶν ἀφορισμένων πλευρὰς, διελοῦμεν καὶ τὰ τῶν ἐκτομῶν ἡμικύκλια εἰς ρπ τμήματα. τούτων δὲ γενομένων, τὸν μὲν ἐλάσσονα τῶν κύκλων ὑποθέμενοι τὸν ἐσόμενον ἀεὶ δι' ἀμφοτόρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ καὶ ἔτι διὰ τῶν τροπικῶν σημείων κατὰ τὰ τῆς ἑρημένης ἐκτομῆς ἐπιφάνειαν, καὶ διατρήσαντος μέσον κατὰ διάμετρον πῶς τοῖς πέρασι τῆς ἐκτομῆς, προσαρμόσομεν πρὸς ἑνίοις πῶς οὐ ἐλλιμμένους γ' τῇ σφαίρᾳ πόλους τοῦ διὰ μέσων τῶν ζῳδίων, ὥς τε διωάσθαι περιάγεσθαι καθ' ὅλης τῆς σφαιρικῆς ἐπιφανείας. ἔνεκεν δὲ τοῦ λαμβάνειν τινὰ μένουσαν ἀρχὴν τοῦ τῶν ἀπλανῶν ἀστερισμοῦ, διὰ τὸ μὴ πιθανὸν εἶν κατ' αὐτοῦ τὸ τῆς σφαίρας ζωδιακοῦ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα παραγράφειν, μὴ τηρουμένης πῶς αὐτὰ ῥ τῶν ἀστερισμῶν διαστάσεως, τὸ ῥ λαμπρότατον αὐτῶν, λέγω ἢ τὸν γ' ὁρ σώματι τοῦ λιωνὸς, σημειωσόμεθα κατὰ τὸ πῶς ὀρθὰς ὁρ ζωδιακῷ γεγραμμένου κύκλου, πῶς ὁρ τὴν ἀρχὴν ῥ

τῆς διαιρέσεως πεποιηκότι τμήματι, τὰς ἐκκειμένας κατὰ πλάτος μοίρας ἀπέχοντα τοῦ διὰ μέσων ὡς πρὸς τὸν νότιον αὐτοῦ πόλον. ἐφ' ἑκάστου δὲ λοιπὸν τῶν ἀπλανῶν ἀστέρων κατὰ τὸ ἐφεξῆς τῆς ἀναγραφῆς τὰς σημειώσεις ποιησόμεθα, διὰ τῆς τοῦ τὴν ἐκτομὴν διηρημένου κύκλου, περὶ τοῦ τῆς ζωδιακοῦ πόλους πραγωγῆς. προσφέροντες γὰρ ἀεὶ τῆς ἐπιφανείαν αὐτοῦ τῆς ἐκτετμημένης πλευρᾶς, πρὸς τὸ τῆς διὰ μέσων σημεῖον, τὸ τοσαύτας ἀπέχον μοίρας τῆς κατὰ τὸ διὰ τῆς κυνὸς τμῆμα τῶν ἀριθμῶν ἀρχῆς, ὅσας καὶ ὁ ἐπιζητούμενος ἀστὴρ ὑπὸ τῆς ἀναγραφῆς κατὰ μῆκος ἀπέχει τῆς κυνὸς, ἐρχόμενοί τε ὑπὸ τὸ τῆς πρενηνεγμένης καὶ διηρημένης πλευρᾶς σημεῖον, τὸ τοσαύτας πάλιν ἀπέχον μοιρὰς τῆς διὰ μέσων, ὅσας καὶ ὁ ἀστὴρ ὑπὸ τῆς ἀναγραφῆς οἰκείως ἤτοι πρὸς τὸν βόρειον, ἢ τὸν νότιον πόλον τῆς ζωδιακοῦ, κατ' αὐτοῦ σημειωσόμεθα τὸν τῆς ἀστέρος τόπον, προτιθέντες ἐφεξῆς τὸ ξανθὸν, ἢ τὸ ἐπ' ἐνίων διὰ σημαινόμενον χρῶμα, συμμέτρως καὶ ἀκολούθως ταῖς ἐφ' ἑκάστου τῶν μεγεθῶν πηλικότησι. τοῦ μέντοι τῶν μορφώσεων ἑνὸς ἑκάστου τῶν ζωδίων σχηματισμοὺς, ὡς ἐνὶ μάλιστα ἁπλουστάτους ποιήσομεν, γραμμαῖς μόναις τοῦ ὑπὸ τῆς αὐτὴν διατύπωσιν ἀστέρας ἐμπριλαμβάνοντες, καὶ ταύταις οὐ πολλῷ τῆς καθ' ὅλην τῆς σφαῖραν χρώματος διαφερούσαις, ἵνα μήτε τὸ τῆς ἐξ αὐτῶν διασημασίας χρήσιμον παραλελειμμένον ὑπαρχῇ, μήτε ἡ τῶν ποικίλων χρωμάτων πρόθεσις ἀφανίζῃ τῆς πρὸς τῆς ἀλήθειαν τῆς εἰκόνος ὁμοιότητα. ῥᾳδία δ' ἡμῖν καὶ εὐμνημόνευτος ἡ κατὰ τῆς προσβολὴν τῆς ἀναθεωρήσεως σύγκρισις γίνητρ συνεθιζομένης, καὶ ὑπὸ τῆς σφαιρικῆς εἰκόνος, γυμνῇ τῇ τῶν ἄστρων φαντασίᾳ. προσεντάξαντες οὖν καὶ τῆς τῆς γαλακτίου θέσιν ἀκολούθως πάλιν τοῖς προδεδηλωμένοις τόποις τε καὶ σχηματισμοῖς, καὶ ἔτι πυκνώμασιν, ἢ διαλείμμασι, προσαρμόσομεν καὶ τὸ μείζονα τῶν κύκλων, ἐσόμενον δὲ ἀεὶ μεσημβρινόν, τοῦ περιέχοντι τῆς σφαῖραν ἐλάσσονι περὶ πόλους γινομένους τοῦ αὐτοὺς τοῖς τῆς ἰσημερινοῦ. τῶν σημείων τούτων ὑπὸ μὲν τῆς μείζονος καὶ μεσημβρινοῦ, πρὸς τοῖς πέρασι πάλιν τῆς ἐκτετμημένης καὶ διηρημένης πλευρᾶς, ὑπὲρ γῆς ἢ ἐσομένης κατὰ διάμετρον, ἐμπολιζομένων, ὑπὸ δὲ τῆς ἐλάσσονος καὶ δι' ἀμφοτέρων τῶν πόλων, πρὸς τοῖς πέρασι τῶν ἀπεχουσῶν περιφερειῶν ἑκατέρου τῆς τῶν ζωδιακῶν πόλου κατὰ διάμετρον, τὰς τῆς ἐγκλίσεως μοιρ. κ̅γ̅ νὰ καταλειπομένων, κατὰ τὰς ἐκτομὰς τῶν κύκλων, μικρῶν στερεωμάτων, καθ' ὧν ἔσται τὰ τρημάτια τῶν ἐμπολίσεων. τῆς μὲν οὖν τῆς ἐλάσσονος τῶν κύκλων ἐκτετμημένην πλευρὰν τῆς αὐτὴν πάντως γινομένην, δηλονότι τοῦ διὰ τῶν τροπικῶν σημείων μεσημβρινῷ, καταστήσομεν ἑκάστοτε πρὸς ἐκεῖνο τὸ σημεῖον τῆς τῆς ζωδιακοῦ διαιρέσεως, τὸ τοσαύτας ἀπέχον μοιρ. τῆς διὰ τῆς κυνὸς ἀρχῆς, ὅσας καὶ ὁ κύων ἐν τῷ ὑποκειμένῳ χρόνῳ τῆς θερινῆς τροπῆς ἀφέστηκεν. ὡς κατά γε τῆς ἀρχὴν τῆς Ἀντωνίνου βασιλείας, εἰς τὰ προηγούμενα, μοιρὰς ι̅β̅ γ̅. τὸν δὲ μεσημβρινὸν ὀρθὸν προσαρμόσομεν τῷ κατὰ τῆς βάσιν ὁρίζοντι, διχοτομούμενον μὲν ὑπὸ τῆς φαινομένης ἐπιφανείας αὐτοῦ, δυνάμενον δὲ περιάγεσθαι περὶ τὸ ἴδιον ἐπίπεδον, ὅπως ἐξαίρειν ἑκάστοτε δυνώμεθα τὸν βόρειον πόλον ἀπὸ τῆς ὁρίζοντος, διὰ τῆς τῆς μεσημβρινοῦ διαιρέσεως, ταῖς οἰκείαις τῶν ὑποκειμένων κλημάτων περιφερείαις. οὐδὲν δὲ ἡμῖν ἔλαττον ἔσται, παρὰ τὸ μὴ γεγονέναι δυνατὸν ἐπ' αὐτῆς τῆς σφαίρας, τόν τε ἰσημερινὸν καὶ τοῦ τροπικοὺς προσεντάξαι. τῆς γὰρ τῆς μεσημβρινοῦ πλευρᾶς διηρημένης, τὸ μὲν μεταξὺ τῶν πόλων τῆς ἰσημερινοῦ. σημεῖον καὶ τὰς τῆς τεταρτημορίου λ̅ μοιρ. ἀπέχον ἑκατέρου, τῆς αὐτὴν δύναμιν ἕξει τοῖς τῆς ἰσημερινοῦ. τὰ δὲ ἐφ' ἑκάτερα τούτου τὰς κ̅γ̅ νὰ μοιρὰς ἀπέχοντα, τοῖς ἑκατέρου τῶν τροπικῶν, τὸ μὲν πρὸς ἀρκτοῦς, τοῖς τῆς θερινοῦ, τὸ δὲ πρὸς μεσημβρίαν, τοῖς τῆς χειμερινοῦ. ὥστε παραφερομένων κατὰ τῆς πρώτην καὶ ἀπ' ἀνατολῶν ὑπὸ δυσμὰς περιαγωγὴν, πρὸς τῆς διηρημένην τῆς μεσημβρινοῦ πλευρὰν, τῶν ἐπιζητουμένων ἀστέρων ἑκάστοτε διὰ τῆς αὐτῆς πάλιν διαιρέσεως, καὶ τὰς πρὸς τὸν ἰσημερινὸν, ἢ τοῦ τροπικοὺς αὐτῶν διαστάσεις, ὡς ὑπὸ τοῦ διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ δύνασθαι καταλαμβάνεσθαι.

ΠΕΡΙ ΤΩΝ ΟΙΚΕΙΩΝ ΤΟΙΣ ΑΠΛΑΝΕΣΙ ΣΧΗΜΑΤΙΣΜΩΝ.

Ἐπειγμένης δὲ καὶ τῆς περὶ τὸν ἀστερισμὸν τῶν ἀπλανῶν ἰδιοτροπίας, λοιπὸν ἂν εἴη τὸν περὶ τῶν σχηματισμῶν αὐτῶν ποιήσασθαι λόγον. τῶν δὲ περὶ τοῦ ἀπλανεῖς σχηματισμῶν, μετὰ τοῦ πρὸς ἀλλήλους αὐτῶν καὶ μονίμους, ὡς ὅταν ἐπ' εὐθείας τινὲς ὦσιν, ἢ ἐν σχήμασι τριγόνοις, ἢ τοῖς τοιούτοις, οἱ μὲν πρὸς μόνους τοῦ πλανωμένους ἥλιόν τε καὶ σελήνην, ἢ τὰ μέρη τοῦ ζωδιακοῦ θεωροῦνται, οἱ δὲ πρὸς μόνην τὴν γῆν, οἱ δὲ πρός τε τὴν γῆν ἅμα καὶ τοῦ πλανωμένους ἀστέρας ἥλιόν τε καὶ σελήνην, ἢ τὰ μέρη τοῦ ζωδιακοῦ. οἱ μὲν οὖν πρὸς μόνα τὰ πλανώμενα καὶ τὰ μέρη τοῦ ζωδιακοῦ γινόμενοι τῶν ἀπλανῶν σχηματισμοί, λαμβάνονται κοινῶς μὲν, ὅταν ἤτοι ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ κύκλου γένονται οἵ, τε

ἀπλανεῖς καὶ οἱ πλανώμενοι τῶν διὰ τῶν πόλων τοῦ ζωδιακοῦ γραφομένων, ἢ ὧν διαφόρων μὲν, τριγώνους δὲ, ἢ τετραγώνους, ἢ ἑξαγώνους διαστάσεις ποιούντων, τουτέστι γωνίαν περιεχόντων ἤτοι ὀρθὴν, ἢ τρίτῳ μιᾶς ὀρθῆς, ἢ ὑπερέχουσαν, ἢ ὑπερεχομένην, ἰδίως δὲ ἐφ' ὧν ὑποδραμεῖν τις δύναται τῶν πλανωμένων. οὗτοι δὲ εἰσιν οἱ ἐν τοῦ πρίσματι τοῦ ζωδιακοῦ τῷ περιέχοντι τὰς κατὰ πλάτος παρόδους τῶν πλανωμένων κατεστηριγμένοι, πρὸς μὲν οὖν πέντε πλανωμένους, κατὰ τὰς φαινομένας αὐτῶν κολλήσεις, ἢ ἐπιπροσθήσεις, πρὸς δὲ ἥλιον καὶ σελήνην, κατά τε τὰς κρύψεις καὶ συνόδους καὶ ἐπιτολάς. κρύψιν μὲν γὰρ καλοῦμεν ὅταν ἄρχηταί τις ὑπὸ τὰς αὐγὰς γινόμενος τῶν φώτων ἀφανίζεσθαι, σύνοδον δ' ὅταν ὑπὸ τοῦ κέντρου αὐτοῦ τὴν ἐπιπρόσθησιν λαβῇ, ἐπιτολὴν δὲ, ὅταν ἐκφυγὼν τὰς αὐγὰς αὐτῶν, ἄρχηται φαίνεσθαι. οἱ δὲ πρὸς μόνην τὴν γῆν τῶν ἀπλανῶν σχηματισμοὶ δ ὄντες, κοινῶς μὲν ὑπ' ἐνίων καλοῦνται κέντρα, ἰδίως δὲ ἀνατολὴ καὶ μεσουράνημα ὑπὲρ γῆς, καὶ δύσις καὶ μεσουράνημα ὑπὸ γῆν. ὅπου μὲν οὖν ὁ ἰσημερινὸς κατὰ κορυφὴν γίνεται, πάντες οἱ ἀπλανεῖς ἀστέρες καὶ ἀνατέλλουσι καὶ δύνουσι, καὶ ἅπαξ μὲν καθ' ἑκάστην περιστροφὴν ὑπὲρ γῆς μεσουρανοῦσιν, ἅπαξ δὲ ὑπὸ γῆν, τῶν τοῦ ἰσημερινοῦ πόλων τό τε τοῦ ὁρίζοντος ἁπτομένων, καὶ μηδένα τῶν παραλλήλων κύκλων μήτε ἀεὶ φανερὸν, μήτε ἀεὶ ἀφανῆ ποιούντων. ὅπου δὲ οἱ πόλοι γίνοντο κατὰ κορυφὴν, οὐδὲ εἷς οὔτε ἀνατέλλει οὔτε δύνει τῶν ἀπλανῶν, τοῦ ἰσημερινοῦ τότε τὴν τοῦ ὁρίζοντος θέσιν λαμβάνοντος. καὶ τὸ μὲν ἕτερον τῶν ὑπ' αὐτοῦ γινομένων ἡμισφαιρίων πάντοτε περιφέροντος ὑπὲρ γῆν, τὸ δὲ ἕτερον ὑπὸ γῆν, ὥστε δὶς ἕκαστον τῶν ἀστρῶν ἐν τῇ μιᾷ περιστροφῇ μεσουρανεῖν, οὓς μὲν ὑπὲρ γῆν πάλιν, οὓς δ' ὑπὸ γῆν. ἐν δὲ ταῖς ἄλλαις ἐγκλίσεσι ταῖς μεταξὺ τούτων, ἐνίων κύκλων γινομένων ἀεὶ φανερῶν καὶ ἀεὶ ἀφανῶν, οἱ μὲν ὑπὸ τούτων ἐναπολαμβανόμενοι πρὸς οὐδὲ πόλους, οὔτε ἀνατέλλουσιν οὔτε δύνουσι, δύο δὲ καθ' ἑκάστην περιστροφὴν ποιοῦντο μεσουρανήσεις. οἱ μὲν ἐν τοῦ ἀεὶ φανερῷ πάλιν ὑπὲρ γῆν, οἱ δὲ ἐν τῷ ἀεὶ ἀφανεῖ πάλιν ὑπὸ γῆν. οἱ δὲ λοιποὶ καὶ ὧν τῶν μειζόνων παραλλήλων, καὶ ἀνατέλλουσι καὶ δύνουσιν, ἅπαξ μὲν ὑπὲρ γῆν καθ' ἑκάστην περιστροφὴν, ἅπαξ δὲ ὑπὸ γῆν. τούτων δὲ ὁ μὲν ἀπό τινος τῶν κέντρων ὧν τὸ αὐτὸ χρόνος, ὁ αὐτός ἐστι πανταχῆ. περιέχει γὰρ μίαν περιστροφὴν πρὸς αἴσθησιν. ὁ δὲ ἀπό τινος τῶν κέντρων ὧν τὸ κατὰ διάμετρον, πρὸς μὲν τὸν μεσημβρινὸν θεωρούμενος, ὁ αὐτός ἐστι πανταχῆ, περιέχει γὰρ μιᾶς περιστροφῆς ἥμισυ, πρὸς δὲ τὸν ὁρίζοντα, τοῦ μὲν ἰσημερινοῦ κατὰ κορυφὴν γινομένου, πάλιν ὁ αὐτός. περιέχει γὰρ ἑκάτερος ἥμισυ περιστροφῆς, τῶν παραλλήλων πάντων τότε μὴ μόνον ὑπὸ τοῦ μεσημβρινοῦ, ἀλλὰ καὶ ὑπὸ τοῦ ὁρίζοντος διχοτομουμένων. ὧν δὲ τῶν ἄλλων ἐγκλίσεων οὔτε ὁ ὑπὲρ γῆν οὔτε ὁ ὑπὸ γῆν χρόνος, καθ' αὑτὸν πάντων ἐστὶν ἴσος, οὔτε καθ' ἕκαστον ὁ ὑπὲρ γῆν τοῦ ὑπὸ γῆν, εἰ μὴ μόνον τῶν ἐπ' αὐτοῦ τοῦ ἰσημερινοῦ τυγχανόντων. τούτου μὲν μόνον καὶ ὧν τοῦ ἐγκεκλιμένης σφαίρας ὑπὸ τοῦ ὁρίζοντος εἰς ἴσα διαιρουμένου, τῶν δὲ ἄλλων πάντων εἰς ἀνομοίους τε καὶ ἀνίσους περιφερείας τεμνομένων. τούτοις δὲ ἀκολούθως καὶ ὁ μὲν ἀπ' ἀνατολῆς ἢ δύσεως ἐπί τινα τῶν μεσουρανήσεων χρόνος ἑκάστου, ἴσος ἐστὶ τῷ ἀπὸ τῆς αὐτῆς μεσουρανήσεως ἐπ' ἀνατολὴν, ἢ δύσιν. διὰ τὸ τὴν μεσημβρινὸν, καὶ τὰ ὑπὲρ γῆν καὶ τὰ ὑπὸ γῆν κλήματα τῶν παραλλήλων εἰς ἴσα διαιρεῖν. ὁδ' ἀπ' ἀνατολῆς, ἢ δύσεως ἐφ' ἑκατέραν τῶν μεσουρανήσεων, ἀνίσως μὲν ὧν τοῦ ἐγκεκλιμένης σφαίρας ἴσος, δὲ ὧν τῆς ὀρθῆς, τῷ τὰ ὑπὲρ γῆν ὅλα τοῖς ὑπὸ γῆν τμήμασιν ἐνθάδε μόνον ἴσα τυγχάνειν. ὅθεν ὧν μὲν τοῦ ὀρθῆς σφαίρας συμμεσουρανοῦντες, ἀεὶ καὶ συνανατέλλουσι καὶ συγκαταδύνουσιν, ἐφόσον οὐ γίνεταί γε αὐτῶν ἡ περὶ οὖν τοῦ ζωδιακοῦ πόλους μετάβασις αἰσθητή. ὧν δὲ τῆς ἐγκεκλημένης οἱ συμμεσουρανοῦντες οὔτε συνανατέλλουσιν οὔτε συγκαταδύνουσιν, ἀλλὰ οἱ νοτιώτεροι τῶν βορειοτέρων αἰεὶ ὕστεροι ἀνατέλλουσι καὶ πρότεροι καταδύνουσιν. οἱ δὲ πρὸς τῆς γῆν ἅμα καὶ τὰ πλανώμενα, ἢ τὰ μέρη τοῦ ζωδιακοῦ θεωρούμενοι τῶν ἀπλανῶν σχηματισμοί, κατα λαμβάνονται, κοινῶς μὲν πάλιν ἀπὸ τῶν συνανατολῶν, ἢ συμμεσουρανήσεων, ἢ συγκαταδύσεων τῶν ἤτοι μετά τινος τῶν πλανωμένων, ἢ μετά τινος τῶν τοῦ ζωδιακοῦ μερῶν, ἰδίως δ' οἱ πρὸς τὴν ἥλιον γινόμενοι θεωροῦντο κατὰ τρόπους θ. καὶ πρῶτος μὲν ἐστι σχηματισμοῦ τρόπος ὁ καλούμενος πρωϊνὸς ἀπηλιώτης, ὅταν ὁ ἀστὴρ ὧν τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος γένητο σὺν ἡλίῳ. τούτου δὲ ὁ μέν τι καλεῖτο ἑώα μὴ φαινομένη ἐπανατολὴ, ὅταν ὁ ἀστὴρ ἀρχόμενος κρύψιν ποιεῖσθαι, μετὰ τὴν ἥλιον εὐθέως αὐτὸς ἀνατείλῃ. ὁ δέ τι καλεῖτο ἑώα συνανατολὴ ἀληθινή, ὅταν ὁ ἀστὴρ ἅμα καὶ κατὰ τὸ αὐτὸ γένηται τοῦ ἡλίῳ ὧν τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος. ὁ δέ τι καλεῖται ἑώα προανατολὴ φαινομένη, ὅταν ὁ ἀστὴρ ἀρχόμενος ἐπιτολὴν ποιεῖσθαι, προανατείλῃ τοῦ ἡλίου.

δεύτε-

δεύτερος δ' ἐστὶ σχηματισμὸς, ὁ καλούμενος πρωϊνὸν μεσουράνημα, ὅταν ὁ ἀστὴρ τοῦ ἡλίου ὄντος ὑπὸ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος, αὐτὸς κατὰ τὴν μεσημβρινὸν ᾖ, ἤτοι ὑπὲρ γῆν, ἢ ὑπὸ γῆν. τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑῶον μεσουράνημα μὴ φαινόμενον, ὅταν μετὰ τὴν τοῦ ἡλίου ἀνατολὴν, εὐθὺς ὁ ἀστὴρ μεσουρανήσῃ, ὁ δέ τι καλεῖται ἑῶον συμμεσουράνημα ἀληθινὸν, ὅταν ἅμα τῷ ἡλίῳ ἀνατέλλοντι, καὶ ὁ ἀστὴρ μεσουρανήσῃ. ὁ δέ τι καλεῖται ἑῶον προμεσουράνημα, ὅταν μεσουρανήσαντος τοῦ ἀστέρος, εὐθὺς ὁ ἥλιος ἀνατείλῃ, τὸ δὲ ὑπὲρ γῆν τούτου, φαινόμενον γίνεται. τρίτος ἐστὶ σχηματισμὸς, ὁ καλούμενος πρωϊνὸς λίψ, ὅταν τοῦ ἡλίου ὑπὸ τοῦ πρὸς ἀνατολὰς ὁρίζοντος ὄντος, ὁ ἀστὴρ ᾖ ὑπὸ τοῦ πρὸς δυσμάς, τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑώα ἐπικατάδυσις μὴ φαινομένη, ὅταν τοῦ ἡλίου ἀνατέλλοντος, εὐθὺς καταδύνῃ ὁ ἀστὴρ, ὁ δὲ καλεῖται ἑώα συγκατάδυσις ἀληθινὴ, ὅταν ἅμα τοῦ ἡλίῳ ἀνατέλλοντι καὶ ὁ ἀστὴρ καταδύνῃ, ὁ δέ τι καλεῖται ἑώα πρόδυσις φαινομένη, ὅταν τοῦ ἀστέρος καταδύνοντος, ὁ ἥλιος εὐθέως ἀνατέλλῃ. τέταρτος ἐστὶ σχηματισμὸς ὁ καλούμενος μεσημβρινὸς ἀπηλιώτης, ὅταν τοῦ ἡλίου ὑπὸ τοῦ μεσημβρινοῦ ὄντος, ὁ ἀστὴρ ᾖ ὑπὸ τοῦ ἀπηλιωτικοῦ ὁρίζοντος. τούτου δὲ πάλιν ὁ μέν τι ἐστὶν ἡμερινὸς καὶ μὴ φαινόμενος, ὅταν τοῦ ἡλίου ὑπὲρ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ ἀνατέλλῃ. τὸ δέ τι νυκτερινὸν καὶ φαινόμενον, ὅταν τοῦ ἡλίου ὑπὸ γῆν μεσουρανοῦντος ὁ ἀστὴρ ἀνατέλλῃ. πέμπτος ἐστὶ σχηματισμὸς ὁ καλούμενος μεσημβρινὸν μεσουράνημα, ὅταν ἅμα ὅ, τε ἥλιος καὶ ὁ ἀστὴρ ὑπὸ τοῦ μεσημβρινοῦ γένωνται. καὶ τούτου δὲ β μέν ἐστιν ἡμερινὰ καὶ μὴ φαινόμενα, ὅταν τοῦ ἡλίου μεσουρανοῦντος ὑπὲρ γῆν ὁ ἀστὴρ, ἤτοι σὺν αὐτῷ καὶ αὐτὸς ὑπὲρ γῆν μεσουρανῇ, ἢ πάλιν ὑπὸ γῆν κατὰ διάμετρον, δύο δὲ νυκτερινὰ τὰ γινόμενα τοῦ ἡλίου μεσουρανοῦντος ὑπὸ γῆν, καὶ τούτων τὸ μὴ μὴ φαινόμενον, ὅταν ὁ ἀστὴρ σὺν τοῦ ἡλίῳ καὶ αὐτὸς ὑπὸ γῆν μεσουρανῇ, τὸ δὲ φαινόμενον, ὅταν ὑπὲρ γῆν κατὰ διάμετρον. ἕκτος ἐστὶ σχηματισμὸς, ὁ καλούμενος μεσημβρινὸς λίψ, ὅταν τοῦ ἡλίου ὑπὸ τοῦ μεσημβρινοῦ ὄντος, ὁ ἀστὴρ ᾖ ὑπὸ τοῦ πρὸς δυσμὰς ὁρίζοντος, τούτου δὲ πάλιν ὁ μέν τι ἐστὶν ἡμερινὸν καὶ μὴ φαινόμενον, ὅταν τοῦ ἡλίου ὑπὲρ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ καταδύνῃ, ὁ δέ τι νυκτερινὸν καὶ φαινόμενον, ὅταν τοῦ ἡλίου ὑπὸ γῆν μεσουρανοῦντος, ὁ ἀστὴρ καταδύνῃ. ἕβδομός ἐστι σχηματισμὸς ὁ καλούμενος ὀψινὸς ἀπηλιώτης, ὅταν τοῦ ἡλίου ὑπὸ τοῦ πρὸς δυσμὰς ὁρίζοντος ὄντος, ὁ ἀστὴρ ὑπὸ τοῦ πρὸς ἀνατολὰς ᾖ, τούτου δὲ πάλιν ὁ μέν τι καλεῖται ἑσπερία ἐπανατολὴ φαινομένη, ὅταν τοῦ ἡλίου δύναντος ὁ ἀστὴρ εὐθὺς ἀνατέλλῃ, ὁ δέ τι καλεῖται ἑσπερία συνανατολὴ ἀληθινὴ, ὅταν ἅμα τῷ ἡλίῳ δύναντι καὶ ὁ ἀστὴρ ἀνατέλλῃ, ὁ δέ τι καλεῖται ἑσπερία προανατολὴ μὴ φαινομένη, ὅταν τοῦ ἀστέρος ἀνατείλαντος εὐθὺς ὁ ἥλιος καταδύνῃ. ὄγδοος ἐστὶ σχηματισμὸς ὁ καλούμενος ὀψινὸν μεσουράνημα, ὅταν τοῦ ἡλίου ὄντος ὑπὸ τοῦ πρὸς δυσμὰς ὁρίζοντος ὁ ἀστὴρ ᾖ ὑπὸ τοῦ μεσημβρινοῦ, ἢ τοῦ ὑπὲρ γῆν, ἢ ὑπὸ γῆν. τούττου δὲ πάλιν τὸ μέν τι καλεῖται ἑσπερινὸν ἐπιμεσουράνημα φαινόμενον, ὅταν τοῦ ἡλίου δύναντος, εὐθὺς καὶ ὁ ἀστὴρ μεσουρανήσῃ, τὸ δέ τι καλεῖται ἑσπερινὸν συμμεσουράνημα ἀληθινὸν, ὅταν ἅμα τῷ ἡλίῳ δύνοντι καὶ ὁ ἀστὴρ μεσουρανήσῃ, τὸ δέ τι καλεῖται ἑσπερινὸν προμεσουράνημα μὴ φαινόμενον, ὅταν τοῦ ἀστέρος μεσουρανήσαντος εὐθὺς ὁ ἥλιος καταδύνῃ. ἐννατός ἐστι σχηματισμὸς ὁ καλούμενος ὀψινὸς λίψ, ὅταν ὁ ἀστὴρ σὺν τῷ ἡλίῳ ὑπὸ τοῦ πρὸς δυσμὰς ὁρίζοντος γίνηται. τούτου δὲ πάλιν τὸ μέν τι καλεῖται ἑσπερία ἐπικατάδυσις φαινομένη, ὅταν ὁ ἀστὴρ ἀρχόμενος κρύψιν ποιεῖσθαι μετὰ τὴν ἥλιον εὐθὺς αὐτὸς καταδύνῃ, τὸ δέ τι καλεῖται ἑσπερία συγκατάδυσις ἀληθινὴ, ὅταν ὁ ἀστὴρ ἅμα καὶ κατὰ τὸ αὐτὸ τοῦ ἡλίῳ καταδύνῃ, τὸ δέ τι καλεῖται ἑσπερία πρόδυσις μὴ φαινομένη, ὅταν ὁ ἀστὴρ ἀρχόμενος ἐπιτολὴν ποιεῖσθαι προκαταδύνῃ τοῦ ἡλίου.

ΠΕΡΙ ΣΥΝΑΝΑΤΟΛΩΝ ΚΑΙ ΣΥΜΜΕΣΟΥ-ρανήσεων καὶ συγκαταδύσεων τῶν ἀπλανῶν.

Τούτων δ' οὕτως ἐχόντων οἱ μὴ τῶν ἀληθινῶν καὶ πρὸς τὸ κέντρον τοῦ ἡλίου θεωρουμένων συνανατολῶν τε καὶ μεσουρανήσεων καὶ συνκαταδύσεων χρόνοι, αὐτόθεν διὰ μόνων τῶν γραμμῶν ἀπὸ τοῦ κατὰ τὴν ἀστερισμὸν αὐτῶν θέσεως ἡμῖν δύναντα λαμβάνεσθαι, διὰ τὸ καὶ τὰ σημεῖα τοῦ διὰ μέσων τῶν ζωδίων, οἷς ἕκαστος τῶν ἀπλανῶν συμμεσουρανεῖ τε καὶ συνανατέλλει καὶ συγκαταδύνει, δείκνυσθαι γραμμικῶς διὰ τῶν ὑποκειμένων θεωρημάτων. ἔστω γὰρ πρῶτον ἕνεκεν τῶν μεσουρανήσεων, ὁ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ κύκλος ὁ αβγδ, καὶ ἰσημερινοῦ μὴ ἡμικυκλίον τὸ αεγ, περὶ πόλον τὸ ζ, ζωδιακοῦ δὲ τὸ βεδ περὶ πόλον τὸ η, καὶ διὰ τῶν πόλων τοῦ ζωδιακοῦ γεγράφθω μεγίστου κύκλου τμῆμα τὸ ηθκλ, ἐφ' οὗ τὸ θ σημεῖον νοείσθω ὁ ἐπιζητούμενος ἀστὴρ τῶν ἀπλανῶν, ἐπεὶ πρὸς ἀεὶ οὕτως

γραφομένους κύκλους αἱ θέσεις αὐτῶν ἔτυχον ὑφ' ἡμῶν τηρήσεώς τε καὶ ἀναγραφῆς. γεγράφθω δὴ καὶ διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ καὶ τοῦ κεῖ τὸ θ ἀστέρος μεγίστου κύκλου τμῆμα τὸ ζθμν. ὅτι μὲν τοίνυν ὁ κεῖ τὸ θ ἀστὴρ, τοῖς μ καὶ ν σημείοις τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ συμμεσουρανεῖ, φανερόν. ὅτι δὲ δίδοτο ταῦτά τε καὶ ἡ θη περιφέρεια, διὰ τούτων ἔσται δῆλον. ἐπεὶ γὰρ, διὰ τὰ ἐν τοῖς πρώτοις τῶν συντάξεως δεδειγμένα, εἰς β μεγίστων κύκλων περιφερείας τήν τε αη καὶ τῆς αν, διήχθησαν μεγίστων κύκλων περιφέρειαι, ἥτε ηλ καὶ ἡ νζ, ὁ τῶν ὑπὸ τῆς διπλῆν τῆς ηα πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῶν αζ λόγος συνῆπται, ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῶν ηλ πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῶν λθ, καὶ τοῦ τῶν ὑπὸ τῆς διπλῆν τῆς νθ πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῶν ζν. ἀλλὰ τῶν μὲν αζ καὶ ζν καὶ ηκ ἑκάστη αὐτόθεν ὑπόκειτο τεταρτημορίου, δίδοτο δὴ καὶ ἐκ μὲν τῶν ἀναγραφῆς τοῦ ἀστέρος ἥτε κθ τοῦ πλάτους, καὶ ἡ κβ τοῦ μήκους, ἐκ δὲ τῶν ἀποδεδειγμένης τοῦ διὰ μέσων ἐγκλήσεως, ἥτε ζη καὶ ἡ κλ, δῆλον ἄρα ὅτι δεδομέναι μὲν ἔσοντο τῶν ἐπιζητουμένων περιφερειῶν, ἥτε ηα καὶ ἡ αζ καὶ ἡ ηλ, καὶ ἡ λθ καὶ ἔτι ἡ νζ. δοθήσεται δὴ διὰ ταῦτα καὶ λοιπὴ ἡ νθ. πάλιν ἐπεὶ καὶ ὁ τῶν ὑπὸ τῆς διπλῆν τῶν ζη, πρὸς τῆς ὑπὸ τὴν διπλῆν τῆς ηα λόγος συνῆπται, ἔκ τε τοῦ τῶν ὑπὸ τὴν διπλῆν τῆς ζθ, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῶν θν, καὶ τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς νλ, πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς λα, δεδομέναι δέ εἰσι τῶν ἐπιζητουμένων περιφερειῶν, διὰ μὲν τῶν προκειμένων, ἥτε ζη καὶ ἡ ηα, καὶ ἔτι ἥτε ζθ καὶ ἡ θν, διὰ δὲ τῶν ἐπ' ὀρθῆς τῶν σφαίρας συναναπολῶν τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ ἀκὴ τῶν κβ ἡ λα, καὶ λοιπὴ δοθήσεται ἡ νλ. διὰ ταῦτα δὴ καὶ ἀκὴ τῶν αη ὅλης ἡ μβ τοῦ ζωδιακοῦ, καὶ τὰ συναναπέλλοντα δὲ ἢ συγκαταδύνοντα σημεῖα τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ τοῖς ἀπλανέσι, διὰ τῶν συμμεσουρανήσεων προχείρως λαμβάνεται τὸν τρόπον οὗτον. ἔστω γὰρ μεσημβρινὸς κύκλος ὁ αβγδ, καὶ ἰσημερινοῦ μὲν ἡμικυκλίον τὸ αεγ περὶ πόλον τὸν ζ, ὁρίζοντος δὴ τὸ βεδ. ἀνατελλέτω δὲ ὁ ἀστὴρ κεῖ τὸ η σημεῖον τοῦ ὁρίζοντος, καὶ διὰ τῶν ζη γεγράφθω μεγίστου κύκλου τεταρτημόριον τὸ ζηθ. ἐπεὶ οὖν πάλιν εἰς δύο μεγίστων κύκλων περιφερείας τήν τε αζ καὶ τῆς αε διήχθησαν ἥτε ζθ καὶ ἡ εβ, ὁ τῶν ὑπὸ τῆς διπλῆν τῆς ζβ πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῶν βα λόγος συνῆπται, ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῶν ζη, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῶν ηθ, καὶ τοῦ τῆς ηθ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς θε, πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῶν αε. ἀλλὰ τῶν ἐπιζητουμένων περιφερειῶν ἑκάστη τῶν ζα καὶ ζθ καὶ εα, τεταρτημόριον περιέχει, δίδοται δὲ καὶ ἐκ μὲν τοῦ ἐξάρματος τῶν πόλων ἡ ζβ, διὰ δὲ τῶν συμμεσουρανήσεων τό, τε θ σημεῖον τοῦ ἰσημερινοῦ, καὶ ἡ θη περιφέρεια. καὶ λοιπὴ ἄρα ἡ θε δοθήσεται. εὐκατανόητον δὲ ὅτι καὶ ὑπὸ τῶν συγκαταδύσεων, ἐὰν εἰς τὰ προηγούμενα τοῦ θ, ἴσην τῇ θε περιφέρειαν ἀπολαβώμεν, οἷον τὴν θκ, τῷ κ σημείῳ τοῦ ἰσημερινοῦ συγκαταδύσεται ὁ ἀστὴρ, διὰ τὸ καὶ τότε τήν τε κατάδυσιν ἐπ' ἴσης τῇ βη περιφερείᾳ γίνεσθαι, καὶ ἴσην γωνίαν εἰς τὰ προηγούμενα τοῦ μεσημβρινοῦ πάλιν ἀπολαμβάνεσθαι τῇ κατὰ οὗτο τὸ σχῆμα, εἰς τὰ ἑπόμενα ὑπὸ τῶν αζ καὶ ζθ περιεχομένη. καὶ αὐτόθεν δὲ ἀκὴ τῶν ἀποδεδειγμένων ἐφ' ἑκάστου κλίματος συναναπολῶν τε καὶ συγκαταδύσεων τοῦ ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ, τό, τε τοῦ ε σημείῳ τοῦ ἰσημερινοῦ καὶ τοῦ ἀστέρι συναναπέλλον μέρος τοῦ ζωδιακοῦ δοθήσεται, καὶ τὸ τῷ κ καὶ τοῦ ἀστέρι συγκαταδύνον. καὶ δῆλον ὅτι ἐν οἷς χρόνοις κατ' ἐκείνων τῶν τοῦ ζωδιακοῦ σημείων ὁ ἥλιος γίνεται ἀκριβῶς, ἐν τούτοις καὶ πρὸς τὸ κέντρον αὐτοῦ θεωρούμεναι τῶν ἀπλανῶν ἀνατολαί τε καὶ μεσουρανήσεις καὶ δύσεις, καλούμεναι δὲ ἀληθιναὶ συγκεντρώσεις ἀποτελεσθήσοντο.





ΠΕΡΙ

ΠΕΡΙ ΦΑΣΕΩΝ ΚΑΙ ΚΡΥΨΕΩΝ ΤΩΝ ΑΠΛΑΝΩΝ.

Οὐκέτι μέντοι καὶ ὑπὲρ τῶν φάσεων, ἢ κρύψεων ἀπαρκοῦσαν εὑρίσκομεν τὴν διὰ τῶν γραμμῶν, ἀπὸ μόνης αὐτῶν τῆς θέσεως ἐκτεθειμένην ἔφοδον. ἐπειδὴ οὐχ ὥσπερ λόγου ἕνεκεν ποιῷ σημείῳ τοῦ ζωδιακοῦ συνανατέλλων ὁ ἀστὴρ ἀποδείκνυτο, διὰ αὐτῶν ἔτι, καὶ πηλίκην τοῦ ἡλίου περιφέρειαν ἀπέχοντος ὑπὸ γῆν τοῦ ὁρίζοντος πρώτως φανήσετο, ἢ κρυφθήσεται, δυνατὸν εἶναι διὰ τῶν ὁμοίων λαμβάνεσθαι. μήτε ὑπὲρ πάντων μήτε ὑπὲρ τῶν αὐτῶν πανταχῆ ταύτης τῆς περιφερείας ἴσην εἶναι δυναμένης, ἀλλὰ διαφερούσης, καὶ παρὰ τὰ μεγέθη τῶν ἀστέρων, καὶ παρὰ τὰς κατὰ πλάτος ἀποστάσεις τοῦ ἡλίου, καὶ παρὰ τὴν ἀλλοίωσιν τῶν ἐγκλίσεων τοῦ ζωδιακοῦ. ἐὰν γὰρ νοήσωμεν μεσημβρινὸν κύκλον τὸν αβγδ, καὶ ζωδιακοῦ μὲν ἡμικύκλιον τὸ αεγζ, ὁρίζοντος δὲ τὸ βεδ περὶ πόλον τὸ η, δηλονότι τῶν τῷ ε σημείῳ τοῦ ζωδιακοῦ συνανατελλόντων ἀστέρων, ἐὰν ὁ μείζων πρώτως ἄρχηται φαίνεσθαι, τοῦ ἡλίου λόγου ἕνεκα τὴν εζ περιφέρειαν ἐπέχοντος ὑπὸ γῆν, ὁ ἐλάσσων, καὶ ἴσον κατὰ πλάτος ἀφεστήκη τοῦ ἡλίου, πρώτως φανήσετο μείζονα τῆς εζ περιφέρειαν ἀπέχοντος αὐτοῦ, καὶ αὐτὰς ποιοῦντος ἐλάσσονας. καὶ πάλιν ὑπὲρ τῶν ἰσομεγεθῶν ἀστέρων ἐὰν ὁ συνεγγίζων τοῦ ε σημείῳ κατὰ τὸ πλάτος ἀπὸ τῆς εζ διαστάσεως φαίνητο, πρώτως ὁ τούτου πλέον ἀφεστὼς, ἀπ' ἐλαττόνος φανήσετο. διὰ τὸ καὶ ὑπὲρ τῆς αὐτῆς τοῦ ἡλίου διαστάσεως ὑπὸ γῆν τὰς πρὸς αὐτῷ τοῦ ζωδιακῷ καὶ τῷ ἡλίῳ γινομένας αὐγὰς πλείους εἶναι τῶν ἄπωθεν. ἐπί τε τῶν ἰσομεγεθῶν καὶ κατ' ἴσην πλάτους ἀπόστασιν ἀνατελλόντων, ὅσῳ ἐὰν πλεῖον ὁ ζωδιακὸς ἐγκλίνητο πρὸς τὸν ὁρίζοντα, καὶ τῆς ὑπὸ δεζ γωνίαν ἐλάσσονα ποιῇ, τοσούτῳ μᾶλλον ἀπὸ μείζονος διαστάσεως τῆς εζ πρώτως φανήσεται ὁ ἀστήρ. ἐὰν γὰρ προσεντάξωμεν ὡς ἐν τῷ ἐφεξῆς σχήματι, διά τε τῶν τοῦ ὁρίζοντος πόλων, καὶ διὰ τῶν τοῦ ἡλίου, τὸ κατὰ τὸ ζ ἡμικύκλιον ὀρθὸν ἐσόμενον, δηλονότι πρὸς τὸν ὁρίζοντα τὸ θζκ, ἡ μὲν τοῦ ἡλίου ἀπόστασις ὑπὸ γῆν ὑπὲρ τῶν αὐτῶν ἀστέρων, ἴση πάντοτε μένει τῇ ζθ, διὰ τὸ τῆς οὕτως ἴσης ἀποχῆς, καὶ τὰς ὑπὲρ γῆν αὐγὰς ὁμαλῶς εἶναι, ἡ δὲ εζ περιφέρεια, μενούσης τῆς θζ, ὡς ἔφαμεν, ὀρθουμένου μὴ μᾶλλον τοῦ ζωδιακοῦ, ἐλάσσων ἔσται, κεκλιμένου δὲ, μείζων. δεῖ ἄρα τηρήσεων καθ' ἕνα ἕκαστον τῶν ἀστέρων πρὸς τὴν τῆς ἡλιακῆς ὑπὸ γῆν διαστάσεως ὑπὲρ τοῦ ζωδιακοῦ κατάληψιν. καὶ μὲν μὴ ἡ ἡ ὑπὲρ τοῦ πρὸς ὀρθὰς τῷ ὁρίζοντι διάστασις, ὡς ὑπὲρ τοῦ ὑποτεταγμένου σχήματος ἡ ζθ, ἡ αὐτὴ μὲν κατὰ πάσας τὰς οἰκήσεις ὑπὲρ τῶν αὐτῶν ἀστέρων, διὰ τὸ μὴ τὰς ὁμοίας αὐγὰς ὡσαύτως καταλάμπειν ἐν τοῦ παχυτέρῳ τῶν βορειοτέρων κλιμάτων ἀέρι, οὐ μόνου ἑνὸς κλίματος τηρήσεων δεησόμεθα, ἀλλὰ καὶ καθ' ἕν ἕκαστον τῶν λοιπῶν. ἐὰν δὲ ὑπὲρ τῶν αὐτῶν ἀστέρων ἡ ὁμοία τῇ ζθ περιφέρεια ἡ αὐτὴ σώζηται πανταχῇ, ὥσπερ καὶ εἰκός, τὸ αὐτὸ γὰρ ἀνάγκη διατίθεσθαι ταῖς αὐγαῖς καὶ τοῦ ἀστέρας, ὑπὸ τῆς τῶν ἀέρων διαφορᾶς, ἀρκέσουσιν ἡμῖν καὶ αἱ καθ' ἕν μόνον κλίμα τετηρημέναι διαστάσεις, πρὸς τὸ καὶ τὰς λοιπὰς ἐπισκέπτεσθαι διὰ τῶν γραμμῶν, ἐάν τε παρὰ τὰς οἰκήσεις ἡ κλίσις ἀλλάσσηται τοῦ διὰ μέσων, ἐάν τε παρὰ τῆς εἰς τὰ ἑπόμενα εἰς τῶν μερῶν αὐτοῦ δεδειγμένην τῆς τῶν ἀπλανῶν σφαίρας μετακίνησιν. δεδόσθω γὰρ ὑπὲρ τοῦ δεδειγμένου σχήματος ἡ εζ ἀπόστασις ἐκτηρήσεως, ἑνὸς οἱουδηποτοῦν κλίματος. ἐπεὶ τοίνυν πάλιν εἰς δύο μεγίστων κύκλων περιφερείας, τήν τε ηβ καὶ τῆς ηζ διήχθησαν ἡ βθ καὶ ἡ ζα, ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς αβ πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς βη λόγος συνῆπται, ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς αε, πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς εζ. καὶ τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς ζθ, πρὸς τὴν ὑπὸ τῆς διπλῆν τῆς θη. ἀλλὰ τῶν ἐπιζητουμένων περιφερειῶν, ἡ μὴ βη καὶ ἡ θη αὐτόθεν ἐστὶν ἑκατέρα τοῦ τεταρτημορίου, τοῦ δὲ ε σημείου ὑποκειμένου, ὦ συνανατέλλει ὁ ἀστὴρ, καὶ τὸ α τὸ μεσουρανοῦν, ἐκ τῶν ἀναφορικῶν πραγματειῶν δίδοτο, ὥστε καὶ τὴν μὴ αε διὰ τοῦτο δεδόσθαι, τῆς ἡ εζ ἐκ τῆς τηρήσεως, καὶ ἡ αη ἡ δίδοτο συναγομένη ἔκ τε τῆς ἀπὸ τοῦ ἰσημερινοῦ τοῦ α σημείου διαστάσεως, ἢ δίδοτο διὰ τοῦ τῆς λοξώσεως κανονίου, καὶ τῆς ἀπὸ τοῦ κατὰ κορυφὴν τοῦ ἰσημερινοῦ κατὰ τὸν αὐτὸν μεσημβρινὸν ἀποχῆς, ἥτις ἐστὶν ἴση τοῦ τοῦ πόλου



ζχήματι. ☾ λοιπὴ ἄρα ἡ ΖΘ ἴσαι διελομένη. ταύτης δ' ὑπεθείσης καὶ μενούσης φανταχῆ ἡ αὐτῆς, διὰ αὐτῆς καὶ τὰς γὰ ταῖς ἄλλαις ἐγκλίσεσι γινομένας τ ΖΓ ωηλικότητας ἀεὶ τ αὐτῶν λαταλη ψόμεθα. πάλιν γὰρ ὁ μὲν ὑπὸ τῶν διπλῶν τῆς ΓΒ πρὸς τ ὑπὸ τῶν διπλῶν ἡ



ΑΒ λόγος σωαφθήσεται, ἔκ τε τοῦ τῆς ὑπὸ τῶν διπλῶν ἡ ΓΘ, πρὸς τ ὑπὸ τ διπλῶν τ ΖΘ, ☾ τοῦ ἡ ὑπὸ τῶν διπλῶν τῆς ΖΕ, πρὸς τῶν ὑπὸ τῶν διπλῶν ἡ ΕΑ, τῶν δὲ ἐπιζητουμένων πρὸς φερειῶν, τῆς μὲν ΖΘ νῦν ὑποκειμένης, διελομένου, ἢ ☾ τοῦ ε σωανατέλλοντος ζῳ ἀστέρος σημείου τῆ ἐπιζυτούμενῃ διπλασίονα λόγον ἔχοντος τ προϋποδιειλημμένων, ὡσαύτως τε διελομένων καὶ ἡ τε ΕΑ πρὸς φερείας, καὶ τῆς ΒΑ, δίδοται καὶ λοιπὴ ἡ ΕΖ τοῦ ζωδιακοῦ πρὸς φέρεια. ὁ αὐτὸς ἢ πρόπος ἡμῖν καταναοηθήσεται τ ἐφόδου, ☾ ὧν τῶν πρὸς τὰς καταδύσεις λρύψεων, μόνης σχεδὸν ὧν τοῦ αὐτοῦ σχήματος ἡ τ ζωδιακοῦ θέσεως ὠφ τὰ ἕτερα λατὰ τὸ τῆς ἐγκλίσεως ἀνάλλαθον καταγραφομένης, ὡς δυτικῆς ὑποκειμένης ἡ ΒΔ τ ὁρίζοντος πρὸς φερείας. φάνερον δὴ διὰ τ μὴ δὲ τοῦτον παραλελεῖφθαι τὸν τόπον, ἱκανῶς ἔχειν καὶ ταῦτα ἡγούμεθα πρὸς φάλειψιν τῶν λατὰ τὸν τοιοῦτον θεωρίαν ἐφοδευομένων. φάνερον δὲ τοῦ τὸ ἐκ τῶν τοιούτων προρρήσεων σωαγόμενον ἔδος πολύχουν ἐστὶν ἀνατελῶς, οὐ μόνον παρὰ τὰς διαφορὰς τῶν τε οἰκήσεων καὶ τῶν τ ζωδιακοῦ ἐγκλίσεων πλείστας οὔσας, ἀλλὰ καὶ παρ' αὐτὸ τὸ πλῆθος τῶν ἀστέρων, ☾ ἔτι τὸ λατ' αὐτὰς τὰς τῶν φάσεων τῶν ἀστέρων τηρήσεις, ὀργώδους τε ἐστὶ καὶ οὐκ ἐυκατανόητον, καὶ τῶν ὡρώντων αὐτῶν, καὶ τῶν λατὰ τὰ αὐτὰ ὁρωμένους τόπους ἀέρων, ἀνόμοιον ☾ ἀβέβαιον τὸν χρόνον τῆς πρώτης ὑποψίας ποιεῖν διαμαρτάνων, ὡς ἔμοιγε ἀπὸ γε αὐτῆς ἡ πείρας καὶ τῆς γὰ ταῖς τοιαύταις τηρήσεσι διαφορᾶς γέγονεν ἐυκατανόητον. πρὸς δὲ τούτοις καὶ διὰ τῶν μετατάξεσιν τῆς τῶν ἀπλανῶν σφαίρας μὴ δὲ μένειν ἀεὶ δυνάσθαι, μὴ δὲ λαθ' ἑ ἕκαστον λιλίμα τὰς αὐτὰς σωαναπολὰς καὶ μεσουρανήσεις καὶ συγκαταδύσεις ταῖς γὰ ζῳ παρόντι διὰ τοσούτων ἀριθμῶν καὶ διέξεων ἐκλογιζομένας, παρατησόμεθα χρονοτριβειαν, ὧν τ παρόντος ἀρκούμενοι ταῖς σωεγγυς, ἢ ἀπ' αὐτῶν τῶν προτέρων ἀναγραφῶν, ἢ ἀπ' αὐτῆς σφαιρικῆς διαθέσεως ἑκάστοτε διαμαρτίας λαταλαμβάνεσθαι. καὶ γὰρ διὰ καὶ τὰς ἀπὸ τῶν φάσεων, ἢ δρύψεων γινομένας πρὸς τὰ λατασήματα τῶν ἀέρων ἐπισημασίας, ἐάν γε ταύτας καὶ μὴ πρὸς τὸ ζωδιακοῦ τόπους προσάπτηται τὸν αὐτὸν, ὁρῶμεν σχεδὸν τὸ σωέγγυς ἀεὶ καὶ τὸ μὴ τεταγμένον μὴ ἢ τὸ ἀπαράλλακτον σωτηρούσας, ὡς τ αὐτὰς ἢ τὸ ὁλοχρέστερον ἀποτελουμένης, ☾ μὴ οὕτως ἐπὶ αὐτῶν τῶν πρώτων λατὰ τὰς πρώτας φάσεις, ἢ δρύψεις ἀέρων ἰχυροποιουμένης, ὡς ὑπό τε τῶν λαθ' ὅλα διασήματα λαμβανομένων πρὸς τὸν ἥλιον σχηματισμὸν, καὶ τῶν ἐπ' αὐτοῖς ὧν μέρους τῆς σελήνης προσνεύσεων.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ Θ ΤΩΝ ΠΤΟΛΕ μαίου μαθηματικῶν.

Περὶ τῆς τάξεως τῶν σφαιρῶν ἡλίου καὶ σελήνης καὶ τῶν ε πλανωμένων.
Περὶ ἡ λατὰ τὰς ὑποθέσεις τῶν πλανωμένων προθέσεως.
Περὶ τῶν πλιοσελικῶν ἀποκαταστάσεων τῶν ε πλανωμένων.
Κανόνος μέσων διινήσεων μήκους τε καὶ ἀνωμαλίας τῶν ε πλανωμένων.
Προλαμβανόμενα εἰς τὰς ὑποθέσεις αὐτῶν.
Περὶ τοῦ τρόπου καὶ τῆς διαφορᾶς τῶν ὑποθέσεων.
Ἀπόδειξις τοῦ ἀπογείου τοῦ τε ἑρμοῦ ἀστέρος, ☾ ἡ μεταπτώσεως αὐτοῦ.
Ὅτι διὰ καὶ ὁ τοῦ ἑρμοῦ ἀστὴρ πλιγειότατος ὢν ζῳ ἐνὶ κύκλῳ γίνεται.
Περὶ τοῦ λόγου καὶ ἡ φανικότητος τῶν ἀνωμαλιῶν αὐτοῦ.
Περὶ τῆς διορθώσεως τῶν πλιοσελικῶν αὐτοῦ διινήσεων.
Περὶ τῆς ἐποχῆς τῶν πλιοσελικῶν αὐτοῦ διινήσεων.

ΚΛΑΥΔΙΟΥ ΠΤΟ

ΓΕΜΑΊΟΥ ΜΑΘΗΜΑΤΙΚΗ̂Σ ΣΥΝΤΆΞΕΩΣ ΒΙΒΛΊΟΝ Ε̈ΝΝΑΤΟΝ.

ΓΕΡῚ ΤΗ̂Σ ΤΆΞΕΩΣ ΤΩ̂Ν ΣΦΑΙΡΩ̂Ν ἡλίου καὶ σελήνης καὶ τῶν ε̄ πλανωμένων.



Σα μὲν οὖν περὶ τῶν ἀπλανῶν ἀστέρων αὐξήσεως γεγραμμένοις ὑπομνηματίσαιτο, καθ' ὅσον τὰ μέχρι νῦν φαινόμενα προκοπὴν καταλήψεως ὑποβάλλει, χρήσιμον ταῦτ' ἂν εἴη, λειπούσης δὲ εἰς τὸν περὶ σύταξιν τ̄ ε̄ πλανωμένων πραγματείας, ποιησόμεθα τὴν περὶ αὐτῶν ἔνθεσιν, ὥστε καὶ τὸν μὴ παντελῶς ἀμοιρεῖν τοῦ κοινοῦ, ἐφ' ὅσον γε καὶ ἐχώρησεν, τῶν ἐφόδων ἡμᾶς ἐπισωρεύοντος. πρῶτον μὲν περὶ τῆς τάξεως τῶν σφαιρῶν αὐτῶν, αἵτινές τ' εἰσὶ καὶ αὗται τὰς θέσεις ἔχουσιν ὡς περὶ τὸν τοῦ κόσμου καὶ διὰ μέσων τῶν ζῳδίων κύκλου πόλους, τὸν Μ, πάσας τε περιγειοτέρας μὲν εἶναι τῶν ἀπλανῶν, ἀπογειοτέρας δὲ τῆς σελληνιακῆς, καὶ τὸ, τὰς τρεῖς τὸν χρόνον μείζονα οὔσας, καὶ τὸν τ̄ ἡλίου ὡς ἐπὶ τὰ πλησιαίτερα ἀδυτέρας, καὶ τ̄ τ̄ ἀρκτικὸν ὑπὸ ἐκείνῳ ἀπογειοτέρας εἶναι τῶν τε λοιπῶν καὶ τῆς τ̄ ἡλίου, χρήσιμον παρὰ πᾶσι τοῖς πρώτοις μαθηματικοῖς ὁρισμὸν συμπεφωνημένα. τῆς δὲ τοῦ τῆς ἀφροδίτης, καὶ τῆς τοῦ ἑρμοῦ παρὰ μὲν τοῖς παλαιοτέροις ὑποκάτω τιθεμένας τῆς ἡλιακῆς, παρὰ δὲ νεωτέροις τῶν μετὰ ταῦτα, καὶ αὐτὰς ὑπερτιθεμένας, ὥστε καὶ τὸν μὴ δι' ἐπ' αὐτῶν ἐπεσκοπῆσθαί ποτε τὸν ἥλιον. ἡμῖν δ' ἡ μὴ τοιαύτην λῆψιν ἀβέβαιον ἔχειν δοκεῖ τοῦ διώσθαί τινας ἂν μὴ ὑπὸ τ̄ ἥλιον, μηκέτι δὲ πάντως καὶ ἔν τινι τῶν διὰ αὐτοῦ καὶ τ̄ ὄψει δῆλά τινας εἶναι ὑπὸ τ̄ ἥλιον, ὡς ἂν μὴ φαίνεσθαι ἐπιπροσθοῦντας αὐτῷ, καθάπερ ἡμῶν ἐπιπέδων, ἀλλ' ἔν ἄλλῳ, καὶ διατόπον μὴ φαίνεσθαι ἐπιπροσθοῦντας αὐτῷ, καθάπερ ἡμῶν ἐπιπέδων, ἀλλ' ἔν ἄλλῳ, καὶ διὰ τῶν τοῦ σελήνης σωσθρομῶν τὰ πλεῖστα οὐ γίνονται ἐπισκοτήσεις. μὴ δυναμένης δὲ μὴ ἢ κατ' ἄλλον τρόπον τῆς τοιαύτης καταλήψεως προχωρεῖν, διὰ τὸ μισθέναι τῶν ἀστέρων τοιεῖσθαι πρόαλλαξίν τινα ἀόδητὴν, ἀφ' οὗ μόνου φαινομένης τὰ ἀποσήματα τῶν ἀστέρων τοιεῖσθαι πρόαλλαξίν τινα ἀόδητὴν, ἀφ' οὗ μόνου φαινομένης τὰ ἀποσήματα καταφαίνεσθαι, χωρίζουσα φυσικῶτερον μέσω τῷ ἡλίῳ οὖσαν πᾶσαν διάστασιν ἀφισαμένους αὐτοῦ, τῶν μὴ οὕτως ἐχόντων, ἀλλὰ περὶ αὐτὸν ἀεὶ φερομένων, ἐφ' ὅσον γε μὴ ποσὸν ἀφίστασθαι αὐτοὺς ὧν τὸ περιγειότερον, ὅσον ἀξιόλογόν τινα παράλλαξιν ἀπεργάσασθαι δυνήσεται.

ΓΕΡῚ ΤΗ̂Σ ΚΑΤᾺ ΤᾺΣ ΥΠΟΘΈΣΕΙΣ ΤΩ̂Ν πλανωμένων προθέσεως.



Ὁ μὲν οὖν κατὰ τὰς τάξεις τῶν σφαιρῶν ποιοῦτον ἂν εἴη. προκειμένου δ' ἡμῖν τοῦ καὶ τῶν ε̄ πλανωμένων ἀστέρων ὥσπερ ἐφ' ἡλίου καὶ σελήνης τὰς φαινομένας αὐτῶν ἀνωμαλίας πάσας ἀποδεῖξαι, διὰ ὁμαλῶν καὶ ἐγκυκλίων κινήσεων ἀποτελουμένας, τούτων μὲν οἰκείων ὄντων τῇ φύσει τῶν θείων, ἀταξίας δὲ καὶ ἀνομοιότητος ἀλλοτρίων, μέγα μὲν ἡγεῖσθαι προσήκειν τὸν περὶ τοιαύτην πρόθεσιν κατόρθωμα καὶ τέλος ὡς ἀληθῶς τῆς ἐν φιλοσοφίᾳ μαθηματικῆς θεωρίας, δύσκολον δὲ διὰ πολλά, καὶ οὐκ ὀλίγον μηδενὸς πω πρότερον κατωρθωμένου. ἐπί τε γὰρ τῶν περὶ τὰς περιοδικὰς ἐκάστου κινήσεις ἐπισκέψεων, τὸ κατὰ τὰς συγκρινομένας τηρήσεις ὑπὸ τῆς ὄψεως παραθεωρηθῆναι πῶς τὸ λεπτομερὲς διαφανοῦς, τάχιον μὲν ἀόδητον ποιοῦτον κατὰ τὸν ἐφεξῆς χρόνον διαφορὰν, ὅταν ἐπ' ἐλάττονος διαστάσεως ἢ ἐζητασμένου, βράδιον δ' ὅταν ἐπὶ πλείονος ὁ χρόνος, ἀφ' οὗ τῶν πλανωμένων τηρήσεις ἔχομεν ἀναγεγραμμένας, βραχὺς ὢν ὡς πρὸς μεγάλων ἔτων κατάληψιν, τὸν ὧδε τὸν μακρῶ πολλαπλασίονα χρόνον προῤῥήσειν ἀβέβαιον παρασκευάζει, ἐπί τε τῆς τῶν ἀνωμαλιῶν ἐπισκέψεως, οὐ μικρὸν ἐμποιεῖ θόρυβον τό, τε δύο καθ' ἕκαστον αὐτῶν φαίνεσθαι γινομένας ἀνωμαλίας, καὶ ταύτας ἀνίσους μὴ, καὶ τοῖς

μεγέθεσι καὶ τοῖς τῶν ἀποκαταστάσεων χρόνοις, ὧν ἡ μὲν πρὸς τὸν ἥλιον, ἡ δὲ πρὸς τὰ τοῦ ζωδιακοῦ μέρη λόγον ἔχουσα θεωρεῖτο, μεμιγμένας δὲ διὰ παντὸς ἀμφοτέρας, ὡς τὸ καθ' ἑκατέραν ἴδιον δυσδιάκριτον ἐντεῦθεν ὑπάρχειν, καὶ τὸ τὰς τῶν παλαιῶν τηρήσεων, ἀνεπιστάτως ἅμα καὶ ὁλοσχερῶς ἀναγεγράφθαι. αἵ τε γὰρ συνεχέστεραι αὐτῶν, στηριγμοὺς περιέχουσι καὶ φάσεις. ἑκατέρου δὲ τούτων τῶν ἰδιωμάτων οὐκ ἔστιν ἀδίστακτος ἡ κατάληψις, τῶν μὴ στηριγμῶν μὴ δυναμένων τὸν ἀκριβῆ χρόνον ἐμφανίσαι, κατὰ πολλὰς ἡμέρας τῆς τοπικῆς μεταβάσεως ἀνεπαισθήτου γινομένης, καὶ πρότερον καὶ ὕστερον αὐτοῦ τοῦ στηριγμοῦ, τῶν δὲ φάσεων μὴ μόνον τοὺς τόπους εὐθὺς συναφανιζουσῶν τοῖς τὸ πρῶτον ἢ τὸ ἔσχατον ὀφθεῖσιν, ἀλλὰ καὶ κατὰ τοὺς χρόνους διαμαρτηθῆναι δυναμένων, καὶ τῆς διαφορᾶς ἕνεκεν τῶν ἀέρων, καὶ τῆς ὄψεως τῶν παρατηρούντων. καθόλου τε αἱ πρός τινα τῶν ἀπλανῶν ἀστέρων, ἐκδιαστήματος, μικροτέρου γινόμεναι παρατηρήσεις, ἐὰν μή τις πάντων ἕνεκεν διορατικῶς τε καὶ ἐπιστημονικῶς αὐταῖς προσέχῃ, δυσεπιλογιστὸν καὶ στοχαστικὴν ἔχουσι τὴν πηλικότητα τῆς καταμειρήσεως, οὐ μόνον διὰ τὸ τὰς μεταξὺ τῶν τηρουμένων ἀστέρων γραμμὰς, διαφόρους γωνίας πρὸς τὸν διὰ μέσων τῶν ζωδίων ποιεῖν, καὶ μὴ πάντως ὀρθὰς, ὅθεν εἰκὸς πολλὴν παρακολουθεῖν πλάνην, διὰ τὸ πολύτροπον τῆς ἐγκλίσεως τοῦ ζωδιακοῦ, περὶ τὴν διάκρισιν τῆς τε κατὰ μῆκος καὶ τῆς κατὰ πλάτος ἐποχῆς, ἀλλὰ καὶ διὰ τὸ τὰς διαστάσεις τὰς αὐτὰς πρὸς μὲν τοῖς ὁρίζουσι μείζονας ταῖς ὄψεσι φαίνεσθαι, πρὸς δὲ ταῖς μεσουρανήσεσιν ἐλάσσονας. καὶ διατοῦτο δηλονότι ποτὲ μὲν ὡς μείζονας, ποτὲ δὲ ὡς ἐλάττονας, τοῦ ὑποκειμένου τοῦ ὄντι διαστήματος, καταμετρηθῆναι δύνασθαι. ὅθεν καὶ τὸν Ἵππαρχον ἡγοῦμαι φιλαληθέστατον γενόμενον, διά τε ταῦτα πάντα, καὶ μαλίστα διὰ τὸ μήπω τοσαύτας ἄνωθεν ἀφορμὰς ἀκριβῶν τηρήσεων εἰληφέναι, ὅσας αὐτὸς ἡμῖν παρέσχε, τὰς μὲν τοῦ ἡλίου καὶ τῆς σελήνης ὑποθέσεις, καὶ ζητῆσαι καὶ ὡς ἐνῆν γε ἀποδεῖξαι πάσῃ μηχανῇ δι' ὁμαλῶν καὶ ἐγκυκλίων κινήσεων ἀποτελουμένας, ταῖς δὲ τῶν ε̄ πλανωμένων, διά γε τῶν εἰς ἡμᾶς ἐληλυθότων ὑπομνημάτων, μὴ δὲ τὴν ἀρχὴν ἐπιβαλεῖν, μόνον δὲ τὰς τηρήσεις αὐτῶν ὧν τὸ χρησιμώτερον συντάξαι, καὶ δεῖξαι δι' αὐτῶν ἀνομόλογα τὰ φαινόμενα ταῖς τῶν τότε μαθηματικῶν ὑποθέσεσιν, οὐ γὰρ μόνον ὤετο δεῖν, ὡς ἔοικε δεῖν ἀποφήνασθαι. διότι δι' πλῆν ἕκαστος αὐτῶν ποιεῖται τὴν ἀνωμαλίαν. ἢ ὅτι καθ' ἕκαστον ἄνισοι καὶ τηλικαῦται γίνονται προηγήσεις, τῶν γε ἄλλων μαθηματικῶν, ὡς περὶ μιᾶς καὶ τῆς αὐτῆς ἀνωμαλίας τε καὶ προηγήσεως, τὰς διὰ τῶν γραμμῶν ἀποδείξεις ποιησαμένων. οὐδ' ὅτι ταύτας ἤτοι δι' ἐκκεντρῶν κύκλων ἢ δι' ὁμοκέντρων μὲν τοῦ ζωδιακῷ, ἐπικύκλου δὲ περιφερόντων, ἢ καὶ νὴ διὰ κατὰ τὸ συναμφότερον ἀποτελεῖσθαι συμβέβηκε, τῆς μὲν ζωδιακῆς ἀνωμαλίας οὔσης τηλικαύτης, τῆς δὲ πρὸς τὸν ἥλιον τοσαύτης. τούτοις γὰρ ἐπιβεβλήκασι μὲν σχεδὸν, ὅσοι διὰ τῆς καλουμένης αἰωνίου κανονοποιΐας τὴν ὁμαλὴν καὶ ἐγκύκλιον κίνησιν ἠθέλησαν ἐν δείξασθαι. διεψευσμένως δ' ἅμα καὶ ἀναποδείκτως, οἱ μὴ μηδόλως, οἱ δ' ὠθῇ ποσὸν ἀκολουθήσαντες τῷ προκειμένῳ. ἐλογίσατο δὲ ὅτι τοῦ μέχρι τοσαύτης ἀκριβείας τε καὶ φιλαληθείας προελθόντι δι' ὅλων τῶν μαθημάτων, οὐκ ἀπαρκέσει μέχρι τῶν τοσούτων στῆναι, καθαπερ τοῖς ἄλλοις οὐ διήνεγκεν, ἀλλ' ἀναγκαῖον ἂν εἴη τῷ μέλλοντι πείσειν ἑαυτόν τε καὶ τοὺς ἐντευξομένους, ἑκατέρας τε τῶν ἀνωμαλιῶν τῆς πηλικότητα καὶ τὰς περιόδους διὰ φαινομένων ἐναργῶν καὶ ὁμολογουμένων ἀποδεῖξαι. καὶ μίξαντι πάλιν ἀμφοτέρας τήν τε θέσιν καὶ τὴν τάξιν τῶν κύκλων, δι' ὧν αὗται γίνονται, καὶ τὸν τρόπον τῆς κινήσεως αὐτῶν ἀνευρεῖν, σχεδόν τε πάντα λοιπὸν ἐφαρμόσαι τὰ φαινόμενα τῇ τῆς ὑποθέσεως τῶν κύκλων ἰδιοτροπίᾳ. οὗτο δ' οἶμαι καὶ αὐτῷ δύσκολον κατεφαίνετο. ταῦτα δ' εἴπομεν οὐκ ἐν δείξεως ἕνεκεν, ἀλλ' ὅπως ἐὰν ὑπ' αὐτοῦ τοῦ πράγματος ἀναγκαζώμεθά που ἤτοι καταχρήσασθαί τινι παρὰ τὸν λόγον, ὡς ὅταν φέρ' εἰπεῖν ὡς ὠθῇ ψιλῶν τῶν ἐν ταῖς σφαίρας αὐτῶν γραφομένων ὑπὸ τῆς κινήσεως κύκλων, καὶ ὡς κατὰ τὸ αὐτὸ ἐπίπεδον ὄντων τοῦ διὰ μέσων τῶν ζωδίων. διὰ τὸ εὐπαρακολούθητον τὰς ἀποδείξεις ποιώμεθα, ἢ ὑποτίθεσθαί τινα πρῶτα μὴ ἀπὸ φαινομένης ἀρχῆς, ἀλλὰ κατὰ τὴν συνεχῆ διάπειραν καὶ ἐφαρμογὴν εἰληφότα τῆς κατάληψιν, ἢ μὴ ὧν πάντων τὸν αὐτὸν καὶ ἀπαράλλακτον τρόπον τῆς κινήσεως ἢ τῆς ἐγκλίσεως τῶν κύκλων ὑποτίθεσθαι συγχωροῦμεν, εἰδότες ὅτι οὔτε τὸ καταχρήσασθαί τινι τῶν τοιούτων, ἐφ' ὅσον οὐδεμία παρατοῦτο μέλλει παρακολουθεῖν ἀξιόλογος διαφορὰ, βλάψει τί τὸ προκείμενον, οὔτε τὰ ἀναποδείκτως ὑποτιθέμενα, ἐὰν ἅπαξ σύμφωνα τοῖς φαινομένοις καταλαμβάνηται, χωρὶς ὁδοῦ τινος καὶ ἐπιστάσεως εὑρῆσθαι δύνηται, κἂν δυσέκθετος ᾖ ὁ τρόπος αὐτῶν τῆς καταλήψεως. ἐπειδὴ καὶ καθόλου τῶν

πρώ-

πρώτων ἀρχῶν, ἢ οὐδὲν, ἢ διυσερμήνυτον φύσει τὸ αἴτιον, οὔτε τὸ διενεγκεῖν τὸν τρόπον τῆς ὑποθέσεως τῶν κύκλων, θαυμαστὸν ἂν καὶ ἄλογον εἰκότως τις ἡγοῖτο, καὶ τῶν περὶ αὐτοὺς οὐκ ἀστέρας φαινομένων ἀνομοίων καταλαμβανομένων, ὅταν γε μετὰ τῶν κατὰ πάντων ἁπλῶς τὴν ὁμαλῆ καὶ ἐγκύκλιον κίνησιν διασώζειν, τῶν φαινομένων ἑκάστου τῆς τὸν ἐνειλούτερον καὶ καθολικώτερον τῆς τῶν ὑποθέσεων ὁμοιότητα ἀποδεικνύντων. συγκεχρήμεθα μέντοι τῶν τηρήσεων πρὸς τὰς καθ' ἕκαστον ἀποδείξεις, ταῖς ἀδιαπτώτοις ἐν μάλιστα διαμαρτύραις, τοιαύταις τε τῆς κόλλησιν, ἢ μέγαν συντεχνισμὸν ἀστέρων, ἢ καὶ τῆς σελήνης παρατετηρημέναις, καὶ μάλιστα ταῖς διὰ τῶν ἀστρολάβων ὀργάνων κατειλημμέναις, ὅτι θαυμαστῆς ὡσπερ τῆς ὄψεως διὰ τῶν ἐν τοῖς κύκλοις διαμέτρων ὀπῶν, καὶ τάττ' ἴσα διαστήματα παντάχοσι δι' ὁμοίων πυρίφερῶν ὁρώσης, καὶ τὰς πρὸς τὸν διὰ μέσων ἑκάστου παρόδους κατά τε μῆκος καὶ πλάτος ἀκριβῶς κατανοεῖν διαμαρτῆς, διά τῆς πρὸς τὰ τηρούμενα παραφορᾶς, τοῦ τε κατὰ τὸν ζωδιακὸν ἐν τῇ ἀστρολάβῳ κύκλου, καὶ τῶν κατὰ αὐτὸν διὰ τῶν πόλων αὐτῶν κύκλους διαμέτρων ὀπῶν.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΟΔΙΚΩΝ ΑΠΟΚΑΤΑΣΤΑΣΕΩΝ ΤΩΝ Ε ΠΛΑΝΩΜΕΝΩΝ.

ΤΟΥΤΩΝ οὖν οὕτω προειλημμένων, ἐπισκεψόμεθα πρῶτον τὰς ἐπιλογισμένας ὑπὸ τοῦ Ἱππάρχου περιόδους τῶν ἐλαχίστας ἑκάστου τῶν Ε πλανωμένων ἐγγίσασας ποτὲ ἀποκαταστάσεις, διορθώσει μὴ ὑφ' ἡμῶν τετευχυίας, ἐπὶ μετὰ τὰς τῶν ἀνωμαλιῶν ἀποδείξεις, ἀναφανείσης τῶν ἐποχῶν συγκρίσεως, ὡς ἐκεῖ δῆλον ποιήσομεν, προτασσομένας δ' ἡμῖν, ὧν ἕκαστον τῶν πρὸς τὰς ὑπολογισμὰς προχείρως ἐκκείμενα ἔχειν, τὰ μὴ μέρος ἑκάστου συνήματα μέσα μήκους τε καὶ ἀνωμαλίας. οὐδενὸς γὰρ ταῦθα διοίσοντος ἀξιολόγως, καὶ ὁλοχερέστερόν τις ταῖς μέσαις παρόδοις συγχρήσηται. ἀκουέτω δὲ καθόλου μήκους μὲν συνήματος τοῦ τε ἡλίου καὶ τοῦ ἐπικύκλου περὶ τὸ ἔκκεντρον, ἀνωμαλίαν δὲ τοῦ τε ἀστέρος περὶ τὸ ἐπίκυκλον. τὰς μὲν οὖν τοῦ μὲν ἡλίου ἀνωμαλίας, εὑρίσκομεν ἀπαρτιζομένας ἐν ἔτεσι μὲν ἡλιακοῖς τοῖς καθ' ἡμᾶς, τοῦτέστι τοῖς ἀπὸ προπῶν ἐσημειωμένοις τοῖς τὰς αὐτὰς, νθ, καὶ ἔτι ἡμέρας α κγ ς' καὶ λεπτὰ ἐγγίσας, πυρίσφοραῖς ὁ τοῦ ἀστέρος β καὶ μοίρας α κγ β κγ κ. ἐπεὶ δὲ καὶ τῶν ἀεὶ πυρὶ καταλαμβανομένων ὑπὸ τοῦ ἡλίου τ ἀστέρων, ποσάτους ἀεὶ κύκλους ὁ ἥλιος διαπορεύεται, ἐν τῷ ἀποκατασικῷ καθ' ἕκαστον χρόνῳ, ὅσαι εἰσὶν ἄρα αὖ τε κατὰ τὸν μῆκος πυρίφοραὶ τοῦ ἀστέρος, καὶ αἱ κατὰ ἀνωμαλίας ἀποκαταστάσεις σωτευθεῖσαι. τὰς ὑπὲρ τοὺς δύο ἀνωμαλίας, εὑρίσκομεν ἀπαρτιζομένας ἐν ἔτεσι μὲν ἡλιακοῖς τοῖς ὁμοίως λαμβανομένοις ὁ αλέ πουσιν ἡμέρας δ καὶ ς' καὶ ι' καὶ ιε' ἐγγίσας, πυρίσφοραῖς δὲ τοῦ ἀστέρος τῶν ἀπὸ προπῶν ὧν τὰς αὐτὰς προπὰς ε, λειπούσας μοίρας δ ς ι. τὰς δὲ κατὰ τοῦ κοῦ ἄρεως ἀνωμαλίας, ἐν ἔτεσι μὲν ἡλιακοῖς τοῖς καθ' ἡμᾶς ο θ, καὶ ἡμέρας ι καὶ ς' καὶ κ' ἐγγίσας, πυρίσφοραῖς δὲ τοῦ ἀστέρος, ταῖς ἀπὸ προπῶν ὧν τὰς αὐτὰς προπὰς μβ, καὶ μοίρας ι καὶ ς'. τὰς δὲ τοῦ τῆς ἀφροδίτης ε ἀνωμαλίας, ἐν ἔτεσι μὲν ἡλιακοῖς τοῖς καθ' ἡμᾶς υ, λείπουσιν ἡμέρας β καὶ δ' καὶ κ' ἐγγίσας, πυρίσφοραῖς δὲ τοῦ ἀστέρος, ταῖς ἰσαρίθμοις τοῦ ἡλίου υ, λειπούσας μοίρας β δ'. τὰς δὲ τοῦ τοῦ ἑρμοῦ ρμε ἀνωμαλίας, ἐν ἔτεσι μὲν τοῖς αὐτοῖς μς, καὶ ἡμέρα α καὶ λ ἐγγίσας, πυρίσφοραῖς δὲ ταῖς ἰσαρίθμοις τοῦ ἡλίου πάλιν μς, καὶ μοίρας α. ἀλλ' ἐὰν ἀναλύσωμεν ἐφ' ἑκάστου μὲν τῆς ἀποκαταστάσεως χρόνον εἰς ἡμέρας ἀκολούθως τῷ ὑφ' ἡμῶν ἀποδεδειγμένῳ γνωμονίῳ χρόνῳ, τὸ δὲ πλῆθος τῶν ἀνωμαλιῶν εἰς τὰς καθ' ἕνα κύκλον μοίρας τξ, ἕξομεν ὧν μὲν τοῦ τοῦ ἡλίου, ἡμέρας μβ αφναιή, καὶ μοίρας ἀνωμαλίας, μβ φκ. ὧν δὲ τοῦ τοῦ Διός, ἡμέρας μὲν μβ ε ϡκζ, λζ, μοίρας δὲ ἀνωμαλίας μβ ζυ, ὧν δὲ τοῦ κοῦ ἄρεως, ἡμέρας μὲν μβ ηωνζ νγ, μοίρας δὲ ἀνωμαλίας, ͵βτπ. ὧν δὲ τοῦ τῆς ἀφροδίτης, ἡμέρας μὲν βϡιθμ, μοίρας δὲ ἀνωμαλίας αω. ὧν δὲ τοῦ ἑρμοῦ, ἡμέρας μὲν, ͵βϡωβ κδ, μοίρας δὲ ἀνωμαλίας ͵βσ. ἐπιμεισάντων οὖν καθ' ἕκαστον οἰκείως τὸ πλῆθος τῶν περὶ ἀνωμαλίας μοιρῶν εἰς τὸ πλῆθος τῶν ἡμερῶν, ἕξομεν ἀνωμαλίας ἡμερήσιον κίνημα, ἑρόνου μὲν μοιρῶν ὁ νζ, ρ μ μα μγ μ ἐγγίσα. ζιῶος δὲ μοιρῶν ὁ νδ ἕ βμς κς ὁ. ἄρεως, δὲ μοιρῶν ὁ κζ μα μ ιθ κ νυ. ἀφροδίτης δὲ μοιρῶν ὁ λς νθ κε νγ ια κυ. ἑρμοῦ δὲ μοιρῶν ὁ τ ς κδ ς νθ λε ν. τούτων δὲ καθ' ἕκαστον λαβόντων τὸ κδ, ἕξομεν ὡσαύτως ἀνωμαλίας μέσον κίνημα. ἑρόνου μὲν, μοιρῶν ὁ β κβ μθ ιθ ιδ ιθ ι. ζιῶος δὲ μοιρῶν ὁ β ιε κβ λς νς ε. ἄρεως δὲ μοιρῶν ὁ α ἕ ιδ ι μ, κβ κε. ἀφροδίτης δὲ μοιρῶν ὁ α λβ κυ λδ μβ νυ μ. ἑρμοῦ δὲ μοιρῶν ὁ ζ μς ὁ ιζ, κυ νθ λε.

γὰρ συγχωρήσομεν αὐτοῖς τὸ παρὰ φύσιν οὕτως, τὰ μὲν λεπτομερέστατα καὶ κουφότατα, οἷον ὡς τὸ αἰθέριον σῶμα καὶ τὰ ἐν αὐτῷ ἄστρα, ἢ μηδόλως κινεῖσθαι, ἢ ἀδιαφόρως τοῖς γηΐνοις καὶ βαρέσιν, ἐναντίας αὐτοῖς φύσεως τυγχάνουσιν, ἐναργῶς καταδήλου ὄντος τοῦ τὰ περὶ τὸν ἀέρα καὶ ἧττον λεπτομερῆ τάχιον κινεῖσθαι τῶν παχυμερῶν καὶ γεωδῶν. τὰ δὲ παχυμερέστατα καὶ βαρύτατα, κίνησιν οὕτως ὀξεῖαν καὶ τεταγμένην ποιεῖσθαι, τῶν βαρέων καὶ γεωδῶν πάλιν μὴ δὲ πρὸς τὸ ὑπ' ἄλλων κινεῖσθαι ἐνίοτε ἐπιτηδείως ἐχόντων, εἴτε ὑπὸ τροχηλῶν, εἴτε ὑπὸ πολυσπαίστων, εἴτε ὑπὸ μοχλικῶν αὐτῶν κινουμένων, ἢ ὑπὸ βίας πλήθους ἀνδρῶν πρὸς ταχεῖαν καὶ ὁμαλὴν κίνησιν. ἀλλ' οὖν γεδοίημεν ἂν τὴν σύμπασαν γῆν ὁμαλὴν καὶ ὀξυτάτην ποιεῖσθαι κίνησιν ἁπάντων τῶν περὶ αὐτὴν, εἴτε ζώων ἢ βαλλομένων, ἢ ἱπταμένων ἢ καὶ διαττόντων ἀστέρων, καὶ τῶν λοιπῶν φαινομένων κινήσεων, ὡς ἂν ἐν ἑνὶ νυχθημέρῳ χρόνῳ τῇ ἀποκατάστασιν ποιουμένην, συνέβαινεν ἂν πάντα τὰ μὴ βεβηκότα ἐπ' αὐτῆς ἀλλ' ἐν τῷ ἀέρι κινούμενα, εἴτε ὄρνεα εἴτε νέφη, εἴτε βολαὶ, εἴτε καὶ διάττοντες ἀστέρες εἰς τὰ πρὸς δυσμὰς, καὶ ὑπολειπόμενα μέρη φαίνεσθαι ποιούμενα τὴν παραχώρησιν, καὶ οὕτως οὐκ ἄν ποτε νέφος ἐδείκνυτο παροδεύων πρὸς ἀνατολὰς, ἀλλ' οὐδέ τι τῶν βαλλομένων ἢ ἱπταμένων, φθανούσης πάντοτε τῆς γῆς διὰ τὴν τῆς ὀξύτητος ὑπερβολὴν εἰς τὰ πρὸς ἀνατολὰς καὶ ἑπόμενα μέρη, ἅπερ παντάπασιν ἐναντιοῦται τοῖς φαινομένοις. εἰ δὲ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ὡς ἔφαμεν ὑποθώμεθα κινεῖσθαι ὑπὲρ τὰ ἐναντία, ἵνα τῆς συναμφότερον κινήσεως τῶν τῇ χρόνῳ ἀποστάσιν ποιουμένης, καὶ ἡ τῆς γῆς κίνησις ἐλαττοῖτο, παρακολουθήσει ἤτοι προλαμβάνειν πάλιν τὴν τῆς γῆς κίνησιν εἰς τὰ πρὸς ἀνατολὰς τὰ μὴ βεβηκότα ἐπ' αὐτῆς ἀλλ' ἐν τῷ ἀέρι κινούμενα, ἢ καὶ προλαμβάνεσθαι ὑπ' αὐτῶν. ὅμως εἰ καὶ προλαμβάνοιτο, ἐλάττονα ἐφαίνετο ποιούμενα τὴν πρὸς ἀνατολὰς παραχώρησιν τῆς πρὸς δυσμὰς, διὰ τὸ καὶ ἡμᾶς σὺν τῇ γῇ πρὸς ἀνατολὰς παραχωροῦντας δοκεῖν, καὶ τῆς τοσαύτης κινήσεως αὐτὰ ὑπολείπεσθαι. Εἰ γὰρ καὶ τὸν ἀέρα φήσαιεν αὐτῇ συμπεριάγεσθαι ἰσοταχῶς καὶ ὑπὲρ αὐτὰ τουτέστι πρὸς ἀνατολὰς, ἵνα ὠθῶν τὰ μὴ βεβηκότα ὑπὲρ τῆς γῆς φέρη πρὸς ἀνατολὰς, οὐδὲν ἧττον τὰ κατ' αὐτὸν γινόμενα συγκρίματα, λέγω δὴ τῶν τε κομήτων καὶ διαττόντων καὶ νεφῶν παχυμερέστερα ὄντα τοῦ ἀέρος τέμνοντα αὐτὸν, ὑστερεῖν ἔμελλον τῆς συναμφότερον κινήσεως, ὡς πάλιν πρὸς μὲν τὰς ἀνατολὰς βραδίον αὐτὰ φαίνεσθαι παραχωροῦντα, πρὸς δὲ τὰς δυσμὰς τάχιον. εἰ δέ τις λέγοι καὶ αὐτὰ ὥσπερ γινωμένα τῷ ἀέρι συμπεριάγεσθαι, ἵνα μὴ διὰ τῇ ταχύτητα ὑστερίζῃ, οὐκέτι ἂν οὔτε ἀναχωροῦντα ἀπ' ἀλλήλων ἢ ἕτερον ἑτέρου προηγούμενον ἢ ὑπολειπόμενον, ἢ πρὸς ἀνατολὰς ἢ πρὸς δυσμὰς παραχωροῦντα ἐφαίνετο, μένοντα δὲ ἀεὶ ἰσοταχῶς τῇ γῇ τοῦ ἀέρος περιαγομένου. καὶ μήτε ἐν ταῖς πτήσεσι ποιούμενα ἀπ' ἀλλήλων ἀναχώρησιν, μήτε ἐν ταῖς βολαῖς ἀφανισμόν. ὁρῶμεν δὲ ἐναργῶς οὕτως ἀποτελουμένας ταύτας τὰς κινήσεις, ὡς μήτε βραδυτῆτα ἢ ταχυτῆτα αὐταῖς προσγίνεσθαι ἀπὸ τοῦ τῇ γῆν μὴ ἑστάναι, ἀλλὰ ὁμοίως καὶ πρὸς ἀνατολὰς καὶ πρὸς δυσμὰς καὶ πρὸς ἄρκτους καὶ πρὸς μεσημβρίαν καὶ πρὸς πάντα τὰ μέρη τοῦ οὐρανοῦ αὐτὰς ἀποτελουμένας ὡς ἀκινήτου τῆς γῆς μενούσης. Εἶτα ποιησάμενος τὴν ὑπόμνησιν τῶν καθόλου ὀφειλόντων ὡς ἐν ἀρχῆς λόγῳ τῆς ἀστρονομικῆς θεωρίας προλαμβάνεσθαι, λέγω δὴ τοῦ σφαιροειδῆ τε εἶναι τὸν οὐρανὸν, καὶ σφαιροειδῶς φέρεσθαι, καὶ ἔτι τὴν γῆν σφειροειδῆ τε εἶναι, καὶ τὸν μέσον ἐπέχειν τοῦ παντὸς τόπον, σημείου καὶ κέντρου λόγον ἔχουσαν πρὸς τὸ ἀπόστημα τὸ οὐράνιον, καὶ τῆς ὑπὲρ τὸ μέσον αὐτῆς ἀκινησίας, φησί, Ταύτας μὲν δὴ τὰς ὑποθέσεις ἀναγκαίως προλαμβανομένας εἰς τὰς κατὰ μέρος παραδόσεις, καὶ τὰς ταύταις ἀκολουθούσας, ἐξαρκούσας εὑρίσκομεν. καὶ μέχρι τῶν τοσούτων εἰς τὰς κατὰ μέρος ἀποδείξεις τῶν κινήσεων, ὡς ἐν ὑπογραφῇ αὐτὰς παραλαμβάνοντες, βεβαιωθησομένας γε καὶ ἐπιμαρτηρηθησομένας ἡμῖν ἔτι μᾶλλον ἐκ τῆς δι' αὐτῶν ἀποδεικνυμένης πρὸς τὰ φαινόμενα συμφωνίας.

ὅτι

ὅτι δύο διαφοραὶ τῶν πρώτων κινήσεων εἰσὶν ἐν τῷ οὐρανῷ.



Διεξελθὼν περὶ τῶν εἰρημένων καὶ ἐν ἀρχῇ ἀπαριμηθέντων αὐτῷ κεφαλαίων, καὶ διδάξας ἐκ ποίων ἐννοιῶν καὶ παρατηρήσεων ὡς ἀρχὰς τὰ τοιαῦτα παρείληφεν, ἔτι καὶ περὶ τοῦ τοιούτου κεφαλαίου ἀκόλουθον ἡγεῖται προλαβεῖν τῶν κατὰ μέρος ἀποδείξεων, καὶ δεῖξαι ἐκ ποίων πάλιν ἐννοιῶν καὶ παρατηρήσεων καὶ τοῦτο αὐτῷ ὡς ἐν ἀρχῆς λόγῳ παραλαμβάνετο, καὶ φησί. Πρὸς δὲ τούτοις ἔτι κακεῖνο τῶν καθόλου τις ἂν ἡγήσαιτο δικαίως προλαβεῖν, ὅτι δύο διαφοραὶ τῶν πρώτων κινήσεων εἰσὶν ἐν τῷ οὐρανῷ. Πρώτων δὲ εἶπεν ἐπεὶ καὶ ἕτεραί εἰσιν αἵ τε κατὰ πλάτος καὶ βάθος, μία μὲν ἡ τοῦ ἀνάστρου σφαίρας περιληπτικὴ τῶν πάντων τυγχάνουσα, καὶ φέρουσα τὰ πάντα σὺν αὐτῇ ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς, περὶ τοῦ τοῦ ἰσημερινοῦ πόλους ἀεὶ ὡσαύτως καὶ ἰσοταχῶς ποιουμένη τὴν περιαγωγήν. ἐπεὶ καὶ ἕκαστος τῶν ἀπλανῶν κατὰ παράλληλον κύκλον ὑπὸ ταύτης φερόμενος, τὸν αὐτὸν χρόνον ποιεῖται πρὸς αἴσθησιν ὑπὲρ γῆν. Ὧν μέγιστος κύκλος ὁ ἰσημερινὸς καλεῖται, διὰ τὸ μόνον αὐτὸν τῶν παραλλήλων κύκλων ὑπὸ μεγίστου κύκλου τοῦ ὁρίζοντος δίχα τέμνεσθαι, καὶ τὸν ἥλιον κατὰ τούτου φερόμενον, ἴσην ποιεῖν πρὸς αἴσθησιν τὴν ἡμέραν τῇ νυκτὶ κατὰ πᾶσαν οἴκησιν. τὸ δὲ πρὸς αἴσθησιν διὰ τὴν αὐτοῦ τοῦ ἡλίου ἰδίαν κίνησιν. μέγιστος δὲ ἐστὶν ὁ ὁρίζων, ἐπεὶ διὰ τοῦ γῆς τυγχάνει τουτέστι τοῦ κέντρου τοῦ σφαίρας. Εἰπὼν οὖν περὶ τῆς τοιαύτης ἐναργοῦς πρώτης φορᾶς γινομένης, περὶ τοῦ τοῦ ἰσημερινοῦ πόλους, ἑξῆς καὶ περὶ τοῦ δευτέρας διαλαμβάνει καὶ φησίν. ἡ δὲ δευτέρα καθ' ἣν αἱ τῶν ἀστέρων σφαῖραι λέγω δὴ ἡλίου καὶ σελήνης καὶ τῶν ε̄ πλανωμένων, καὶ ἔτι τῶν ἀπλανῶν κατὰ τὰ ἐναντία τῇ πρώτῃ φορᾷ, ὡς ἀπὸ δύσεως ἐπὶ ἀνατολὰς ἃ καὶ καλεῖ ἑπόμενα, ποιοῦνται τινὰς διαφόρους μετακινήσεις περὶ πόλους ἑτέρους, καὶ ὅτι αὐτοὺς τῇ πρώτῃ φορᾷ, τουτέστι τῇ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς. περὶ ἑτέρους πόλους λέγει κινεῖσθαι ταύτην τὴν δευτέραν φορὰν, ὅτι τινὲς εἰσὶ τοῦ διὰ μέσων τῶν ζωδίων, ἀπέχοντες τῶν τῆς πρώτης φορᾶς, τουτέστι τοῦ ἰσημερινοῦ πόλων, ὡς ἑξῆς δειχθήσεται μοιραῖς κ̄γ νά κ̄, ὡς ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτῶν γραφομένου μεγίστου κύκλου, οἵων ὁ τοιοῦτος κύκλος τ̄ξ, ἥτις καὶ τῆς κλίσεως ἐστὶ τοῦ ζωδιακοῦ πρὸς τὸν ἰσημερινόν. καὶ περὶ τοῦτον τὸν ζωδιακὸν κύκλον ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ε̄ πλανήτες κινοῦνται διαφόρους κινήσεις. καὶ ὁ μὲν ἥλιος κινεῖτο πάντοτε τὸ κέντρον ἔχων ἐπ' αὐτοῦ τοῦ ἐπιπέδου τοῦ διὰ μέσων τῶν ζωδίων νοουμένου κύκλου, ἡ δὲ σελήνη καὶ οἱ ε̄ πλανήτες ἐν ταῖς σφαίραις αὐτῶν κινοῦντο ἐπὶ κύκλων κεκλιμένων πρὸς τὸν διὰ μέσων τῶν ζωδίων. καὶ ὁ μὲν τῆς σελήνης κύκλος κλίσιν ἔχει πρὸς αὐτὸν μοιρῶν ε̄ ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτῶν γραφομένου μεγίστου κύκλου. ὅσην καὶ ποιεῖται μεγίστην παραχώρησιν ἀπὸ τοῦ διὰ μέσων ἐπὶ τὰ βόρεια αὐτοῦ καὶ τὰ νότια. ὁ δὲ τοῦ ἑρμοῦ ὁμοίως μοιρῶν δ̄ λβ, ὁ δὲ τῆς ἀφροδίτης θ̄, ὁ δὲ τοῦ ἄρεως ζ̄ ς, ὁ δὲ τοῦ ζηνὸς β̄ η, ὁ δὲ τοῦ κρόνου γ̄ δ. καὶ ταῦτα δὲ οὕτως ἔχειν ὑποτίθηται, διὰ τὸ ἐκ τῆς καθ' ἑκάστην ἡμέραν ἁπλουστέας παρατηρήσεως, πάντα ἁπαξαπλῶς τὰ ἐν τῷ οὐρανῷ ἄστρα ὁρᾶσθαι κατὰ τῶν ὁμοειδῶν καὶ παραλλήλων τῷ ἰσημερινῷ τόπῳ ποιούμενα τάς τε ἀνατολὰς καὶ τὰς μεσουρανήσεις καὶ τὰς δύσεις. τόπων δὲ εἶπε καὶ οὐχὶ κύκλων, διὰ τὸ τῇ αἰσθήσει τοῦ τόπους καταλαμβάνεσθαι καὶ μὴ τοῦ κύκλους, καὶ ἴδιον εἶναι τῆς κατὰ παραλλήλων φορᾶς τοῦ αὐτοὺς τῶν ἀνατολῶν καὶ μεσουρανήσεων καὶ δύσεων τόπους, τοῦ ἀστέρας φυλάττειν πρὸς αἴσθησιν. ἐκ δὲ τῆς ἐφεξῆς συνεχεστέρας παρατηρήσεως κατελαμβάνετο, ὅτι τὰ μὲν ἄλλα πάντα τῶν ἄστρων τουτέστι τὰ ἀπλανῆ διατηροῦντα φαίνεται, καὶ τὰ πρὸς ἄλληλα διαστήματα δηλαδὴ, καὶ τοῦ σχηματισμοὺς οὓς ἔχουσι πρὸς ἀλλήλους, καὶ τὰ πρὸς τοῦ οἰκείους τῇ πρώτῃ φορᾷ τῇ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς κατὰ παραλλήλων κύκλων φερούσῃ τόπους, ἐπὶ πλεῖστον ἰδιώματα. ἐπὶ πλεῖστον δὲ ἰδιώματα, διὰ τὸ καὶ αὐτοὺς παραλαμβάνεσθαι κατὰ ρ̄ ἔτη κινουμένους μοιρὰν ᾱ, καὶ λοξουμένους πρὸς τὸν ἰσημερινόν. καὶ κατὰ μὲν τὸν ἀκριβέστερον λόγον διατοῦτο ἕλικας γραφόντας, καὶ μὴ κατὰ τῶν αὐτῶν τόπων ὧν καὶ πρότερον ἀνατέλλοντάς τε καὶ μεσουρανοῦντας καὶ δύνοντας. διὰ δὲ τὸ ἀνεπαίσθητον τοῦ κατὰ μίαν ἑκάστην ἡμέραν ἐπιβάλλοντος τῷ μήκει, ἐπὶ πλεῖστον φαίνοντο τὰ ἰδιώματα τοῦ

κατὰ παραλλήλων κύκλων φέρεσθαι φυλάττοντες, τουτέστι τὸ κατὰ τῶν αὐτῶν τόπων ἀνατέλλειν τε καὶ μεσουρανεῖν καὶ δύνειν. Τὸν δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς πλανωμένους ἀστέρας μεταβάσεις τινὰς ποιεῖσθαι, ποικίλας μὲν καὶ ἀνίσους ἀλλήλας, πάσας δὲ ὡς πρὸς τῆς καθόλου κίνησιν, κατὰ ἑξῆς. Ὁ γὰρ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ πλάνητες κινοῦνται ἐν ταῖς ἰδίαις κατὰ σφαιραῖς μῆκος ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς παραχωροῦντες, σιωπωμένων τανῦν τῶν κατὰ βάθος καὶ πλάτος, καὶ ἔτι τῶν σημειγμῶν καὶ προποδισμῶν τῶν ε̄ πλανωμένων. διὰ τὸ καὶ περὶ τῶν δύο πρώτων κινήσεων προκεῖσθαι αὐτῷ ποιεῖσθαι τὸν λόγον. ὑπολειπόμενοι τῶν ἀπλανῶν ἀστέρων καὶ μὴ συντηροῦντες τὰ πρὸς ἄλληλα διαστήματα, ἀλλ' ἄλλοτ' ἄλλοις συνοδεύοντες. καὶ ὁ μὲν ἥλιος κινεῖται ἑκάστης ἡμέρας κατὰ μῆκος μοιρ. ᾱ ἔγγιστα, ἡ δὲ σελήνη ιγ̄, ὁ δὲ κρόνος ο̄ β̄, ὁ δὲ ζεῦς ο̄ ε̄, ὁ δὲ ἄρης ο̄ λά, ἡ δὲ ἀφροδίτη καὶ ὁ ἑρμῆς μοιρ. ᾱ ἔγγιστα. κινοῦνται δὲ καὶ κατὰ πλάτος καὶ βάθος ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται, εἰς τὰ πρὸς ἀνατολὰς ὡς ἔφαμεν τῶν ἀπλανῶν ὑπολειπόμενοι, τῶν καὶ συντηρούντων τὰ πρὸς ἄλληλα διαστήματα. τὸ δὲ ὡς ὑπὸ μιᾶς σφαίρας περιειλημμένων τῶν ἄστρων, πάλιν τῶν ἀπλανῶν λέγει, ἐπειδήπερ ὡς ἐδείκνυμεν ἐν τοῖς ἔμπροσθεν, ἐκ τῆς ἀντιπεριαγωγῆς τῶν δύο ὑπεναντίων κινήσεων, πάντες μὲν οἱ ἀστέρες ἕλικας γραφουσιν, οὗτοι δὲ διὰ τὴν βραχύτητα τῆς πρὸς ἀνατολὰς μεταβάσεως, ὑπὸ πλεῖστον κατὰ παραλλήλων κύκλων ὑπὸ τῆς πρώτης φορᾶς γραφομένων πρὸς αἴσθησιν φαίνονται φερόμενοι, ὅπερ μόνη ποιεῖται ἡ τῆς μιᾶς καὶ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους φερομένης σφαίρας. Εἰ μὴ οὖν καὶ ἡ τοιαύτη μετάβασις τῶν πλανωμένων ὑπὸ τὰς πρὸς ἀνατολὰς μεταβάσεις κατὰ παραλλήλων κύκλων τοῦ ἰσημερινοῦ καταλαμβάνετο γινομένη, ὑπόνοιαν ἂν παρέσχον νομίζεσθαι καὶ τὴν τῶν σφαιρῶν αὐτῶν μετάβασιν περὶ τοὺς πόλους τοῦ ἰσημερινοῦ ἀποτελεῖσθαι. καὶ πιθανὸν ἦν, μίαν ἡγεῖσθαι πάντων φορὰν τῆς ἀπ' ἀνατολῶν ὑπὸ δυσμὰς. ἔχει γάρ τινα λόγον τὸ τὰς γινομένας αὐτῶν ἀπὸ τῶν ἀπλανῶν πρὸς τὰς ἀνατολὰς ποικίλας παραχωρίσεις, καθ' ὑστερήσεις διαφόρους ἐγγίνεσθαι, καὶ μὴ κατὰ τὴν ἐναντίαν τῇ πρώτῃ φορᾷ κίνησιν, ὡς ὑπολαμβάνειν ἡμᾶς τὸν μὲν ἥλιον ἑκάστης ἡμέρας εἰς τὰ προηγούμενα κινεῖσθαι, τουτέστιν ἀπὸ ἀνατολῶν ὑπὸ δυσμὰς μοιρὰς τν̄θ ἔγγιστα, τὴν δὲ τοῦ παντὸς φορὰν, μοιρὰς τξ̄. ἵνα ἐν τοσούτῳ ἀπὸ ἀνατολῆς ὑπὸ ἀνατολὴν παραγινόμενος ὁ ἥλιος διατοῦτο ὑστερίζῃ τῶν ἀπλανῶν μοιρ. ᾱ. καὶ τὴν σελήνην ὁμοίως κινεῖσθαι μοιρὰς τμ̄ζ, τὴν δὲ τοῦ παντὸς μοιρὰς τξ̄, καὶ ὑστερίζειν ἐντεῦθεν τὴν σελήνην τῶν ἀπλανῶν μοιρὰς ιγ̄. ὁμοίως δὲ καὶ ὑπὸ τῶν ε̄ πλανωμένων, καὶ οὕτως ἂν ἐδόκει ἡ κίνησις αὐτῶν σύμφωνος γίνεσθαι τοῖς φαινομένοις. ἔσωσαν γὰρ λόγου ἕνεκεν ἀπὸ ἀνατολῶν ὑπὸ τῆς ἀρχῆς τοῦ κριοῦ κινούμενοι, ὅτε ἥλιος καὶ ἡ σελήνη τὰς εἰρημένας μοιρὰς ὑπὸ τοῦ διὰ μέσων τῶν ζωδίων ἡλιακοῦ κύκλου, καὶ ἔτι καθ' ἑαυτὴν ἡ τοῦ παντὸς φορά. ὁ οὖν ἥλιος κινηθεὶς τὰς τν̄θ μοιρὰς, εὑρεθήσετε εἰς τὴν ἑξῆς ἡμέραν, ἀνατέλλων κατὰ τῆς πρώτης μοιρὰς τοῦ κριοῦ, καὶ ἑξῆς κατὰ τῆς δευτέρας, καὶ ὁμοίως κατὰ τῆς τρίτης ἀκολούθως τοῖς φαινομένοις. ὡσαύτως δὲ καὶ οἱ πλάνητες εἰ περὶ τοὺς πόλους τῆς πρώτης φορᾶς, καὶ ὑπὸ τὰ αὐτὰ μέρη τὴν μετάβασιν ἐποιοῦντο καθυστερήσεις διαφόρους εἰς τὰ πρὸς ἀνατολὰς μέρη ποιοῦντες, εἰκὸς ἦν κατὰ παραλλήλων αὐτοὺς φερομένους τοῦ ἰσημερινῷ, ἢ καὶ τοῖς ἀπλάνεσι τὰς ὑστερήσεις ποιεῖσθαι. ἐπεὶ καὶ περὶ τοὺς αὐτοὺς πόλους ἐφέροντο, νῦν δὲ ἅμα τῆς πρὸς ἀνατολὰς μεταβάσεσι παραχωροῦντες φαίνονται τοῦ κατὰ παραλλήλων κύκλων φέρεσθαι πρὸς ἄρκτους καὶ μεσημβρίαν αἰσθητῇ τινὶ παραχωρήσει, καὶ ταύτῃ μήτε ὁμαλῆ μήτε τεταγμένῃ. ὥστε δόξαι τισὶ δι' ἐζωθήσεων τινῶν τοῦτο τὸ σύμπτωμα γίνεσθαι περὶ αὐτούς. διὸ φησὶν ἀλλ' ἀνωμάλου μὲν ὡς πρὸς τῆς τοιαύτην ὑπόνοιαν, τεταγμένης δὲ. ἡ γὰρ ἐζώθησις ὑπὸ βίας τινὸς ἀλόγου γινομένη, ἄτακτον ἐποίει καὶ τὴν τοιαύτην παραχώρησιν. τεταγμένη δὲ φησιν ὡς ὑπὸ λοξοῦ κύκλου πρὸς τὸν ἰσημερινὸν ἀποτελουμένης. ἐπεὶ καὶ ἴδιον τῶν τοῦ λοξοῦ κύκλου τμημάτων, μὴ ἀναλόγους ποιεῖσθαι τὰς ἀπὸ τοῦ ἰσημερινοῦ ἀποστάσεις, ἀλλὰ μείζονας τὰς πλησιέστερον τῆς κοινῆς αὐτῶν τομῆς, ἐλάσσονας δὲ τὰς ἀπώτερον, ἀνωμάλῳ τινὶ διαφορᾷ, ὡς ἑξῆς ἐν τούτῳ τοῦ βιβλίῳ δείξομεν περὶ τῆς λοξώσεως τοῦ ἡλίου διαλαμβάνοντες. διὸ καὶ πάντοτε πρὸς τοῖς ἰσημερινοῖς μείζονα τὴν κατὰ μέρος τοῦ ἡλίου παραχώρησιν εὑρίσκομεν γινομένην ἀπὸ τοῦ ἰσημερινοῦ, ἐάν τε πρὸς ἄρκτους ἐάν τε πρὸς μεσημβρίαν αὐτοῦ παραχωρῇ. ἐλάσσονα δὲ τῆς πρὸς τοῖς τροπικοῖς. ἕκαστον μέντοι τμῆμα τοῦ λοξοῦ καὶ διὰ μέσων τῶν ζωδίων κύκλου τὴν οἰκείαν ἔχει ἀπὸ τοῦ ἰσημερινοῦ παραχώρησιν. ἐπεὶ καὶ τὴν κλίσιν πάντοτε τῆς αὐτὴν μένουσαν φυλάττουσιν. ὅθεν καὶ ὁ τοιοῦτος κύκλος εἷς τε καὶ ὁ αὐτὸς καὶ τῶν πλανωμένων ἴδιος καταλαμβάνετε. διὸ καὶ ἑκάστη τῶν

ζ σφαι

ζ σφαιρῶν ἡλίου ☾ σελήνης ἡ τῶν ε̄ πλανομένων φ᾽ ὧν ὁρᾷ ἐπιπέδῳ αὐτὸ ὁμόκεντρον αὐτῷ παραλαμβάνομεν, ἀκριβούμενον μὲν ☾ ὥσπερ γραφόμενον ὑπὸ τῆς ἡλίου κινήσεως. τὸ μὲν οὖν ἀκριβούμενον διὰ τὸ, τὸ λοξότερον τ᾽ ἡλίου ἢ τοῦ ἐπιπέδου φέρεσθαι, τ᾽ διὰ μέσων τῶν ζῳδίων, τὸ δὲ ὥσπερ γραφόμενον, ἐπεὶ ὁ μὴ ζωδιακὸς φ᾽ ἧς τῶν ἀπλανῶν σφαῖρα νοεῖται, ἡ δὲ τοῦ ἡλίου σφαῖρα, πορρωτέρω. ☾ κινούμενον ὁ ἥλιος ὑπὸ ταύτης, γράφει κύκλον φ᾽ ὁρᾷ αὐτῷ ἐπιπέδῳ ὡς ἔφαμεν ὁρᾶσθαι διὰ μέσων, φαινόμενος ἡμῖν ὥσπερ φ᾽ αὐτῆς τῆς τῶν ἀπλανῶν σφαίρας τυγχάνων, ☾ αὐτὸν τὸν λοξὸν καὶ διὰ μέσων τῶν ζῳδίων γράφων, πορρωτέρω δυάμενον ἢ ☾ ὑπὸ τῆς σελήνης ἡ τῶν ε̄ πλανομένων. πάντοτε γὰρ πρὸς αὐτὸν ἀναφέρονται, βορειότεροι ☾ νοτιώτεροι ἡ κατ᾽ αὐτὸν γινόμενοι, ἀφίσαντες ἢ αὐτοῦ πρὸς βορρᾶν ☾ νότον, ἡ οὐδὲ τὸ τυχὸν παρεκπίπτουσι φ᾽ ἑκατέρου μεγίστης ἢ πλάτος παραχωρήσεως. ὥσπερ ☾ ὁ ἥλιος οὐδέποτε παρεκπίπτων καταλαμβάνει τῶν προπικῶν. αὕτη γὰρ ☾ τούτου ὅση ἡ μεγίστη ἢ πλάτος ἀπὸ τοῦ ἰσημερινοῦ παραχώρησις. ἔτι δὲ ☾ μέγιστος ὁ αὐτὸς κύκλος θεωρεῖται, διὰ τὸ ὑφ᾽ ἴσῳ βορειότερος ☾ νοτιώτερον τοῦ ἰσημερινοῦ γίνεσθαι τὸν ἥλιον. λέγω δὲ ὅτι ἐὰν ἀσὴρ ἢ κύκλου τινὸς φερόμενον ὑφ᾽ ἴσῳ βορειότερος ☾ νοτιώτερος μεγίστου τινὸς κύκλου γίνεται, ☾ αὐτὸς καθ᾽ οὗ φέρεται ὁ ἀσὴρ, μέγιστος ὅλων. Ἔστω γὰρ ὁ ἰσημερινὸς ☾ μέγιστος κύκλος ὁ αβγδ, ὁ δὲ λοξὸς ἡ διὰ μέσων τῶν ζῳδίων καθ᾽ οὗ ὁ ἥλιος φέρεται, ὁ εζ, ὑφ᾽ ἴσῳ βορειότερον ἢ νοτιώτερος τυγχάνων τοῦ αβγδ ἰσημερινοῦ ὢν τ᾽ διὰ τῶν πόλων αὐτῶν. ☾ ἔστω ὁ διὰ τῶν πόλων αὐτῶν, ὁ βεδζ. ἔστω δὲ βόρεια μὲν τὰ πρὸς ὑφ᾽ ζ, νότια δὲ τὰ πρὸς τῷ ε̄. ἡ βορειοτάτου γινόμενος ὁ ἥλιος ἢ ☾ ὁ ἀσὴρ ἔστω ἢ τὸ ζ, νοτιώτατος δὲ ἢ τὸ ε̄, ἴση δὲ ἔστω ἡ ζδ τῇ εβ, λέγω ὅτι μέγιστος ὅλων ὁ αεζ ζωδιακός. ἐπεὶ γὰρ ἴση ὅλη ἡ βε τῇ δζ, κοινὴ δὲ ἡ εδ, ὅλη ἄρα ἡ βεδ ὅλῃ τῇ εδζ ὅλῃ ἴση. ἡμικύκλιον δὲ μεγίστου κύκλου ἡ βεδ, ἡμικύκλιον ἄρα τ᾽ αὐτοῦ κύκλου ☾ ἡ εδζ. ☾ ἐπεὶ ὁ αεζ ζωδιακὸς κύκλος τ᾽ βεδζ λύκλου μέγιστον ὄντα διχὰ τέμνει, ἢ αὐτὸς μέγιστος ὅλων. διέρχεται γὰρ διὰ τῶν τοῦ Θεοδοσίου σφαιρικῶν, ἢ πρὸς ὀρθὰς ἀεὶ πάντοτε ὡς ἔφαμεν ἐν τῶν πλανομένων εἰς τὰ ἑπόμενα μεταβάσεις ἀποτελοῦσι. Δευτέραν ταύτην διαφορὰν φ᾽ καθόλου κινήσεως ἀναγκαῖον ὑποτίθεσθαι. Ὑπομνήσεως ἐποίων γνωρίμων ☾ παρατηρήσεων καταλαμβάνονται οἱ ἀστέρες οὐχὶ πρὸς τοὺς αὐτοὺς πόλους τ᾽ ἰσημερινοῦ, πρὸς οὓς ☾ ἡ πρώτη φορὰ ἀποτελεῖ ἡ ἀφ᾽ ἀνατολῶν διὰ δυσμῶν, τ᾽ εἰρμὸν εἰς τὰ πρὸς ἀνατολὰς ἢ ἑπόμενα μετάθεσιν ποιούμενοι, διὰ τὸ ὑπολειπομένους αὐτοὺς ὁρᾶσθαι ☾ βορειοτέρους ☾ νοτιωτέρους τοῦ ἰσημερινοῦ γινομένους, φησὶ δευτέραν ταύτην διαφορὰν φ᾽ καθόλου πρώτης κινήσεως ἀναγκαῖον εἶναι ὑποτίθεσθαι, τὸν πρὸς πόλους τοῦ διὰ μέσων τῶν ζῳδίων ☾ λοξοῦ πρὸς τὸν ἰσημερινὸν ἀποτελουμένην. ἐπεὶ πρὸς τὸν τοιοῦτον κύκλον τὰς κινήσεις ποιούμενοι καταλαμβάνοντ᾽. εἰ δέ τις φαίη ☾ πρὸς τούτους οὖν πρὸς οὗ

τολὰς ἔχον τὴν πάροδον, ἐαρινὸν καλείσθω. οὗτος δὲ ἐστὶ ὁ κατὰ τὴν ἀρχὴν τοῦ κριοῦ λαμβανόμενον. ὁ δὲ ἐναντίον τουτέστι κατὰ διαμετρον ἤτοι ἀπ' ἄρκτων ὑπὸ μεσημβρίαν ἔχον τὴν τοῦ ἡλίου πάροδον, μετοπωρινόν. ἔστι δὲ καὶ τοῦτο κατὰ τῆς ἀρχῆς τῶν ἰχθύων, τὰ δὲ λοιπὰ β τὰ γινόμενα ὑπὸ τοῦ δι' ἀμφοτέρων τῶν πόλων καὶ τοῦ ζωδιακοῦ, καλείσθω τροπικὰ, καὶ αὐτὰ πάλιν κατὰ διαμετρον ἀλλήλων, ὧν ὁ μὲν ἀπὸ μεσημβρίας τοῦ ἰσημερινοῦ χειμερινὸν λέγεται, ὃ ἐστι κατὰ τῆς ἀρχῆς τοῦ παρθένου, ὁ δὲ ἀπ' ἄρκτων, θερινὸν, ὅπερ πάλιν ἐστὶ κατὰ τῆς ἀρχῆς τοῦ καρκίνου. * Ἵνα δὲ καὶ διὰ τῶν γραμμῶν φανερὰ ἡμῖν γένηται ἡ ὑπὸ τῶν τοιούτων παρόδων τῶν εἰρημένων σημείων ὀνομασία, ἔστω ἰσημερινὸς μὲν κύκλος ὁ αβγδ, ζωδιακὸς δὲ ὁ αεγζ, διὰ δὲ τῶν πόλων αὐτῶν γεγραφθω μέγιστος κύκλος ὁ βεδζ. καὶ ἔστω ἀρκτῶα μὲν τὰ πρὸς τοῦ ζ. μεσημβρινὰ δὲ τὰ πρὸς τοῦ ε, ἀνατολικὰ δὲ, τὰ πρὸς τοῦ γ. ὥστε τὰ ἀπὸ τοῦ α, ὡς ὑπὸ τὸ ε καὶ τὸ γ ἑπόμενα τυγχάνειν. ἔσται δὲ ὑπὸ τοῦ ζωδιακοῦ σημεῖα τομῶν δ, τὰ α ε γ ζ, ὧν β μὲν τὰ ὑπὸ τοῦ αβγδ ἰσημερινοῦ καὶ τοῦ αεγζ ζωδιακοῦ κατὰ διαμετρον ἀλλήλοις τὰ α γ, καλούμενα δὲ ἰσημερινὰ. καὶ τὸ μὲν ἀπὸ τοῦ ε ὡς ἀπὸ μεσημβρίας ἤτοι ἀπὸ νοτιωτέρων ὑπὸ τὰ πρὸς ἄρκτους εἰς τὰ ἑπόμενα ἔχον τὴν παρόδον, ἐαρινὸν καλείσθω οἱονεὶ τὸ γ, τὸ δὲ ἐναντίον τουτέστι ὁ κατὰ διαμετρον ἤτοι ἀπ' ἄρκτων ὑπὸ μεσημβρίαν, ὅ ἐστιν ἀπὸ τοῦ ζ, ὡς ὑπὸ τὰ ἑπόμενα. πάλιν μετοπωρινὸν, τουτέστι ὁ α, β δὲ τὰ γινόμενα ὑπὸ τοῦ αεγζ ζωδιακοῦ, καὶ τοῦ βεδζ διὰ τῶν πόλων, καὶ αὐτὰ κατὰ διαμετρον ἀλλήλοις, καλούμενα δὲ τροπικὰ, ὧν ὁ μὲν ἀπὸ μεσημβρίας τοῦ ἰσημερινοῦ οἱονεὶ τὸ ε, χειμερινὸν καλείσθω, ὁ δὲ ἀπ' ἄρκτων κατὰ διαμετρον τουτέστι ὁ ζ, θερινὸν.

ὅπισθεν ζητεῖ ὁ σχῆμα.

Νοηθήσετο δὲ ἡ μὲν μία καὶ πρώτη φορὰ τῆς ἀναστρου καὶ περιεχούσης τὰ παντα σφαίρας, κατακρατοῦσα καὶ συμπεριαγουσα τὰς τῶν ἄστρων σφαίρας ἀπὸ ἀνατολῶν ὑπὸ δυσμὰς, τοῦ νοουμένου δι' ἀμφοτέρων τῶν εἰρημένων πόλων κύκλου περιαγομένου, καὶ περιγράφοντος, καὶ ἀφορίζοντος τὴν πρώτην φορὰν, καὶ τὰ λοιπὰ πάντα συμπεριαγοντος περὶ τοῦ τοῦ ἰσημερινοῦ πόλους, οἵ τινες τοῦ ἰσημερινοῦ πόλοι βεβηκότες εἰσὶν ἐπί τινος ἑστῶτος καὶ μένοντος πρὸς ὀρθὰς τοῦ ὁρίζοντι κύκλῳ, ὡς τοῦ καθ' ἑκάστην οἴκησιν μεσημβρινοῦ, ὃς τούτῳ μόνῳ διαφέρει τοῦ δι' ἀμφοτέρων τῶν πόλων περιαγομένου κύκλου, τὸ μὴ πάντοτε διὰ τῶν τοῦ λοξοῦ καὶ ζωδιακοῦ κύκλου πόλων γραφεσθαι, ἀλλὰ μόνον ὅταν τὰ τροπικὰ σημεῖα μεσουρανῆ. διὰ ὁ τότε ἐφαρμόζειν ὁ ἑστῶτα μεσημβρινὸν τοῦ περιφερομένῳ καὶ διὰ τῶν πόλων ἀμφοτέρων ὄντι, καὶ ὁ αὐτὸν αὐτῷ γενέσθαι δηλαδὴ, καὶ πρὸς ὀρθὰς τοῦ ζωδιακῷ. ἐπεὶ καὶ ἀμφότεροι τότε διὰ τῶν πόλων ὄντες τοῦ ἰσημερινοῦ καὶ διὰ τῆς ἀφῆς τοῦ τροπικοῦ εἰσίν. ἔτι δὲ οὗτος ὁ ἑστὼς πρὸς ὀρθὰς ἀεὶ τοῦ ὁρίζοντι κύκλος καλεῖται μεσημβρινὸς, ἐπεὶ ἡ τοῦ μεγίστου κύκλου τοιαύτη πρὸς ὁ ὁρίζοντα θέσις, τότε ὑπὸ γῆν καὶ ὑπὲρ γῆν ἡμισφαίριον, καὶ ἔτι τὰ τῶν παραλλήλων κύκλων τμήματα δίχα τέμνει, καὶ τῶν νυχθημέρων τοὺς μέσους χρόνους περιέχει, τουτέστι τὰς ἕκτας ὥρας τῆς ἡμέρας, καὶ τῆς νυκτὸς. ἡ δὲ δευτέρα φορὰ καὶ πολυμερὴς, ἡ εἰς τὰ πρὸς ἀνατολὰς καὶ εἰς τὰ ἑπόμενα γινομένη, καὶ ποικίλας κινήσεις περιέχουσα ἡλίου καὶ σελήνης καὶ τῶν ε πλανωμένων, καὶ ἔτι τῶν ἀπλανῶν, διὰ ὁ ὡς ἔφαμεν καὶ τούτους καταλαμβάνεσθαι κατὰ ρ ἔτη εἰς τὰ ἑπόμενα περὶ τοῦ τοῦ ζωδιακοῦ πόλους κινουμένους μοιρὰν α, περιεχομένη μὲν καὶ περιφερομένη ὑπὸ τῆς εἰρημένης πρώτης φορᾶς ἀπὸ ἀνατολῶν ὑπὸ δυσμὰς, ἀντιπεριαγομένη δὲ καὶ συμπεριαγουσα τὰς τῶν ἀστέρων σφαίρας ὑπὸ τὰ ἐναντία, ὡς ἀπὸ δυσμῶν ὑπὸ ἀνατολὰς, περὶ τοῦ τοῦ ζωδιακοῦ πόλους, οἵ τινες παντοτε μένουσιν ὑπὸ τοῦ τὴν πρώτην φορὰν, περιφέροντος κύκλου, τουτέστι τοῦ δι' ἀμφοτέρων τῶν πόλων περιαγομένου. καὶ περιαγονταί τε εἰκότως σὺν αὐτῷ ἐπ' αὐτοῦ μένοντες, καὶ τῇ κατὰ τὰ ἐναντία δευτέρᾳ κινήσει τὴν αὐτὴν θέσιν συντηροῦσι τοῦ γραφομένου ἐκ τῆς περὶ αὐτοὺς γινομένης δευτέρας φορᾶς μεγίστου καὶ λοξοῦ κύκλου πρὸς ὁ ἰσημερινὸν. ἐπεὶ καὶ παντοτε τὴν αὐτὴν κλίσιν ἤτοι λόξωσιν καταλαμβάνονται συντηροῦντες μοιρῶν τυγχάνουσαν κγ νά κ'. ὅσον καὶ οἱ πόλοι τοῦ ἰσημερινοῦ ἀπὸ τῶν τοῦ ζωδιακοῦ ἀφεστήκασιν. εἴρηκε δὲ τὰς σφαίρας ἡλίου καὶ σελήνης καὶ τῶν ε πλανωμένων περιαγεσθαι εἰς τὰ ἐναντία τῆς πρώτης φορᾶς, περὶ τοῦ τοῦ διὰ μέσων τῶν ζωδίων πόλους, καίπερ ἐν ὅλῃ τῇ πραγματείᾳ αὐτῶν παραλαμβανομένων, καὶ οὐ τῶν σφαιρῶν αὐτῶν, ἁπλούστερον ποιούμενος ὁ λόγον. οὐδὲν γὰρ διαφέρει πρὸς τὴν τῶν φαινομένων συμφωνίαν, εἴτε αὐτοὺς εἴτε τὰς σφαίρας αὐτῶν ὑπόθοιτό τις κινεῖσθαι.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΜΕΡΟΣ ΚΑΤΑΛΗΨΕΩΝ.

Προλιαλαβὼρ ὁλοχερέστερον ἀπό τε τῶρ λοινῶρ γνοιῶρ, Ϲ τῶρ πρὸς τὰ φαινόμενα συμφωνιῶρ τὰ ὡς γ᾽ ἀρχῆς λόγῳ ϑῆ μαθηματικῆς θεωρείας ὀφείλοντα λε φαλαιωδῶς προληφθῆναι, διὸ καὶ εἴρηκε βεβαιωθησομένας γε καὶ ἐπιμαρτηρηθησομένας τέλεον ἐκ τῶρ ἑφεξῆς κατὰ μέρος ἀποδείξεωρ, ἀρχόμενος τῶρ ϰϐ μερῶρ καὶ συγκεφαλαιούμενος τὰ προῤῥηθέντα, φησίν. Ἡ μὲρ οὖρ ὁλοχερὴς προσλιάλειψις καὶ τὰ ἑξῆς. Ἡ μὲρ οὖρ καθόλου καὶ ἀρχοειδὴς προσλιάλειψις ὡς γ᾽ ἐπὶ κεφαλαίοις ϑῆ ἁπλουστέρως παρατηρήσεωρ αὐτῷ ληφθεῖσα, τοῦτορ μὲρ τρόπορ αὐτῷ προτετύπωται. ὧν δὲ τῶρ κατὰ μέρος ἀποδείξεωρ, πρώτην ἠγεῖται ϰαιρὸρ εἶραι ἀποδείξεως λίαν ἧς ἡ μεταξὺ τῶρ δύο πόλεωρ τοῦ τε ἰσημερινοῦ περὶ ὃρ ἡ πρώτη φορὰ γίνεται, καὶ τοῦ ζωδιακοῦ περὶ ὃρ ἡ δευτέρα, παλίρτις οὖσα τυγχάνει, τουτέστι πόσωρ ὀϒδοήκοντα μοιρῶρ, ὡς ϰαὶ τοῦ λίαν ἀμφοτέρωρ τῶρ εἰρημένωρ πόλεωρ γραφομένου μεγίστου κύκλου, οἷορ αὐτὸς ὁ κύκλος τξ. ἔτι δὲ φησὶ πρὸς ταύτης τῆς ἀποδείξεως, ἀναγκαῖορ ὁρῶμεν προκεῖσθαι τὴρ πραγματείαν τῶρ φ᾽ κύκλῳ δυθειῶρ. τουτέστιρ πῶς διαθήσεις τινὸς περιφερείας ϰϐ μεγέθει, Ϲ ἡ ὑποτείνουσα δυθεῖα διάστημ. προτάττει δὲ ταύτην ὡς πλεῖστορ μέρος συμβαλλομένην πρὸς τὰς γραμμικὰς ἀποδείξεις. τὰ γὰρ πλείονα τῶρ φ᾽ τῇ σωτάξει θεωρημάτωρ, διὰ αὐτῆς ἀποδείκνυσι.

ΠΕΡΙ ΤΗΣ ΡΗΔΙΚΟΤΗΤΟΣ ΤΩΝ ΕΝ ΚΥΚΛΩ ΔΥΘΕΙΩΝ.

Μετὰ μὲρ οὖρ τὴρ καταλῆψιρ ϑῆ τοιαύτης πραγματείας, καὶ διὰ ϰανονοποιίας αὐτῷ ἐκτίθεται, ἵνα εἴποτε ἐπιζητοίημεν εἰς τὰς ιϑῆ μέρους ἐπισκέψεις ἤτοι ἐκ περιφερειῶρ δυθείας λεμβάνειρ, ἢ ἐκ δυθειῶρ περιφερείας, ἐκπροχείρου αὐτὰς ἔχωμεν ἐπιλογίζεσθαι. Ϲ μὴ πάντοτε διὰ τῶρ γραμμῶρ τοῦτο ποιεῖσθαι ἐγχρονίζωμεν. ἐπεὶ δὲ ἐχθὲς ἀ μεγέθη τῶρ δυθειῶρ Ϲ τῶρ περιφερειῶρ ᾠκειωμέρα τινὰ τυγχάνει, ὑποτέθειται μὲρ ἡ κύκλορ διαιρεῖσθαι εἰς ἴσα τμήματα τξ, ἡ ϰαλεῖ ἕπασορ διάστημα μοιρῶρ, τὴρ δὲ διάμετρορ εἰς ἴσα τμήματα ρκ, Ϲ ϰαλεῖ καὶ ταῦτα ὁμοίως μοιρικά, ὡς τῶρ μὲρ περιφερειῶρ ϖϑῆ τὰ μεγέθη οὖσαρ ὁ κύκλος τξ, τῶρ δὲ δυθειῶρ οἷορ ἡ διάμετρος ρκ. χρῆται ἢ πρὸς τὴρ ἐνθεσιρ τῇ ϰανόνος τῇ ϰαθ᾽ ἡμικύκλιορ τῶρ περιφερειῶρ παραιρέσει. παρατιθεὶς εἰς τὴρ ἐνθεσιρ τῇ ϰανόνος τῇ ϰαθ᾽ ἡμικύκλιορ τῶρ περιφερειῶρ παραιρέσει. παρατιθεὶς αὐταῖς τὰς ἐπιβαλλούσας τῶρ ὑποτεινουσῶρ αὐτὰς δυθειῶρ πηλικότητας, ποιοῦται οἷορ ὡς ἔφαμεν ἡ διαμέτρου ρκ. λείπει δὲ φησὶ τῇ διάμετρορ εἰς ρκ, διὰ τὸ ϐῆ αὐτῶρ τῶρ ἐπὶ λογισμῶρ φανησόμενορ γ᾽ τοῖς ἀριθμοῖς δύχρησορ. εἰκὸς δὲ αὐτὸρ μᾶλλορ χρήσασθαι τῇ τοιαύτῃ διαιρέσει, διὰ τὸ εἰς πολλὰς ἀποδείξεις σωτελεῖρ αὐτῷ τὴρ πηλικότητα τῆς ἐκ τοῦ ϰγ᾽ τρου. δυχρηστότερορ δὲ πάντωρ τῶρ ἀριθμῶρ ἐστὶρ γὰρ ξ, διὰ τὸ τῶρ ἄλλωρ ἁπάντωρ τῶρ διναμερόνωρ πλείονα μέρη ἔχειρ ἐλάττονα ὄντα, δυμεταχειριστότερορ εἶναι. διατοῦτο ϰῇ τὴρ διάμετρορ εἰς ρκ διεῖλεν. ἵνα ϰῇ τὴρ ἐκ τοῦ ϰγ᾽ τρου ξ. Πρῶτορ δὲ λέξομεν πῶς αὐ ὡς ἐμετρορ εἰς ρκ διεῖλεν. ἵνα ϰῇ τὴρ ἐκ τοῦ ϰγ᾽ τρου ξ. Πρῶτορ δὲ λέξομεν πῶς αὐ ὡς ἐνι μάλιστα Ϲ τὸ ἑξῆς. Δέδεικται μὲρ οὖρ ϰῇ ὑπάρχει ἡ πραγματεία τῶρ φ᾽ κύκλῳ δυθειῶρ, φ᾽ ιϐ βιβλίοις, ἔτι τε ϰαὶ μενελάου φ᾽ ϛ. θαυμάσαι δ᾽ ἔστι τὸρ αὐθαδα πῶς δυμεταχείρωρ τὴρ εὕρεσιρ ϑῆ πηλικότητος αὐτῶρ πεποίηται Ϲ μετὰ τὸ διὰ τινῶρ βραχέωρ λημματίων λέξαι ὀλίγα, τὰ μάλιστα χρήσιμα τῶρ θεωρημάτωρ πρὸς τὴρ καταλῆψιρ τῆς πηλικότητος τῶρ δυθειῶρ, ἑξῆς ϰαὶ διὰ τῶρ αὐτῶρ λείπωρσι τῇ ϰαθέτασιρ τοῦ ϰανόνος γινομένην, ὅπως μὴ μόνορ ἐκ τῶρ αὐτιγραφῶρ αὐξεσέως ἔχωμεν τὰ μεγέθη ἐπιτεθειμένα, ἀλλὰ ϰαὶ διὰ τῆς γραμμικῆς λέξεως τῇ ϰαθέτασιρ τούτων ἔχωμεν τὰ μεγέθη ἐπιτεθειμένα, ἀλλὰ ϰαὶ διὰ τῆς γραμμικῆς λέξεως τῇ ϰαθέτασιρ αὐτῶρ ποιώμεθα. ἵνα διὰρ περί τινα τῶρ φ᾽ ϰῇ ϰανόνι πεδιεχομένωρ ἀριθμῶρ γραφική τις ἐγγύπτρ ἁμαρτία ϰαθ᾽ δυχεροῦς διὰ τῶρ γραμμῶρ τῇ ἐπανορθώσει αὐτῶρ ποιώμεθα. Καθόλου μέντοι χρησόμεθα τοῖς τῶρ ἀριθμῶρ ἐφόδοις. Ἐνταῦθα πάλιρ τοῦ δυμεταχειρίστου Ϲ βούλεται ἡμᾶς τὰ μέρη τῶρ μοιρῶρ εἰς ἑξηκοστὰ λαμβάνειρ, ἵνα τῇ εἴσω προνοούμενος,

πρῶτα, εἰς δευτέρα, καὶ τὰ δευτέρα, εἰς τρίτα, καὶ τὰ τρίτα εἰς τέταρτα, ⲥ ἑξῆς ἀκολούθως ἐφ' ὅσον αὐτῷ χρήσιμον καταφαίνετο. Ἔτι τε τοῖς πολλαπλασιασμοῖς καὶ μερισμοῖς ἀκολουθήσομεν. Διδασκαλικοῦ ὄντος τρόπου προδιαλαβεῖν ἡμᾶς ὀλίγα περί τε τῶν πολλαπλασιασμῶν καὶ μερισμῶν, ὧν καταδηλοτέραν τὴν ἐξέτασιν ἐν τοῖς οἰκείοις τόποις ἐπ' αὐτῶν τῶν ἐν τῇ συντάξει ἀριθμῶν ποιησόμεθα, ὑπ' ὄψιν μᾶλλον ἄγοντες τὰ λεγόμενα, ἀκόλουθον ἂν εἴη ⲥ ἐνταῦθα προδηλῶσαι τίνα εἴδη ἐστὶ τὰ γινόμενα τῶν μοιρῶν πολλαπλασιαζομένων ὑπὸ τὰς μοιρ. ⲥ ὑπὸ τὰ πρῶτα ἑξηκοστά, ⲥ ὑπὸ τὰ δευτέρα, καὶ τρίτα ⲥ τέταρτα, ⲥ ἑξῆς ἀκολούθως. ἡ μ οὖν μοιρὰ ἐν τοῖς κατ' εἶδος πολλαπλασιασμοῖς μονάδος τάξιν ἐπέχουσα, ἀμετάθετός ἐστι, ὅνπερ γὰρ τρόπον ἡ μονὰς ὑπὸ τὸν τρία ἀριθμὸν (λόγου χαίριν) πολλαπλασιασθεῖσα, αὐτὸν τὸν τρίτον ἀριθμὸν φυλάττει, ⲥ ὑπὸ τὸν τέταρτον αὐτὸν τὸν δ, καὶ ὑπὸ τὸν η αὐτὸν τὸν η, καθὰ καὶ Διόφαντος φησὶν ὅτι τῆς μονάδος ἀμεταθέτου οὔσης καὶ ἑστώσης πάντοτε, τὸ πολλαπλασιαζόμενον εἶδος ἐπ' αὐτὴν αὐτὸ τὸ εἶδος ἔσται, τὸν αὐτὸν τρόπον καὶ ἡ μοιρὰ ἐφ' ὃ ἂν εἶδος πολλαπλασιασθῇ, αὐτὸ τὸ εἶδος φυλάττει. ὥστε μοιρὰ μὲν ὑπὸ μοιρὰν πολλαπλασιασθεῖσα, μοιρὰν ποιήσει, ὑπὸ δὲ πρῶτα ἑξηκοστά, ἑξηκοστὰ πρῶτα, ὑπὸ δὲ δευτέρα, δευτέρα, ὑπὸ δὲ τρίτα, τρίτα. καὶ ἑξῆς ἀκολούθως. ὑπὸ δὲ τῶν μερῶν τῆς μοιρᾶς οὐκέτι τὸ τοιοῦτον εὑρίσκομεν, ὡς ἑξῆς ἀποδείξομεν, ὅνπερ γὰρ πάλιν τρόπον κατὰ Διόφαντον ἐν τοῖς πολλαπλασιασμοῖς τῶν μερῶν τῆς μονάδος, ἑτεροιοῦτο τὰ εἴδη (τὸ γὰρ τρίτον ἐφ' ἑαυτὸ πολλαπλασιαζόμενον, δυναμοστὸν τὸ θ ποιεῖ καὶ τὸ εἶδος ἀλλοιοῖ) τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τὰ μέρη τῆς μοιρᾶς ἑτεροιοῖ τὰ εἴδη, ὡς καὶ ἐντεῦθεν δῆλον γίνεσθαι, ὅτι ἡ μοιρὰ τὴν οἰκειότατον πρὸς τὴν μονάδα καὶ κατὰ τὰ μέρη συντηρεῖ. καὶ λογικώτερον μὲν οὕτω. ἵνα δὲ καὶ διὰ τῶν γραμμῶν δείξωμεν τίνα εἴδη ἐστὶ τὰ γινόμενα τῶν μοιρῶν πολλαπλασιαζομένων ὑπὸ τὰ πρῶτα καὶ δευτέρα ⲥ τρίτα ἑξηκοστά, καὶ ἑξῆς, καὶ τῶν πρώτων ἑξηκοστῶν ἐφ' ἑαυτά, ἢ ὑπὸ τὰ δευτέρα ⲥ τρίτα καὶ ἑξῆς, καὶ ἔτι τῶν λοιπῶν, ἐκκείσθωσαν β ἐνθεῖαι πρὸς ὀρθὰς ἀλλήλαις αἱ αβ βγ. ⲥ ἔστω ἑκατέρα αὐτῶν μοιρὰ α. καὶ συμπεπληρώσθω τὸ αγ τετραγωνον. ἔσται ἄρα καὶ αὐτὸ μοιρὰ α. ⲥ τετμήσθω ἡ βγ εἰς ἴσα ξ, καὶ ἔστω ἡ βδ πρώτου ἑξηκοστοῦ α. ⲥ ἤχθω παράλληλος ἡ δε. ἐπεὶ οὖν ἐστὶν ὡς ἡ γβ πρὸς βδ, οὕτω τὸ αγ, πρὸς τὸ δα. ἑξηκονταπλασίων ἡ γβ τῆς βδ, ἑξηκονταπλάσιον ἄρα ⲥ τὸ γα τοῦ αδ. καὶ ἔστι τὸ γα μοιρὰ α, τὸ ἄρα δα, ἔσται πρῶτον ἑξηκοστὸν ἐν. ⲥ περιέχεται ὑπὸ τῆς αβ μοιρᾶς α τυγχανούσης, καὶ τῆς βδ πρώτου ἑξηκοστοῦ. μοιρὰ ἄρα ἐπὶ πρῶτα ἑξηκοστά, πρῶτα ἑξηκοστὰ ποιεῖ. ὁμοίως κἂν τὰ βζ ἀπολαβώμεν, ἑξηκοστὸν μέρος τῆς βδ, ⲥ διὰ τοῦ ζ παράλληλον ἀγάγωμεν τὴν ζη, ἔσται τὸ ζα δευτέρου ἑξηκοστοῦ ἐν, περιεχόμενον ὑπὸ τῆς βα μοιρᾶς, καὶ τῆς βζ β ἑξηκοστῶν. μοιρὰ ἄρα ὑπὸ ἑξηκοστὰ δευτέρα, ἑξηκοστὰ δευτέρα ποιεῖ. καὶ ὁμοίως ὑπὸ τρίτον, τρίτον, καὶ ὑπὸ τέταρτον, τέταρτον, καὶ ἑξῆς. λέγω δὴ ὅτι καὶ πρῶτα ἑξηκοστὰ ὑπὸ πρῶτα ἑξηκοστά, δευτέρα ποιεῖ. διηρείσθω καὶ ἡ αβ εἰς ἴσα ξ. καὶ ἔστω αὐτῆς ἑνὸς ἑξηκοστοῦ ἡ βθ, καὶ ἤχθω διὰ τοῦ θ τῇ βδ παράλληλος, ἡ θκ. ἔσται ἄρα ⲥ τὸ βκ ἑξηκοστὸν μέρος τοῦ δα. καὶ ἔστι τὸ δα, * πρῶτον ἑξηκοστόν. τὸ ἄρα βκ ἔσται * δευτέρον ἑξηκοστόν. ⲥ περιέχετο ὑπό τε τῆς θβ ⲥ τῆς βδ ἑκατέρας πρώτου ἑξηκοστοῦ τυγχανούσης, ὥστε πρῶτα ἑξηκοστὰ ὑπὸ πρῶτα, δευτέρα ποιεῖ. πάλιν δὴ δεικτέον ὅτι καὶ πρῶτα ἑξηκοστὰ ὑπὸ δευτέρα, τρίτα ποιεῖ. ἐπεὶ γὰρ τὸ αζ, δευτέρου ἐστὶν ἑξηκοστοῦ, καὶ ἔστιν αὐτοῦ ἑξηκοστὸν μέρος τὸ ζθ, τὸ ἄρα θζ, τρίτου ἐστὶν ἑξηκοστοῦ. καὶ περιέχεται ὑπό τε τῆς θβ οὔσης πρώτου ἑξηκοστοῦ, καὶ τῆς βζ, β. ὥστε πρῶτα ἑξηκοστὰ ὑπὸ δευτέρα, τρίτα ποιεῖ. ἔτι δὲ δεικτέον ὅτι δευτέρα ἑξηκοστὰ ὑπὸ δευτέρα, τέταρτα ποιεῖ. εἰλήφθω τῆς βθ ἑξηκοστὸν μέρος ἡ βλ. ἔσται ἄρα δευτέρα ἑξηκοστά. καὶ διὰ τοῦ λ τῆς βζ παράλληλος ἤχθω ἡ λμ. καὶ ἐπεὶ τὸ ζθ ἐδείχθη τρίτου ἑξηκοστοῦ. καὶ ἔστιν αὐτοῦ ἑξηκοστὸν μέρος τὸ βμ, τὸ βμ ἄρα τέταρτον ἐστὶν ἑξηκοστόν. καὶ περιέχεται ὑπὸ τῶν λβ βζ, ἑκατέρας οὔσης δευτέρου ἑξηκοστοῦ. ὥστε δευτέρα ἑξηκοστὰ ὑπὸ δευτέρα, τέταρτα ποιεῖ. ⲥ ἑξῆς ὁμοίως τῇ κατατομῇ τῶν εὐθειῶν χρόμενοι, εὑρήσομεν καὶ τὰ ὑπὸ τῶν λοιπῶν ἑξηκοστῶν εἴδη. Δεδειγμένου ἡμῖν ὅτι ἡ μοιρὰ ἐφ' ὃ ἂν εἶδος πολλαπλασιασθῇ, αὐτὸ τὸ εἶδος φυλάττει, τουτέστιν εἴτε ὑπὸ πρῶτα ἑξηκοστά, πρῶτα ἑξηκοστά, εἴτε ὑπὸ δευτέρα, δευτέρα, εἴτε ὑπὸ τρίτα, τρίτα, καὶ ἑξῆς δείξομεν



πρώτου ἑξηκοστοῦ.

δευτέρου ἑξηκοστοῦ.

ξομεν δι' ἀναλογίας τὰ ἐκ τοῦ πολλαπλασιασμοῦ τῶν ἑξηκοστῶν γινόμενα εἴδη, δι' ἀριθμῶν ποιούμενοι τῆς ἀπόδειξιν. ἐπεὶ καὶ ὁ Πτολεμαῖος ἐν τοῖς πολλαπλασιασμοῖς αὐτόν φησι τὸν γενόμενον ἀριθμὸν διεκβαλοῦμεν. καὶ ἐκκείσθω ὡς ὑπογέγραπται κατὰ τὸ ἑξῆς, τότε μοιριαῖον μέγεθος, καὶ τὰ τῶν ἑξηκοστῶν. ἐπεὶ οὖν τρίτοι ἀριθμοὶ ἀνάλογον εἰσίν, ὡς μοιρὰ πρὸς ἐν ἑξηκοστὸν, οὕτως πρῶτον πρὸς δεύτερον. ἕκαστον γὰρ εἶδος ἑκάστου ἑξηκονταπλάσιον ἐστὶ. τὸ ἄρα ὑπὸ πρώτου καὶ τρίτου, ἴσον ἐστὶ τῷ ἀπὸ τοῦ δευτέρου, τουτέστι τὸ ὑπὸ μοιρᾶς καὶ δευτέρου ἑξηκοστοῦ, ἴσον ἐστὶ τῷ ἀπὸ πρώτου ἑξηκοστοῦ. ἀλλὰ τὸ ὑπὸ μοιρᾶς καὶ δευτέρου ἑξηκοστῶν, δεύτερα ἑξηκοστὰ ποιεῖ. ἐπειδήπερ ὡς ἐδείκνυμεν ἡ μοιρὰ ἐφ' ὃ ἂν εἶδος πολλαπλασιασθῇ, αὐτὸ τὸ εἶδος ποιεῖ. καὶ πρῶτα ἄρα ἑξηκοστὰ, ὧν πρῶτα ἑξηκοστὰ, δευτέρα ἑξηκοστὰ ποιεῖ. δεικτέον ὅτι καὶ πρῶτα ἑξηκοστὰ ὧν δεύτερα, τρίτα ποιεῖ. πάλιν γὰρ ἐπεὶ ὡς μοιρὰ πρὸς πρῶτα ἑξηκοστὰ, οὕτως δεύτερα πρὸς τρίτα. τὸ ἄρα ὑπὸ πρώτου καὶ τετάρτου, ἴσον ἐστὶ τῷ ὑπὸ δευτέρου καὶ τρίτου. τὸ ἄρα ὑπὸ μοιρᾶς καὶ τρίτων ἑξηκοστῶν, ἴσον ἐστὶ τῷ ὑπὸ πρώτων καὶ δευτέρων ἑξηκοστῶν. ἀλλὰ τὸ ὑπὸ μοιρᾶς καὶ τρίτων ἑξηκοστῶν, τρίτα ποιεῖ. καὶ τὸ ὑπὸ πρώτων ἄρα καὶ δευτέρων ἑξηκοστῶν, τρίτα ποιεῖ. ἔτι δὲ πρῶτα ὧν τρίτα τέταρτα ποιεῖ τόνδε τὸν τρόπον. ἐπεὶ γὰρ ἐστὶν ὡς μοιρὰ πρὸς πρῶτα ἑξηκοστὰ, οὕτως τρίτα πρὸς τέταρτα. τὸ ἄρα ὑπὸ μοιρᾶς καὶ τετάρτων ἑξηκοστῶν, ἴσον ἐστὶ τῷ ὑπὸ πρώτου καὶ τρίτου ἑξηκοστοῦ, ἀλλὰ τὸ ὑπὸ μοιρᾶς καὶ τετάρτου ἑξηκοστοῦ, τέταρτα ἑξηκοστὰ ποιεῖ. καὶ πρῶτα ἄρα ἑξηκοστὰ ὧν τρίτα, τέταρτα ποιεῖ. ὡσαύτως δὲ τὰ πρῶτα ὧν μὲν τὰ τέταρτα, πέμπτα ποιεῖ, ὧν δὲ τὰ ε, ς καὶ ἑξῆς. πάλιν δὲ δεικτέον ὅτι δεύτερα ὧν δεύτερα, τέταρτα ποιεῖ. ἐπεὶ γὰρ ἐστὶν ὡς πρῶτα ἑξηκοστὰ πρὸς δεύτερα, οὕτως δεύτερα πρὸς τρίτα, τὸ ἄρα ὑπὸ πρώτων καὶ τρίτων, ἴσον ἐστὶ τῷ ἀπὸ δευτέρων. ἀλλὰ τὸ ὑπὸ πρώτων καὶ τρίτων, ἐδείξαμεν ὅτι τέταρτον ποιεῖ, καὶ δεύτερα ἄρα ὧν δεύτερα, τέταρτον ποιεῖ. δεικτέον δὴ ὅτι καὶ δεύτερον ὧδι τρίτον, ε ποιεῖ. ἐπεὶ γὰρ ἐστὶν ὡς πρῶτα ἑξηκοστὰ πρὸς δεύτερα, οὕτω τρίτων πρὸς τέταρτον. τὸ ἄρα ὑπὸ πρώτων καὶ τετάρτων, ἴσον ἐστὶ τῷ ὑπὸ δευτέρων καὶ τρίτων. ἀλλὰ τὸ ὑπὸ πρώτων καὶ τετάρτων ἐδείχθη ἑξηκοστὰ ε, καὶ δεύτερα ἄρα ἑξηκοστὰ ὧν τρίτα, ε ἑξηκοστὰ ποιεῖ. ὁμοίως δὲ καὶ τὰ δεύτερα ἑξηκοστὰ, ὧν μὲν τέταρτον, ἕκτον ποιεῖ, ὧδι δὲ ε, ζ. καὶ ἑξῆς ἀκολούθως. ἔτι γεμὴν τρίτα ὧν τρίτα πολλαπλασιαζόμενα, ἕκτα ποιήσει ἑξηκοστὰ. ἐπεὶ γὰρ πάλιν ἐστὶν ὡς δεύτερα ἑξηκοστὰ πρὸς τρίτα, οὕτως τρίτα πρὸς τέταρτα, τὰ ἄρα ὑπὸ δευτέρων καὶ τετάρτων γινόμενα, ἴσα ἐστὶ τῷ ἀπὸ τῶν τρίτων, τὰ δὲ ὑπὸ δεύτερα καὶ τέταρτα, ἀπεδείξαμεν ἕκτα ὄντα ἑξηκοστὰ, καὶ τὰ τρίτα ἄρα ἑξηκοστὰ ἐφ' ἑαυτὰ πολλαπλασιαζόμενα, ἕκτα ποιήσει ἑξηκοστὰ. καὶ ἔτι τὰ τρίτα ἑξηκοστὰ ὧν τὰ τέταρτα, ἕβδομα. καὶ ἑξῆς ἀκολούθως. Καὶ τῶν πολλαπλασιασμῶν ἡμῖν σαφινισθέντων, φανεροί εἰσιν οἱ μερισμοὶ τῶν προκειμένων εἰδῶν. τὰ γὰρ πρῶτα ἑξηκοστὰ περὶ μὴ μοιρὰς μεριζόμενα ἤτοι πραβαλλόμενα, πρῶτα ἑξηκοστὰ ποιήσει, περὶ δὲ α ἑξηκοστὰ, μοιρ. τὰ δὲ β ἑξηκοστὰ περὶ μὴ μοιρ. πραβαλλόμενα, β ἑξηκοστὰ ποιήσει, περὶ δὲ α ἑξηκοστὰ, α. τὰ δὲ γ ἑξηκ. περὶ μὴ μοιρ. πραβαλλόμενα, γ ἑξηκ. ποιήσει, παρὰ δὲ α ἑξηκ. ἑξηκοστὰ β, παρὰ δὲ β, α. καὶ ὧν τῶν λοιπῶν. οἷον ἔστω τὸ αδ χωρίον ἑξηκ. α, ἡ δὲ αβ, μοιρά. δῆλον οὖν ὅτι ἐὰν τὸ αδ χωρίου πραβάλωμεν περὶ τῆς αβ, τῆς αγ ποιήσει ἑξηκ. α. ἐπεὶ καὶ μοιρὰ ὧν α ἑξηκ. πολλαπλασιασθεῖσα, α ποιεῖ. ἐὰν δὲ παρὰ τῆς αγ α ἑξηκ. οὖσαν, τῆς αβ ποιήσει, μοιρ. τυγχάνουσαν. πάλιν ἔστω τὸ μὴ αδ χωρίον β ἑξηκ. δῆλον οὖν πάλιν ὡς ἐὰν περὶ τῆς αβ μοιρὰν ὑπάρχουσαν πραβληθῇ τὸ αδ χωρίον, τὴν αγ ποιήσει β ἑξηκ. ἐπεὶ καὶ μοιρ. ὧν β ἑξηκ. β ποιοῦσιν. ἐὰν δὲ περὶ τῆς αγ ἑξηκ. οὔσης β, τῆς αβ ποιήσει μοιρ. ἐὰν δὲ τῆς αβ α οὔσης ἑξηκ. πραβληθῇ τὸ αδ χωρίον παρὰ τῆς αβ, τῆς αγ ποιήσει α πάλιν ἑξηκ. ἐπεὶ καὶ α ἑξηκ. ὧν α, ποιεῖ β. πάλιν ἔστω τὸ αδ χωρίον γ ἑξηκ. ἐὰν μὴ οὖν πάλιν τῆς αβ μοιρ. τυγχανούσης, πραβάλωμεν τὸ αδ περὶ τῆς αβ, ἔσται ἡ αγ γ ἑξηκ. ἐὰν δὲ παρὰ τῆς αγ γ ἑξηκ. τυγχάνουσαν, εὑρεθήσετε ἡ αβ μοιρ. ἐὰν δὲ ἡ αβ α τυγχάνη ἑξηκ. εὑρεθήσετε ἡ αγ β. καὶ ὁμοίως ὧν τῶν λοιπῶν. Ἔτι δὲ δείξομεν καὶ πῶς ἂν τριῶν εἰδῶν δοθέντων, τουτέστι μοιρ. καὶ α ἑξηκοστοῦ καὶ β, ἐκ τοῦ πολλαπλασιασμοῦ αὐτῶν συναγόμενος ἀριθμὸς λαμβάνητε, καὶ τὸ ἀνάπαλιν πῶς ἂν δοθέντος τινὸς ἀριθμοῦ τῶν αὐτῶν τριῶν εἰδῶν ἢ καὶ πλειόνων, ὁμερισμὸς ἤτοι ἡ παραβολὴ αὐτοῦ γίνετε παρὰ τὰ εἰρημένα εἴδη. καὶ δέον ἔστω ὧν τῶν ἐν τῇ συντάξει ἀριθμῶν τὸ τοι





οὖτον ἐφοδεῦσαι, ἔστω δὴ λαβόντας ἡμᾶς τὴν τοῦ δεκαγώνου πλευρὰν ὡς δεικθήσεται τυγχάνουσαν μοιρ. λζ δ νε, ἐφ' ἑαυτὴν ποιῆσαι. ἐκτίθεμαι αὐτὴν, καὶ πάλιν αὐτὴν ὑφ' ἑαυτὴν ὡς ὑπογέγραπται, καὶ πρότερον πολλαπλασίσας τὰς λζ μοιρὰς ἐφ' ἑαυτὰς, καὶ ὧν τὰ πρῶτα ϛ δεύτερα ἑξηκοστὰ, ἔπειτα τὰ δ ᾱ ἑξηκ. ἐπί τε τὰς λζ μοιρὰς, καὶ ἐφ' ἑαυτὰ, ϛ ὧν τὰ β ἑξηκοστὰ. ϛ ἔτι τὰ β ἑξηκ. ἐπί τε τὰ μοιρὰς, καὶ τὰς ᾱ ἑξηκοστὰ, καὶ ἐφ' ἑαυτὰ, οὕτως ἔχω τὴν πολλαπλασιασμὸν αὐτῶν προχειρότερον εἰλημμένον. αἱ μ λζ μοιραὶ ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι, συνάγουσι μοιρὰς, ατξθ, ὧν τὰ δ ᾱ ἑξηκ. ᾱ ἑξηκ. ρμη, ϛ ἔτι ὧν τὰ νε β. ποιοῦσι βλε. ϛ ἔτι τὰ δ, ὧν μ τὰς λζ μοιρὰς ποιοῦσι ρμη. ἐφ' ἑαυτὰ δὲ ις καὶ ὧν τὰ νε ἑξηκ. ποιοῦσι ι ἑξηκ. σκ. πάλιν τὰ νε β ἑξηκ. ὧν μ τὰς λζ μοιρὰς συνάγουσι β ἑξηκ. βλε, ὧν δὲ τὰ δ πρῶτα, ποιοῦσι ι, σκ, ϛ ἔτι ἐφ' ἑαυτὰ συνάγουσι δ ἑξηκοστὰ ικε. ϛ ἔστιν ἡ τῶν ἀριθμῶν τάξις ὡς ὑπογέγραπται. συνάγοντες δὲ τοῦτον τὸν τρόπον. πρότερον τὰ ικε δ ἑξηκοστὰ, μερισάντου πρὸς τὸν ξ, ποιοῦμεν ἑξηκοστὰ τρίτα μὲν ν, δ δὲ κε. ἔπειτα τὰ τρίτα ἑξηκοστὰ μετὰ τῶν ἀπὸ τοῦ μερισμοῦ τῶν δ συναχθέντων ν, γινόμενα ἅπαντα υλ, ποιεῖ δεύτερα μὲν η, ι δὲ ι. καὶ ἀκολούθως τὰ δεύτερα συναγόμενα δλδ, ποιεῖ ᾱ ἑξηκοστὰ ξη, καὶ δεύτερα ιδ. καὶ ἔτι τὰ πρῶτα ἑξηκοστὰ συναγόμενα τξδ ποιεῖ μοιρὰς ς. καὶ πρῶτα ἑξηκοστὰ, τέταρτα, καὶ γίνονται ἅπαντου μοιραὶ ατοε, καὶ ἑξηκοστὰ μὲν πρῶτα δ, δεύτερα δὲ ιδ, ι, ι, δ, κε. διὸ καὶ παρατιθεὶς αὐτὰ ὁ Πτολεμαῖος ἐν τοῖς ἑξῆς καὶ μέχρι δεύτερα ἑξηκοστὰ ποιούμενος τὴν παράθεσιν, ἐξέθεσε ατοε δ ιδ ἔγγιστα, τὰ τρίτα καὶ δ καταλιπὼν. ὡσαύτως δὲ κἂν διάφοροι τυγχάνωσιν οἱ ἀριθμοὶ πολλαπλασιάζοντες. Ἔστω δὲ ϛ ἀνάπαλιν δοθέντα ἀριθμὸν μερίσαι παρά τε μοιρὰς καὶ πρῶτα καὶ δεύτερα ἑξηκοστὰ. ἔστω ὁ δοθεὶς ἀριθμὸς αφιε κ ιε. καὶ δέον ἔστω μερίσαι αὐτὸν ὧν τὸν κε ιβ ι. τουτέστιν εὑρεῖν ποσάκις ἐστὶν ὁ κε ιβ ι ἐν τῷ αφιε κ ιε. μερίζομεν αὐτὸν πρῶτον παρὰ τὸν ξ. ἐπειδήπερ ὁ περὶ τὴν ξα ὑπερπίπτει. ϛ ἀφαιροῦμεν ἑξηκοντάκις τὸν κε ϛ τὴν ιβ, ϛ ἔτι τὸν ι. καὶ πρότερον τὸν κε, ϛ γίνοντες αφ, εἶτα τὰς λειπούσας μοιρὰς ιε ἀναλύσαντες εἰς πρῶτα ἑξηκ. δ, ϛ τούτοις προσθέντες καὶ τὰ κ ᾱ. καὶ ἀπὸ τῶν γενομένων ὁμοῦ δκ ᾱ ἑξηκοστῶν ἀφαιροῦντες ἑξηκοντάκις τὰ ιβ, τουτέστιν ψκ. καὶ ἔτι ἀπὸ τῶν λοιπῶν ᾱ ἑξηκ. σ ϛ β ιε, ἀφαιροῦμεν ἑξηκοντάκις πάλιν τὰ ι, β, γίνοντες β ἑξηκ. χ, ἤτοι ᾱ ι, ὑπολειπομένων πρώτων τε ἑξηκ. ρλ, ϛ β ιε. ταῦτα πάλιν ἀρχόμενοι μερίζομεν περὶ τὴν κε. καὶ γίνεται ὁ μερισμὸς περὶ τὴν ζ, ὑπερπίπτει γὰρ περὶ τὴν η. ϛ τὰ γενόμενα ἐκ τοῦ παραβολῆς ἑξηκοστὰ ᾱ ρ οε, ἀφαιροῦμεν ἀπὸ τῶν ρλ ᾱ ἑξηκ. ἔπειτα τὰ λοιπὰ ιε ᾱ ἑξηκ. ἀναλύσαντες εἰς β δ, ϛ προσθέντες αὐτοῖς τὰ ιε, τῶν γενομένων ἀφαιροῦμεν ἑπτάκις τὰ ιβ ᾱ ἑξηκ. τουτέστιν πδ β ἑξηκοστὰ, διὰ τὸ ϛ τὰ ζ ᾱ εἶναι ἑξηκοστὰ. καὶ λείποντες β ἑξηκ. ὡλα. καὶ ἔτι ἀφαιροῦμεν ὁμοίως ἑπτάκις ϛ τὰ ι β ἑξηκοστὰ. ἃ γίνοντες ι ἑξηκοστὰ ο, τουτέστι β α καὶ ι ι. ϛ καταλείποντες β ἑξηκοστὰ, ὡκθ, ϛ ι ν. ταῦτα πάλιν περὶ τὸν κε. καὶ γίνεται ὁ μ μερισμὸς περὶ τὴν λι, ἐκ δὲ τοῦ παραβολῆς β ἑξηκ. ωκε, ϛ λοιπὰ ὑπελείφθη β ἑξηκ. δ, ι δὲ ν. ὁμοῦ δὲ ι σλ. ἔπειτα πάλιν ἀφαιροῦμεν τρισκαιτριακοντάκις τὰ ιβ ᾱ ἑξηκοστὰ, ϛ γίνοντες ι τλς. ὡς ποιεῖν ἔγγιστα τὴν μερισμὸν τῶν αφιε κ ιε, παρὰ τὴν κε ιβ ι, ξ ζ λι. ἐπεὶ ϛ ἀνάπαλιν ἐὰν ταῦτα πολλαπλασιάσωμεν ὧν τὰ κε ιβ ι, συνάγοντες ὁμοίως, τὰ αφιε κ ιε ἔγγιστα. Διαλαβόντες οὖν περὶ τῶν ὀφειλόντων προληφθῆναι τουτέστι τῶν τε πολλαπλασιασμῶν τῶν μοιρῶν ϛ ἑξηκοστῶν, ϛ ἔτι τῶν μερισμῶν αὐτῶν, ἑξῆς περὶ τοῦ εἰρημένης αὐτῷ ἀναγκαίως προεκτίθεσθαι πραγματείας λέγω δὴ τοῦ τῶν ἐν κύκλῳ εὐθειῶν τὸν λόγον ποιησόμεθα. ἀρχόμενος οὖν τοῦ τοιαύτης ἀποδείξεως, ἐκτίθητες ᾱ θεώρημα ἐν ᾧ ἀποδεικνύει πόσων ἐστὶ τμημάτων ἤτε τοῦ δεκαγώνου πλευρὰ ὑποτείνουσα περιφέρειαν μοιρῶν λς, καὶ ἡ τοῦ πενταγώνου ὑποτείνουσα περιφέρειαν μοιρῶν οβ, καὶ ἔτι ἡ τοῦ ἑξαγώνου ὑποτείνουσα περιφέρειαν μοιρῶν ξ, καὶ ἑξῆς ἡ τοῦ τετραγώνου ὑποτείνουσα περιφέρειαν μοιρῶν λ, καὶ ἔτι ἡ τοῦ τριγώνου ὑποτείνουσα περιφέρειαν μοιρῶν ρκ, οἵων ἡ τοῦ κύκλου περίμετρος τξ. ὧν δὲ τῶν ὑποτεινουσῶν αὐτὰς εὐθειῶν οἵων ἡ διαμετρος ρκ. χρῆται δὲ τῇ ἀποδείξει οὕτως. ἐκθέμενος ἡμικύκλιον τὸ αβι, περὶ διάμετρον τὴν αι, οὗ κέντρον τὸ δ, καὶ ἀπὸ τοῦ δ τῇ αι πρὸς ὀρθὰς ἀγαγὼν τὴν δβ, καὶ τεμὼν τὴν δι δίχα κατὰ τὸ ε, ϛ ἐπιζεύξας τὴν βε, καὶ ἴσην τῇ βε ἀπειληφὼς τὴν εζ, ϛ ἐπιζεύξας πάλιν τὴν εζ, λέγω φησίν, ὅτι ἡ μὲν δζ δεκαγώνου ἐστὶ πλευρὰ, ἡ δὲ βζ πενταγώνου. ἐπεὶ γὰρ ἡ δγ τέτμητες δίχα κατὰ τὸ ε, πρόσκειτες δέ τις αὐτῇ εὐθεῖα ἐπ' εὐθείας ἡ δζ, τὸ ὑπὸ τοῦ ὅλης σὺν

λζ δ νε
λζ δ νε
ατξθ ρμη βλε
ρμη ις σκ
βλε σκ ικε

τῇ

τῇ προσκειμένῃ καὶ ϝῃ προσκειμένης περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ ϝῃ ἡμισείας τετραγώνου, ἴσον ὄντι τῷ ἀπὸ τῆς συγκειμένης ἐκ τε ϝῃ ἡμισείας καὶ τῆς προσκειμένης, τουτέστι τὸ ὑπὸ τῶν ΓΖ ΖΔ μετὰ τοῦ ἀπὸ τῆς ΔΕ, ἴσον ὄντι τῷ ἀπὸ τῆς ΖΕ, τουτέστι τῷ ἀπὸ τῆς ΕΒ, ὅπερ ὄντι ἴσον τοῖς ἀπὸ τῶν ΒΔ ΔΕ. ὥστε τὸ ὑπὸ τῶν ΓΖ ΖΔ μετὰ τοῦ ἀπὸ τῆς ΔΕ, ἴσον ὄντι τοῖς ἀπὸ τῶν ΒΔ ΔΕ. λοιπὸν ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΔΕ, λοιπὸν ἄρα τὸ ὑπὸ τῶν ΓΖ ΖΔ, ἴσον ὄντι τῷ ἀπὸ τῆς ΒΔ, τουτέστι τῷ ἀπὸ ϝῃ ΔΓ. αἱ Γ ἄρα δύθεῖαι ἀνάλογόν ὄντιν, ὡς ἡ ΖΓ πρὸς τὴν ΓΔ, ἡ ΓΔ πρὸς τὴν ΔΖ. καὶ ἐπεὶ ἡ ΓΖ τέτμηται εἰς ἄνισα κατὰ τὸ Δ, καὶ ἔστιν ὡς ὅλη ἡ ΓΖ πρὸς τὸ μεῖζον τμῆμα τὸ ΓΔ, οὕτως αὐτὸ τὸ μεῖζον τὸ ΓΔ πρὸς τὸ ἔλαττον τὸ ΔΖ, ἡ ΓΖ ἄρα ἄκρον καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Δ. καὶ ἔστι τὸ μεῖζον τμῆμα τὸ ΓΔ, ἴσον τῇ τοῦ ἐξαγώνου πλευρᾷ, ἡ ἄρα ΔΖ πενταγώνου ὄντι πλευρά. ἐπεὶ γὰρ τοῖς στοιχείοις ὅτι ἐὰν ἡ τοῦ ἐξαγώνου καὶ ἡ τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύκλον συντεθῶσιν, ἡ ὅλη δύθεῖα, ἄκρον καὶ μέσον λόγον τέτμηται. αὐτὸς δὲ αὐτισροφως λαμβάνει. δεικτέον δὲ καὶ οὕτως, ὅτι ἡ ΔΖ ἴση ὄντι τῇ τοῦ δεκαγώνου πλευρᾷ. εἰ γὰρ μή, ἤτοι μείζων ὄντι ϝῃ τ δεκαγώνου πλευρᾶς, ἢ ἐλάττων. ἔστω πρότερον μείζων, καὶ κείσθω τῇ τοῦ δεκαγώνου πλευρᾷ ἴση ἡ ΔΗ. ἡ ἄρα ΗΓ ἄκρον Ⓒ μέσον λόγον τέτμηται κατὰ τὸ Δ. καὶ ἔστιν ὡς ΗΓ πρὸς τὴν ΓΔ, ἡ ΓΔ πρὸς τὴν ΔΗ. Ⓒ ἐπεὶ μείζων ὄντιν ἡ ΖΓ τῆς ΗΓ, ἡ ΖΓ πρὸς τ ΓΔ μείζονα λόγον ἔχει, ἤπερ ἡ ΗΓ πρὸς τὴν ΓΔ, ἀλλ' ὡς μὴ ἡ ΖΓ πρὸς ΓΔ, ἡ ΓΔ πρὸς ΔΖ, ὡς ἢ ἡ ΗΓ πρὸς ΓΔ, ἡ ΓΔ πρὸς ΔΗ, ἡ ΓΔ ἄρα πρὸς ΔΖ μείζονα λόγον ἔχει, ἤπερ πρὸς τὴν ΔΗ. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἐλάττων ὄντιν, ἐλάττων ἄρα ἡ ΔΖ ϝῃ ΔΗ, ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ ΔΖ μείζων ὄντιν τῆς τ δεκαγώνου πλευρᾶς, ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ ἐλάττων, ἡ ἄρα ΔΖ, δεκαγώνου ὄντι πλευρά, ἢ καὶ οὕτως. εἰ γὰρ ἡ ΔΗ δεκαγώνου ὄντι καὶ διατοῦτο ἡ ΗΖ ἄκρον καὶ μέσον λόγον τέτμηται, Ⓒ διατοῦτο ἔστιν ἴσον ϝῃ ὑπὸ τ ΓΖ ΖΔ, ἴσον τῷ ἀπὸ ϝῃ ΔΓ. ὁμοίως ἢ Ⓒ τὸ ὑπὸ τῶν ΓΗ ΗΔ ἴσον ϝῃ αὐτῷ ἀπὸ τῆς ΔΗ, τὸ ἄρα ὑπὸ τῶν ΓΖ ΖΔ, ἴσον ὄντι τῷ ἀπὸ ϝῃ ΔΓ, ἴσον ὄντι ϝῃ ὑπὸ τῶν ΓΗ ΗΔ, ὅπερ ἄτοπον. οὐκ ἄρα ἡ τοῦ δεκαγώνου ἐλάττων ὄντιν τῆς ΔΖ. ὁμοίως δὴ δείξομεν ὅτι οὐδὲ μείζων ἴση ἄρα. πάλιν ἐπεὶ δέδεικται γὰρ ϝῃ τρισκαιδεκάτῳ τ στοιχείων ὅτι ἡ τ πενταγώνου πλευρὰ δυνάτη τῷ τε τ ἑξαγώνου, Ⓒ τῇ τ δεκαγώνου τ εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων, δυνατὴ ἢ ἡ ΖΒ τὰς ΒΔ ΔΖ, Ⓒ ἔστιν ἡ μὲν ΒΔ ἴση τῇ τοῦ ἑξαγώνου πλευρᾷ, ἡ δὲ ΔΖ τῇ τοῦ δεκαγώνου. ἡ ΒΖ ἄρα πενταγώνου, ὄντι πλευρά. ἐπεὶ οὖν διὰ τῆς γραμμικῆς διέξεως διέδειχται ἡμῖν ἥτε τοῦ δεκαγώνου καὶ τοῦ πενταγώνου, ἐξῆς καὶ τῆς πολικότητος αὐτῶν τὴν εὕρεσιν ποιησόμεθα, οἷον ὄντιν ἡ διαμέτρου ρκ. ἐπεὶ γὰρ ὡς ἔφαμεν ὑπόκειται ἡ τοῦ κύκλου διαμέτρου ρκ τμημάτων, ἓν αὖ ἡ μὲν ΔΓ ξ, ἡ δὲ ΔΕ ἡμίσεια οὖσα αὐτῆς λ, ἡ τὸ ἀπ' αὐτῆς ϡ. ἔστι δὲ Ⓒ ἡ ΒΔ ξ, καὶ τὸ ἀπ' αὐτῆς ͵α χ. τὰ ἄρα ἀπὸ τῶν ΕΔ ΔΒ, τουτέστι τὸ ἀπὸ τῆς ΒΕ τῶν ὠδὶ τὸ αὐτὸ σωματομένων ὄντι δφ. καὶ μήκει ἄρα ἔσαι ἡ ΒΕ, τουτέστιν ἡ ΕΖ, ξζ δ νε ἔγγιστα. ὡς ἐξῆς τοῦ θεωρήματος ἀποδείξομεν περὶ τῆς εὑρέσεως τῆς τοῦ τετραγώνου πλευρᾶς τὸν λόγον ποιούμενοι. ἔστι δὲ ἡ ΔΕ λ. καὶ λοιπὴ ἄρα ἡ ΔΖ ἔσαι λζ δ νε ἔγγιστα. ἡ ἄρα τοῦ δεκαγώνου πλευρὰ ὑποτείνουσα πεφερείαν μοιρῶν λς, οἷον ὄντιν ὁ κύκλος τξ. (αἱ γὰρ λς μοῖραι δεκάτον ὄντι τῶν τξ τοῦ ὅλου κύκλου) τοιούτων ὄντιν λζ δ νε οἷον ἡ διαμέτρου ρκ. ἐπεὶ οὖν τὴν ΔΖ ἀπεδείξαμεν τμημάτων οὖσαν λζ δ νε, ἔσαι Ⓒ τὸ ἀπ' αὐτῆς ατοε δ ιε, ὡς μικρῷ πρόσθεν ἐν τοῖς πολλαπλασιασμοῖς ἀπεδείξαμεν. ἔστι ἢ Ⓒ τὸ ἀπὸ τῆς ΒΔ ΓΧ, ἃ ὧν τὸ αὐτὸ σωματούμενα, ποιεῖ τὸ ἀπὸ τῆς ΖΒ τετραγώνου δ ϡοε δ ιε. καὶ μήκει ἄρα ἔσαι ἡ ΒΖ, ο λβ ι, καὶ ἡ τοῦ πενταγώνου πλευρὰ ὑποτείνουσα δι' τὰ αὐτὰ μοιρὰς ο Β, οἷον ὄντιν ὁ κύκλος τξ, τοιούτων ἔσαι ο λβ ι, οἷον ἡ διαμέτρου ρκ. δῆλον δὲ ὅτι καὶ ἡ τοῦ ἐξαγώνου πλευρὰ ὑποτείνουσα μοιρὰς ξ. οἷον ὄντιν ὁ κύκλου τξ, Ⓒ ἴση οὖσα τῇ ἐκ τοῦ κέντρου τοῦ κύκλου, ἔσαι καὶ αὐτὴ, τμημάτων ξ, οἷον ἡ διαμέτρου ρκ. πάλιν ἐπεὶ τοῦ τετραγώνου πλευρὰ διπλασίων ὄντι τῆς ἐκ τοῦ κέντρου, ἴσον γὰρ δύναται δυσὶ ταῖς ἐκ τοῦ κέντρου περιεχόσαις ἴσῃ ὑποτείνει ὀρθῇ γωνίᾳ, ἐδείχθη ἢ Ⓒ ϝῃ ἴσῃ τρισκαιδεκάτῳ τῶν στοιχείων ὅτι ἡ τ πριγώνου πλευρὰ διπλασίων ὄντι τῆς αὐτῆς ὄντι τριπλασίων, καὶ ἔστι τὸ ἀπὸ τῆς ἐκ τοῦ κέντρου ΓΧ. τὸ μὲν ἄρα ἀπὸ τῆς τοῦ τετραγώνου πλευρᾶς ἔσαι ξσ. τὸ δὲ ἀπὸ ϝῃ τοῦ πριγώνου μυρίων ακ καὶ ῳ. καὶ μήκει ἄρα ἔσαι ἡ μὲν τοῦ τετραγώνου πλευρὰ ὑποτε-



νουσα μοιρῶν λη, οἵων ὅλη ὁ κύκλος τξ τμημάτων πδ νά ι', οἵων διαμετρος ρκ, ἡ δὲ τῆς τετραγώνου ὑποτείνουσα καὶ αὐτὴ περιφερείας ρκ μοιρῶν, τῶν αὐτῶν ρη νε κζ'.

Αἱ δὲ μὴ ὧν ὅτως ἡμῖν ἐξ ἐροίμεθ' ἑκάστας ἐκ τῶν παρὰ τῷ στοιχείῳ τῆι θεωρημάτων δεδώκαμεν. Καθ' ἑαυτὰς μὲν οὖν λέγομεν, ἐπεὶ ἑκάστη τούτων ἐξ οἰκείας τινὸς προτάσεως δείκνυται, ἐξῆς δὲ μᾶλλον ἐκ μιᾶς προτάσεως πλείονας ποιεῖσθαι διαδοχὴν φησίν, καὶ ἔστι φανερὸν γενόμενον ὅτι πασῶν τῶν δεδομένων εὐθειῶν, ἐξ ὧν εὐχερὴς δίδοται καὶ ὑπὸ τὰς λεπτάσας εἰς τὸ ἡμικύκλιον ὑποτείνουσαι εὐθεῖαι. διὰ τὸ τὰ ἀπ' αὐτῶν συμβαίνοντα, ποιεῖν τὸ ἀπὸ τῆς διαμέτρου τετράγωνον. ἐὰν γὰρ γράψωμεν ἡμικύκλιον τὸ αβγ, ὧν διαμετρος τ αγ, καὶ ἀπολάβωμεν τῆς αβ περιφέρειαν μοιρ. λς, καὶ ἐπιζεύξωμεν τὰς αβ βγ, ἔσαι ὡς ἀπελείχθη ἡ αβ εὐθεῖα τμημάτων λζ δ νέ, καὶ τὸ ἀπ' αὐτῆς ἀτοε δ ιέ. τὸ δὲ ἀπὸ τῆς διαμέτρου μυριαδ. α καὶ δυ, καὶ ἔσιν ὀρθὴ ἡ πρὸς τῷ β γωνία. τὸ ἄρα ἀπὸ τῆς αγ, ἴσον ἐστὶ τοῖς ἀπὸ τ αβ βγ. ἐὰν οὖν ἀπὸ τ αγ τετράσι μυριαδ. α καὶ δυ ἀφέλωμεν τὸ ἀπὸ τ αβ τετράσι τὰ ἀτοε δ ιέ, καταλειφθήσεται ἡμῖν τὸ ἀπὸ τῆς βγ μυρίων α ͵ϡπδ νέ, αὐτὴ δὲ ἡ βγ εὐθεῖα ρεῖά ζ λξ, ὥστε ἡ βγ ὑποτείνειν καὶ αὐτὴ τὰς λφπδ ταῖς λς μοιρᾶις, εἰς τὸ ἡμικύκλιον μοιρὰς ρμδ, ἔσαι τμημάτων ρεῖά ζ λξ, οἵων ἡ διάμετρος ρκ. ἀπολάβωμεν δὲ πάλιν ὧν τ αὐτοῦ θεωρήματος τῇ αὐτῇ ἀρχαίᾳ προσχρησάμενοι, ὑποτιθέμενοι τῆς αβ περιφέρειαν μοιρῶν ο β, καὶ ἔχοντες τὴν ὑπὸ αὐτὴν εὐθεῖαν, εὑρήσομεν καὶ τὴν ὑποτείνουσαν τὰς λειπάσας εἰς τὸ ἡμικύκλιον μοιρὰς ρη, τμημάτων λζ δ νς. καὶ ὁμοίως ἀπὸ τῆς ὑπὸ τὰς ρκ, εὑρήσομεν τὴν ὑπὸ τὰς ρκ, ρζ νέ κζ, οἵων ἡ διάμετρος ρκ. Τούτων θεωρηθέντων ἐξῆς αὖ εἰς διαλαβεῖν, πῶς αὖ δοθέντος χωρίου τινὸς τετραγώνου μὴ ἔχοντος πλευρὰν μήκει ῥητήν, τῇ σωιεργοῦσι αὐτὸ τετραγωνικὴν πλευρὰν ἐπιλογισώμεθα. καὶ ἔστι τὸ τοιοῦτον διὰ τοῦδε τοῦ ῥητὴν ἔχοντος πλευράν, ἐκ τοῦ δ θεωρήματος τοῦ β βιβλίου τῶν στοιχείων, οὗ ἡ πρότασις ἔστι τοιαύτη. ἐὰν δοθεῖα γραμμὴ τμηθῇ ὡς ἔτυχε, τὸ ἀπὸ τῆς ὅλης τετράγωνον ἴσον ἐστὶ τοῖς τε ἀπὸ τῶν τμημάτων τετραγώνοις, καὶ δὶς τῷ ὑπὸ τῶν τμημάτων περιεχομένῳ ὀρθογωνίῳ. ἐὰν γὰρ ἔχοντες δοθῆναι εὐθεῖαν τετράγωνον ὡς τὸ ρμδ, ῥητὴν ἔχουσα πλευράν ὡς τὴν αβ δοθεῖαν, καὶ λαβόντες αὐτῷ ἐλάσσονα τετράγωνον τὸ ρ, οὗ δοθεῖσα ἡ πλευρὰ ι, ᾗ ὑποθέμενοι τὴν αγ ι, διπλασιάσαντες αὐτὴν, διὰ τὸ δίς εἶναι τὸ ὑπὸ τῶν τμημάτων, τὰ γινόμενα κ περιβάλλωμεν περὶ τὰ λοιπὰ μδ, τὰ ὑπολειπόμενα δ ἔσαι τὸ ἀπὸ τῆς βγ, αὕτη δὲ μήκει β, ὧν ἡ αγ ι, καὶ ὅλη ἄρα ἡ αβ ἔσι μοιρ. ιβ ὅπερ ἐδεῖ δεῖξαι. Ἵνα δὲ μὴ ἐπίλυσις τῶν τῇ σωτάξει περιεχομένων ἀεὶ θεμῶν ὑπὸ ὄψιν ἡμῖν γένηται ἡ τοῦ μέρους ἀφαιρέσεως διάκρισις, ποιησάμεθα τὴν ἀπόδειξιν ὧν τὸ δ φ ἀείθμου, οὗ τῆς πλευρὰν δεήσει θέσθαι μοιρῶν ξ δ νέ. ἐκκείσθω χωρίον τετραγωνικὸν τὸ αβγδ, διπλασίονα μόνον ῥητὸν, οὗ τὸ ἐμβαδὸν ἔσω μοιρῶν δ φ, καὶ δίχα τετμήσθω ἡ αβ κατὰ τὸ ε, καὶ ἀπὸ τοῦ ε τῇ βγ παράλληλος ἤχθω ἡ εζ, καὶ ἀναγεγράφθω τὸ βζ, καὶ ἐκβεβλήσθω ἡ ζε ἐπὶ τὸ η, καὶ κείσθω τῇ εη ἴση ἡ εθ, καὶ ἐπεζεύχθωσαν αἱ αθ θβ. ἐπεὶ οὖν ἡ αβ τῇ βγ ἐστὶν ἴση, καὶ ἡ μὲν αε τῇ βζ ἐστὶν ἴση, ἡ δὲ εθ τῇ ζη, δύο δὴ αἱ αε εθ δυσὶ ταῖς βζ ζη ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, καὶ γωνία ἡ πρὸς τῷ ε γωνίᾳ τῇ πρὸς τῷ ζ ἴση· ὀρθὴ γὰρ ἑκατέρα· βάσις ἄρα ἡ αθ βάσει τῇ θβ ἐστὶν ἴση, καὶ τὸ αεθ τρίγωνον τῷ βεζ τριγώνῳ ἴσον ἐστὶ καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται ἑκατέρα ἑκατέρᾳ, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ αθε γωνία τῇ ὑπὸ βθε γωνίᾳ· καὶ ἐπεὶ ἡ ὑπὸ βθε γωνία τῇ ὑπὸ θβζ ἐστὶν ἴση, καὶ ἡ ὑπὸ αθε ἄρα τῇ ὑπὸ θβζ ἐστὶν ἴση· ἡ ὑπὸ αθβ ἄρα γωνία διπλασίων ἐστὶ τῆς ὑπὸ θβζ. ἐὰν δὴ τῇ ὑπὸ αθβ γωνίᾳ ἴση γωνία συσταθῇ πρὸς τῇ θ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ θ, ἡ ὑπὸ θβζ ἔσται· ἐὰν δὲ

ἀπὸ πλευρᾶς τυγχάνουσι ἑξηκοστά, καὶ ἑκάστη τῆς πλευρᾶς τοῦ αβγδ τετραγώνου μοιρῶν τυγχάνοντος· ὅθεν ἕξ ἑκάστη ἐγίνετο. καὶ καθόλου ἐὰν ζητῶμεν ἀριθμοῦ τινος τὴν τετραγωνικὴν πλευράν, λαμβάνομεν πρῶτον τοῦ σύνεγγυς τετραγώνου ἀριθμοῦ τὴν πλευράν, εἶτα ταύτῃ διπλασιάζοντες, καὶ πρὸς τὸν γνόμονα ἀριθμόν, μειζόντων τὸν λοιπὸν ἀριθμόν, ἀναλυθέντα εἰς πρῶτα ἑξηκοστά, ἀπὸ τοῦ ἐκ τῆς παραβολῆς γινομένου, ἀφαιροῦμεν τετράγωνον, καὶ ἀναλύοντες πάλιν τὰ ὑπολειπόμενα εἰς πρῶτα ἑξηκοστά, καὶ μειζόντων παρὰ τὸν διπλασίονα τῶν μοιρῶν καὶ ἑξηκοστά, ἕξομεν ἐγγὺς τὸν ἐπιζητούμενον τῆς πλευρᾶς τοῦ τετραγωνικοῦ χωρίου ἀριθμόν. Προαποδείξας οὖν τὰς τῶν ὑποτεινουσῶν τὰς εἰρημένας περιφερείας ῥυθειῶν πηλικότητας, τουτέστι τῆς τε ὑπὸ τὰς λς, καὶ τῆς ὑπὸ τὰς οβ, καὶ τῆς ὑπὸ τὰς ξ, καὶ λῆ, καὶ ρκ, καὶ ρμδ, καὶ ἔτι τῆς ὑπὸ τὰς ρη, ἐκτίθεται λημμάτιον ῥύχρησον πάνυ πρὸς τὸ ἀπὸ τούτων τὴν τῶν λοιπῶν καταλῆψιν προχειρότερον ἐφοδεύειν. οὗ ἡ πρότασις ἔστι τοιαύτη. ἐὰν εἰς κύκλον τετράπλευρον ἐγγραφῇ, τὸ ὑπὸ τῶν δύο γωνίων αὐτοῦ περιεχόμενον ὀρθογώνιον, ἴσον ὄντι σωαμφοτέροις τοῖς ὑπὸ τῶν ἀπεναντίων τοῦ τετραπλεύρου πλευρῶν περιεχομένοις ὀρθογωνίοις. καὶ ἐπεὶ σαφὲς ὄντι μὴ εἰς τοῦτο αὐτῷ ἐκτιθήμενον ἀποδείξεις, ἔχει δέ τινα φιλόπονα ᾠήσασιν, δέα τὸ τὴν δεῖξιν αὐτὸν ποιεῖσθαι, ὡς αὐτίκα οὐσῶν τῶν γωνιῶν τῶν ὑπὸ τῆς τομῆς τῆς διαγωνίου γεγενημένων, ἵνα μὴ δέῃ τὸ τοιοῦτον θεώρημα παραλείπωμεν, ἡμεῖς ὡς ἴσων αὐτῶν οὐσῶν τὴν ἀπόδειξιν ποιησόμεθα. ἔστω γὰρ κύκλος ἐγγεγραμμένον ἔχων τετράπλευρον τὸ αβγδ, ἐπεζεύχθωσαν αὐτῶν διαγώνιοι αἱ αγ βδ, καὶ ἴση ἔστω ἡ ὑπὸ αβδ γωνία, τῇ ὑπὸ γβδ, λέγω ὅτι τὸ ὑπὸ τ αγ βδ περιεχόμενον ὀρθογώνιον, ἴσον ὄντι σωαμφοτέροις τοῖς ὑπὸ τῶν αβ γδ, καὶ λα, βγ, περιεχομένοις ὀρθογωνίοις. ἐπεὶ γὰρ ἴση ὄντι ἡ ὑπὸ αβδ γωνία τῇ ὑπὸ γβδ, ἔστι δὲ καὶ ἡ ὑπὸ βδα τῇ ὑπὸ βγα ἴση (ἐπὶ γὰρ τῆς αὐτῆς περιφερείας τῆς αβ βεβήκασι) λοιπὴ ἄρα ἡ ὑπὸ βαδ λοιπῇ τῇ ὑπὸ βζγ ὄντι ἴση. ἰσογώνιον ἄρα ὄντι τὸ αβδ τρίγωνον τῷ βαζ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ βδ πρὸς τὴν δα, οὕτως ἡ βγ πρὸς τὴν γζ. τὸ ἄρα ὑπὸ τῶν βδ γζ περιεχόμενον ὀρθογώνιον ἴσον ὄντι τῷ ὑπὸ τῶν δα βγ περιεχομένῳ ὀρθογωνίῳ. πάλιν ἐπεὶ ἴση ὄντι ἡ ὑπὸ αβδ τῇ ὑπὸ γβδ, ἔστι δὲ καὶ ἡ ὑπὸ βαζ ἴση τῇ ὑπὸ βδγ, λοιπὸν ἄρα ὅτι ἡ ὑπὸ βζα ἴση ὄντι, τῇ ὑπὸ βγδ. ἔστιν ἄρα ὡς ἡ βδ πρὸς τὴν δγ, οὕτως ἡ βα πρὸς τὴν αζ. τὸ ἄρα ὑπὸ τῶν βδ αζ ἴσον ὄντι τῷ ὑπὸ τῶν δγ βα, ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τοῦ βδ, γζ, ἴσον τῷ ὑπὸ τῶν δα βγ, τὸ ἄρα ὑπὸ τῶν αγ βδ, ἴσον ὄντι σωαμφοτέροις τοῖς τε ὑπὸ τῶν αβ δγ, καὶ τοῖς ὑπὸ τῶν αδ βγ. ἀποδείξας οὖν τὸ τοιοῦτον λημμάτιον, ἐξῆς προσχρῆται αὐτῷ εἰς ἑτέρων ῥυθειῶν καταλῆψιν. καὶ ἐκβεβλήσθω πάλιν ἡμικύκλιον τὸ αβγδ, περὶ διάμετρον τὴν αδ, καὶ διαγαγὼν ἀπ' ἄκρας τῆς διαμέτρου δύο διαμένουσας ῥυθείας τὰς αβ αγ, καὶ ἐπιζεύξας τὴν βγ, φησίν, λέγω ὅτι καὶ αὐτὴ διάμενοτα. ἐπιζεύξας γὰρ πάλιν τὴν τε βδ καὶ τὴν γδ, ἐρεῖ ὅτι ἐν κύκλῳ τετράπλευρον ὄντι τὸ αβγδ, τὸ ἄρα ὑπὸ τῶν αγ βδ ἴσον ὄντι σωαμφοτέροις τοῖς τε ὑπὸ τῶν αβ γδ, καὶ τοῖς ὑπὸ τῶν αδ βγ. καὶ ἐπεὶ διάμενοτα ἥτε αβ καὶ ἡ αγ, διάμενοται ἄρα καὶ αἱ βδ, γδ, δέα τὸ λειπεῖν αὐτὰς εἰς τὸ ἡμικύκλιον. διάμενοται δὲ καὶ ἡ α δ διάμετρος, διάμενοτα ἄρα αἱ ε, αἱ αβ αγ βδ γδ α δ. καὶ ἐπεὶ τὸ ὑπὸ τῶν αγ βδ ἴσον ὄντι σωαμφοτέροις τοῖς τε ὑπὸ τῶν αβ γδ, καὶ τοῖς ὑπὸ τῶν αδ βγ, λείψαντος ἀπὸ τοῦ ὑπὸ τῶν αγ βδ διαμένοντος, ἀφελόντες τὸ ὑπὸ τ αβ γδ, διαμένοντος, καταλειφθήσεται καὶ λοιπὸν τὸ ὑπὸ τῶν αδ βγ διαμένον, καὶ διάμενοται ἡ α δ. διάμενοται ἄρα καὶ ἡ βγ ῥυθεῖα.





Καὶ φανερὸν ἡμῖν γέγονε ὅτι ἐὰν δοθῶσι δύο περιφέρειαι, καὶ αἱ ὑπ' αὐτὰς ῥυθεῖαι, καὶ ἡ τῶν περοχλῶν τῶν δύο περιφερειῶν ὑποτείνουσα ῥυθεῖα δοθήσεται. δῆλον δὲ ὅτι διὰ τούτου τοῦ θεωρήματος ἄλλας τε οὐκ ὀλίγας ῥυθείας ἐγγράψομεν, καὶ δὴ καὶ τὴν ὑπὸ τὰς ιβ μοίρας, ἐπειδήπερ ἔχομεν τὴν ὑπὸ τὰς ξ, καὶ τὴν ὑπὸ τὰς οβ.

Φανερὸν δὲ φησιν ὅτι διὰ τούτου τοῦ λημματίου ἄλλας τε οὐκ ὀλίγας εὐθείας εἰς τὸν κανόνα ἐγγραψομεν, καὶ δὴ καὶ τὰς ὑπὸ τὰς τῶν δεδομένων περιφερειῶν ὧν αἱ ὑπ' αὐτὰς εὐθεῖαι δέδονται, ὑπεροχὰς ὑποτεινούσας εὐθείας. διαγαγόντες γὰρ πάλιν ἀπ' ἄκρας τῆς διαμέτρου τὴν ὑποτείνουσαν τὰς λ̄ς μοιρὰς τῆς περιφερείας, καὶ τὴν τὰς ξ̄, εὑρήσομεν καὶ τὴν ὑποτείνουσαν τῆς ὑπεροχὴν αὐτῶν, τουτέστι τὰς κ̄δ. καὶ πάλιν διαγαγόντες τῆς ὑποτείνουσαν τὰς κ̄δ καὶ τὰς ο̄β, εὑρήσομεν καὶ τὴν ὑποτείνουσαν τὴν ὑπεροχὴν αὐτῶν τὰς μ̄η. καὶ πάλιν διαγαγόντες τὴν ὑπὸ τὰς μ̄η, καὶ τὴν ὑπὸ τὰς λ̄, εὑρήσομεν καὶ τὴν ὑποτείνουσαν τὰς μ̄β. καὶ ὁμοίως πλείστας εὑρήσομεν. καὶ δὴ ὡς ἔφη καὶ τὴν ὑπὸ τὰς ῑβ μοιρὰς τῆς περιφερείας ὑποτείνουσαν εὐθεῖαν, ἐπειδήπερ ἔχομεν τὴν ὑπὸ τὰς ξ̄, καὶ τὴν ὑπὸ τὰς ο̄β. ὧν γὰρ τῆς αὐτῆς καταγραφῆς ὑποθέμενος τήν τε ᾱβ τοῦ ἑξαγώνου πλευρὰν, τμημάτων οὖσαν ξ̄ οἵων ἡ διαμετρος ρ̄κ, ὑποτείνουσαν δὲ περιφέρειαν μοιρῶν ξ̄, οἵων ὁ κύκλος τ̄ξ, καὶ τὴν ᾱγ τοῦ πενταγώνου πλευρὰν τμημάτων οὖσαν ο̄ λβ' ι', ὑποτείνουσαν δὲ τῆς ᾱβ̄γ περιφέρειαν μοιρῶν ο̄β, λέγω φησὶν ὅτι καὶ ἡ β̄γ εὐθεῖα δέδοται, ἥτις ὑποτείνει περιφέρειαν μοιρῶν ῑβ, ὑπεροχὴν οὖσαν τῶν ο̄β πρὸς τὰς ξ̄. ἐπεὶ γὰρ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ᾱβ̄γ̄δ, τὸ ἄρα ὑπὸ τῶν ᾱγ, β̄δ διαγωνίων, ἴσον ἐστὶ συναμφοτέροις τοῦ τε ὑπὸ τῶν ᾱβ̄ γ̄δ, καὶ τοῦ ὑπὸ τῶν ᾱδ β̄γ, τουτέστι τοῖς ἀπεναντίον. καὶ ἔστι τὸ μὲν ὑπὸ τῶν ᾱγ, β̄δ διαγωνίων ζ̄τ̄λ ζ λδ'. ἐπειδήπερ ἡ μὲν ᾱγ εὐθεῖα τμημάτων ἐστὶν ο̄ λβ' ι', ὑποτείνει γὰρ περιφέρειαν μοιρῶν ο̄β, ἡ δὲ β̄δ μοιρῶν ρ̄γ νε κι', ὑποτείνει γὰρ τὰς λειπούσας τῶν ξ̄ εἰς τὸ ἡμικύκλιον ρ̄κ, καὶ γίνεται τὸ ὑπὸ ο̄ λβ' ι', καὶ ρ̄γ νε κι', τῶν εἰρημένων ζ̄τ̄λ ζ λδ'. ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ᾱβ γ̄δ, ε̄ω κδ νς' διὰ τὸ τὴν μὲν ᾱβ εὐθεῖαν εἶναι ξ̄, τὴν δὲ γ̄δ ὑποτείνουσαν τὴν γ̄δ περιφέρειαν λείπουσαν τῇ ᾱγ εἰς τὸ ἡμικύκλιον μοιρῶν ρ̄η, τμημάτων εἶναι λ̄ζ δ νς'. καὶ γίνεται πάλιν τὸ ὑπὸ ξ̄ καὶ λ̄ζ δ νς', ε̄ω κ̄δ νς'. ἐὰν οὖν ἀπὸ τῶν ζ̄τ̄λ ζ λδ', τουτέστι τοῦ ὑπὸ τῶν ᾱγ β̄δ ἀφέλωμεν τὰ ε̄ω κ̄δ νς', τουτέστι τὸ ὑπὸ τῶν ᾱβ γ̄δ, καταλειφθήσεται τὸ ὑπὸ τῶν ᾱδ β̄γ, ᾱφ̄ε ιά λδ'. ἀλλ' ἡ ᾱδ διαμετρος ἐστὶν ρ̄κ, καὶ λοιπὴ ἡ β̄γ εὐθεῖα ὑποτείνουσα περιφέρειαν μοιρῶν ῑβ, ἔσται τμημάτων ῑβ λβ' λς' ἀκολούθως τῇ τοῦ κανόνος ἐκδόσει. Τούτου προδειχθέντος, ἑξῆς ἐκτίθηται ἕτερον θεώρημα ἐν ᾧ ἀποδείκνυσι πῶς ἂν δοθείσης τινὸς περιφερείας, καὶ τῆς ὑπ' αὐτὴν εὐθείας, ἡ τὴν ἡμίσειαν τῆς αὐτῆς περιφερείας ὑποτείνουσα δοθῇ. καὶ ἐκθέμενος πάλιν ἡμικύκλιον τὸ ᾱβ̄γ, ὧν διαμέτρου τῆς ᾱγ, καὶ ἀπειληφὼς τὴν β̄γ περιφέρειαν δοθεῖσαν, καὶ τὴν ὑπ' αὐτὴν περιφέρειαν εὐθεῖαν δοθεῖσαν, καὶ τεμὼν δίχα τὴν β̄γ περιφέρειαν κατὰ τὸ δ̄, καὶ ἐπιζεύξας τὴν δ̄γ, δείκνυσι καὶ ταύτην δεδομένην ὑποτείνουσαν τὴν ἡμίσειαν τῆς δοθείσης περιφερείας τῆς β̄γ. ἐπιζεύξας γὰρ τὰς ᾱβ ᾱδ β̄δ, καὶ καθέτον ἀπὸ τοῦ δ̄ ἀγαγὼν ὑπὸ τῆς ᾱγ τὴν δ̄ζ, ὑποθέμενος τε ἴσην τῇ ᾱβ τὴν ᾱε, καὶ ἐπιζεύξας τὴν δ̄ε, λέγω φησὶν ὅτι ἡ ζ̄γ ἡμίσεια ἐστὶ τῆς ὑπεροχῆς τῆς ᾱγ πρὸς τὴν ᾱβ, ὡς συντελοῦντος ἐν αὐτῷ τούτου εἰς τὸ πρόχειρον τῆς προκειμένης ἀποδείξεως. ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ᾱβ τῇ ᾱε, κοινὴ δὲ ἡ ᾱδ, ἀλλὰ καὶ γωνία ἡ ὑπὸ β̄ᾱδ γωνίᾳ τῇ ὑπὸ δ̄ᾱγ ἴση, ἐπεὶ καὶ ἡ γ̄δ περιφέρεια τῇ δ̄β, βάσις ἄρα ἡ β̄δ εὐθεῖα, βάσει τῇ δ̄ε ἐστὶν ἴση. ἀλλὰ ἡ β̄δ τῇ δ̄γ ἐστὶν ἴση. καὶ ἡ ε̄δ ἄρα τῇ δ̄γ ἐστὶν ἴση. ἰσοσκελὲς ἄρα ἐστὶ τὸ δ̄ε̄γ τρίγωνον. καὶ ἐπεὶ ἐν ἰσοσκελεῖ τριγώνῳ ἀπὸ τῆς κορυφῆς ὧν τὴν βάσιν κάθετος ἦκται ἡ δ̄ζ, ἴση ἐστὶν ἡ ε̄ζ τῇ ζ̄γ, ἡμίσεια ἄρα ἡ ζ̄γ τῆς ε̄γ. ἀλλὰ ἡ ε̄γ ὑπεροχή ἐστι τῆς ᾱγ πρὸς τὴν ᾱβ, καὶ ἡ ζ̄γ ἄρα ἡμίσεια ἐστὶ τῆς τῶν αὐτῶν ὑπεροχῆς. καὶ ἐπεὶ ὑπόκειται δοθεῖσα ἡ β̄γ εὐθεῖα, δέδοται δὲ καὶ ἡ β̄α λείπουσα αὐτῇ εἰς τὸ ἡμικύκλιον. τουτέστιν ἡ ᾱε, δοθείσης ἢ καὶ τῆς διαμέτρου τῆς ᾱγ, καὶ λοιπὴ ἡ ε̄γ δέδοτο. ὥστε καὶ ἡ ἡμίσεια αὐτῆς ἡ ζ̄γ ἔσται δεδομένη. καὶ ἐπεὶ ὀρθή ἐστιν ἡ ὑπὸ ᾱδ̄γ ἐν ἡμικυκλίῳ οὖσα, ὀρθὴ ἢ καὶ ἡ ὑπὸ δ̄ζ̄γ, καὶ κοινὴ ἡ ὑπὸ ᾱγ̄δ τοῦ τε ᾱδ̄γ ὀρθογωνίου, καὶ τοῦ δ̄ζ̄γ, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ δ̄ᾱγ, λοιπῇ τῇ ὑπὸ γ̄δ̄ζ ἴση ἐστίν. ἰσογώνια ἄρα ἐστὶ τὰ ᾱδ̄γ, δ̄ζ̄γ τρίγωνα. ἔστιν ἄρα ὡς ἡ ᾱγ πρὸς τὴν γ̄δ, οὕτως ἡ δ̄γ πρὸς τῆς γ̄ζ. αἱ τρεῖς ἄρα εὐθεῖαι, αἱ ᾱγ γ̄δ γ̄ζ, ἀνάλογόν εἰσι. τὸ ἄρα ὑπὸ τῶν ᾱγ γ̄ζ, ἴσον ἐστὶ τοῦ ἀπὸ τῆς δ̄γ. καὶ ἐπεὶ δέδοται ἡ ᾱγ, δέδοται δὲ καὶ ἡ γ̄ζ, δέδοται ἄρα τὸ ὑπὸ τῶν ᾱγ γ̄ζ. ὥστε καὶ τὸ ἀπὸ τῆς γ̄δ δέδοτο, καὶ αὐτὴ ἡ γ̄δ ἔσται δεδομένη μήκει, ἥτις ὑποτείνει τῆς ἡμίσειαν τῆς β̄γ περιφερείας δοθείσης, καὶ φησί, Καὶ διὰ τούτου δὴ πάλιν τοῦ θεωρήματος, καὶ ἄλλαι τε πλεῖσαι ληφθήσονται, καὶ τὰ ἑξῆς. Ὅτι ἢ μείζων ἐστὶν ἡ ᾱζ τῆς ᾱβ, τουτέστιν ὅτι ἀπὸ τοῦ ᾱ τῇ ᾱβ ἴσης τιθεμένης τῆς ᾱε, τὸ ζ̄ μεταξὺ τῶν ε̄γ πίπτει, δείξομεν οὕτως. ἐπεζεύχθω ἡ ζ̄β. καὶ ἐπεὶ μείζων ἐστὶν ἡ γ̄δ τῆς δ̄ζ, ἴση ἢ ἡ γ̄δ τῇ δ̄β, μείζων ἄρα καὶ ἡ β̄δ τῆς δ̄ζ. ὥστε καὶ γωνία ἡ ὑπὸ β̄ζ̄δ μείζων ἐστὶ τῆς ὑπὸ δ̄β̄ζ.

καὶ

καὶ ἐπεὶ ἡ ὑπὸ ΑΒΔ γωνία τῆς ὑπὸ ΔΖΑ ὀρθῆς, ὧν ἡ ὑπὸ ΔΒΖ ἐλάττων ἐστὶ τῆς ὑπὸ ΒΖΔ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΒΖ πολλῷ μείζων ἐστὶ τῆς ὑπὸ ΑΖΒ. ὥστε καὶ πλευρὰ ἡ ΑΖ πλευρᾶς τῆς ΑΒ τοιούτων ἐστὶ μείζων ἐστίν. Εὑρίσκεται δὲ ἐκ τῶν ἐπιλογισμῶν ἡ μὲν πλὴ Α Ϛ μοιρῶν ὑποτείνουσα εὐθεῖα τοιούτων Ā λδ ιε′ ἔγγιστα, οἵων ἐστὶν ἡ διαμέτρος ρκ, ἡ δὲ ὑπὸ πλὴ Ϛ δ τῶν αὐτῶν ο μζ ἡ′ ἔγγιστα τὸν τρόπον τοῦτον. ἔστω γὰρ διὰ τοῦ αὐτοῦ θεωρήματος ἐκ τῆς ὑπὸ τὰς ΙΒ μοίρας εὑρεθεῖσα ὡς ἔφαμεν ἥτε ὑπὸ τὰς Ϛ καὶ ἡ ὑπὸ τὰς Γ. καὶ ἔστω ἡ ὑπὸ τὰς Γ μοίρας ὑποτείνουσα εὐθεῖα ἴσα τοῖς ἑκατὸν ἑξήκοντα, τμημάτων Γ ἡ κϛ′, καὶ διὰ τοῦ ἔστω εὑρεῖν ἡμᾶς διὰ τῶν ἐπιλογισμῶν τὴν ὑπὸ τὴς Ā Ϛ, λαμβάνομεν οὖν ἡμεῖς διὰ τοῦ τμημάτων οὖσαν Ā λδ ιε′. ὑποκείσθω οὖν ἡ ΒΓΔ περιφέρεια μοιρῶν Γ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα Γ ἡ κϛ′, ἔσται ἄρα καὶ ἡ ΑΒ εὐθεῖα ὑποτείνουσα τὰς λοιπούσας εἰς τὸ ἡμικύκλιον μοίρας ρο Ζ, διὰ τοῦ αὐτοῦ λαμβανομένη καθὼς καὶ ἡ τοῦ κανόνος ἔνθεσις ποιεῖ ἔχει ριθ νΖ ΛΒ′, τουτέστιν ἡ ΑΕ, ἡ λοιπὴ πάλιν ἡ ΕΓ ἔσται ο Β κϛ′, ἡ δὲ Ζ ἡμίσεια αὐτῆς οὖσα ο Ā ιδ′. ἔστι δὲ καὶ ἡ ΑΓ διάμετρος ρκ. τὸ ἄρα ὑπὸ τῶν ΑΓ, ΓΖ, τουτέστι τὸ ἀπὸ τῆς ΔΓ, συναχθήσεται μοιρῶν Β κϛ. ἐμάκει ἄρα ἡ ΔΓ ἔσται Ā λδ ιε′ εὑρημένη λαμβανομένη ἡμῖν μέθοδον, οὕτως διαγράψας τετράγωνον χωρίον, ἀφαιρῶ ἀπ' αὐτοῦ ἔλασσον τετράγωνον, οὗ ἡ πλευρὰ μοιρᾶς ὄντι Ā, καὶ τὸ ἐμβαδὸν ὁμοίως μοιρᾶς Ā. οὗτος γὰρ ὁ ἀριθμὸς ὄντι ἔγγιστα ἐλάσσων τετράγωνος τοῦ ἀριθμοῦ, οὗ ἡ τετραγωνικὴ ζητεῖται πλευρά. καὶ ἀφαιρῶ τὴν μοῖραν ἐκ τῶν Β κϛ, τὴ λοιπὴν μοῖραν Ā ἀναλύω εἰς ἑξηκοστὰ πρῶτα ξ, τούτοις προστίθημι κϛ τὰ κϛ, γίνονται ὁμοῦ πϛ. ταῦτα μείζω πολὺ τὸν διπλασίονα τῆς Ā μοίρας, τουτέστι τῶν Β, καὶ γίνεται ὁμοιομοιρὸς πολὺ τῶν λδ. λείς ἦ τὰ λδ, γίνονται ξϛ. ὧν ἀφαιρεμένων ἐκ τῶν πϛ, καταλείπονται ἑξηκοστὰ πρῶτα ι. καὶ ἀναλύω αὐτὰ εἰς δευτέρας, τὰ γινόμενα ἑξήκοντα. δευτέρας ασ, ἀφαιρῶ ἀπὸ τούτων τὸν ἀπὸ τῶν λδ πρώτων ἑξηκοστῶν τετράγωνον γινόμενον Β ἑξηκοστῶν ἀρχῆς, καὶ καταλείπονταί μοι Β ἑξηκοστὰ μδ. καὶ πάλιν μείζω ταῦτα πολὺ τὸν διπλασίονα τῆς Ā μοίρας, καὶ τῶν λδ πρώτων ἑξηκοστῶν τουτέστι πολὺ μοίρας Γ ἑξηκοστὰ πρῶτα η, καὶ γίνεται ὁμοιομοιρὸς πολὺ τὸν ιε ἔγγιστα, καὶ εὕρηταί μοι ἡ τὴν Ā Ϛ μοῖραν ἐν περιφερείας ὑποτείνουσα εὐθεῖα τμημάτων Ā λδ ιε′ ἔγγιστα. καὶ ὁμοίως τοῖς αὐτοῖς ἐπιλογισμοῖς καταχρώμενοι, εὑρήσομεν καὶ τὴν ὑπὸ Ϛ δ τῆς περιφερείας ὑποτείνουσαν εὐθεῖαν, ο μζ ἡ′ ἔγγιστα οὕτως. ἀπειλήφθω γὰρ πάλιν ἡ ΒΓΔ περιφέρεια μοιρᾶς Ā Ϛ, καὶ ἐπεζεύχθω ἡ ΒΓ διάμετρος ἀφῃρήσθω τὸ ἀπὸ τῆς ΒΓ τμημάτων Ā λδ ιε′. ἐὰν ἄρα ἀπὸ τοῦ μυρίων ἀδυ τὸν ἀπὸ τῆς διαμέτρου ἀφέλω τὸ ἀπὸ τῆς ΒΓ τμημάτων Ā λδ ιε′. ἐὰν ἄρα ἀπὸ τοῦ μυρίων α δ

καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ ϛβδε, καὶ διηγμέναι εἰσὶν ἐν αὐτῷ δύο διαγώνιοι αἱ βδ, γε δεδομέναι, δέδοτο τὸ ὑπὸ τῶν βδ γε, δέδοται δὲ καὶ τὸ ὑπὸ τῶν βγ δε, καὶ λοιπὸν ἄρα τὸ ὑπὸ τῶν βε γδ δέδοται, καὶ δέδοται ἡ βε διάμετρος, καὶ λοιπὴ ἡ γδ, δέδοτο δὲ καὶ ἡ αδ διάμετρος, καὶ ἡ αγ ἄρα δέδοτο. διὰ τὸ λείπειν αὐτοῦ εἰς τὸ ἡμικύκλιον. Λέγω δὴ ὅτι κἂν συναμφότερος ἥ τε αβ περιφέρεια, καὶ ἡ βγ μείζων ᾖ ἡμικυκλίου δοθήσετο ἡ αγ εὐθεῖα. ὡς γὰρ ὧν τῆς ἐνταῦθα καταγραφῆς διαχθείσης τῶν βζδ διαμέτρου, καὶ ἐπιζευχθεισῶν τῶν αδ δγ, ἐπεὶ δέδοτο ἡ βγ, δέδοται καὶ ἡ γδ, καὶ ὁμοίως δεδομένης τῶν βα, δέδοται καὶ ἡ αδ. καὶ ἐπεὶ ἐν κύκλῳ τετράπλευρόν ἐστι τὸ βαδγ, δέδοται ἄρα καὶ τὸ ὑπὸ τῶν βδ αγ, καὶ δέδοτο ἡ βδ διάμετρος, δέδοται ἄρα καὶ ἡ δγ. ὥστε καὶ καθόλου, ἐὰν δοθῶσι τινὲς οὕτω περιφερειαὶ καὶ αἱ ὑπ' αὐτὰς εὐθεῖαι, καὶ ἡ συναμφοτέρας τὰς περιφερείας ὑποτείνουσα δοθήσετο, διὰ τοι τοιούτου θεωρήματος. Φανερὸν δὴ ὅτι συντιθέντες ἀεὶ μετὰ τῶν προεκτεθειμένων πασῶν, καὶ τὸ ἑξῆς. Καὶ φανερὸν φησὶν ὡς ὅτι ἔχοντες ἐκ τοῦ διχοτομίας θεωρήματος τὴν ὑπὸ τὴν α ς' μοιρὰν καὶ τῶν ὑπὸ τὰς γ, ἐὰν ἑξῆς τῆς ὑπὸ τὰς γ ἐγγράψωμεν τὴν ὑπὸ τῶν ας', ἀκολούθως τοῦ προκειμένου θεωρήματι ἐπιλογιζόμενοι, τὴν τὰς συντεθειμένας ὑφ' ἐν περιφερείας ὑποτείνουσαν εὐθεῖαν, τουτέστι τῶν ὑπὸ τὰς δ ς' εὑρήσομεν. καὶ ἔτι τὴν ὑπὸ τὰς ρ οε ς'. ἔχοντες δὲ καὶ τὴν ὑπὸ τὰς ς ἐκ τῶν διχοτομίας τῶν ιβ, προεκτεθειμένην, διὰ δὲ ταύτην, καὶ τὴν ὑπὸ τὰς ρ οδ, ἕξομεν πάλιν καὶ τὴν ὑποτείνουσαν αὐτὰς κατὰ σύνθεσιν, τουτέστι τὴν ὑπὸ τὰς ζ ς', καὶ ἔτι πάλιν τὴν ὑπὸ τὰς ρο β ς'. καὶ ὁμοίως ἔχοντες τὴν ὑπὸ τὰς ζ ς' καὶ συντιθέντες τὴν ὑπὸ τῶν α ς', εὑρήσομεν τὴν ὑπὸ τὰς θ, καὶ ὁμοίως τὴν ὑπὸ τὰς ρο α. καὶ ἑξῆς ἀκολούθως συντιθέντες ἀεὶ ταῖς προκαταλημμέναις τὴν ὑπὸ τῶν α ς', εὑρήσομεν τὰς καταπαραύξησιν τῶν α ς'. Πάσας ἁπλῶς ἐγγράψομεν, ὅσαι δὶς γενόμεναι, τρίτον μέρος ἕξουσι. Τὸ μὲν ἐγγράψομεν, οὐκ εἰς τὸν κύκλον εἴρηκε τὰς εὐθείας, ἀλλ' εἰς τὸν κανόνα τὰς περιφερείας. δῆλον δὲ καὶ ἐκ τῆς τῶν εὐθειῶν καταλήψεως. οὐ γὰρ αὗται διπλασιαζόμεναι, τρίτον μέρος ἔχουσιν, ἀλλ' αἱ περιφέρειαι αἱ κατὰ παραύξησιν τῶν α ς' μοιρᾶς. ἐνέγραφε δὲ αὐτὰς εἰς τὸν κανόνα μετὰ καὶ τῶν ὑπ' αὐτὰς εὐθειῶν. τὸ δὲ ὅσαι δὶς γενόμεναι τρίτον μέρος ἕξουσι, κοιοῇ τινὶ καὶ μιᾷ ὀνομασίᾳ βουλόμενος δηλῶσαι πάσας τὰς περιφερείας τὰς κατὰ παραύξησιν τῶν α ς' μοιρᾶς, ὧν καὶ τὰς εὐθείας τὸν εἰρημένον τρόπον κατάληφε, ταύτῃ κατεχρήσατο. αὗται γὰρ μόναι πᾶσαι δὶς γενόμεναι τρίτον μέρος ἔχουσι, μὴ διαιρουμένης τῶν μονάδος, οἷον αἱ τρεῖς διπλασιασθεῖσαι καὶ γενόμεναι ς, τρίτον μέρος ἔχουσι τὰς β, καὶ ὁμοίως αἱ δ ς' διπλασιασθεῖσαι καὶ γενόμεναι θ, τρίτον μέρος ἔχουσι τὰς γ, καὶ ἑξῆς ἀκολούθως, καὶ αἱ ἐξαρχῆς εὑρεθεῖσαι καὶ εἰρημέναι ἡμῖν ἐνοῦσαι εἰς τὸ ἡμικύκλιον τῶν κατὰ παραύξησιν εἰσὶ τῶν α ς' μοιρᾶς. προσλαμβάνουσαι γὰρ τὴν α ς' καὶ διπλασιαζόμεναι, τρίτον μέρος ἔχουσιν. ὡς αἱ λς, καὶ ξ, καὶ οβ, καὶ λη, καὶ ρη, καὶ ρκ, καὶ ρμδ, καὶ ἔτι αἱ ἐκ τῆς διχοτομίας, καὶ αἱ λοιπαί. διὸ καὶ φησί. συντιθέντες ἀεὶ μετὰ τῶν προεκτεθειμένων πασῶν, τὴν ὑπὸ τῶν α ς' μοιρὰν, καὶ τὰς συναπτομένας ἐπιλογιζόμενοι, πάσας ἁπλῶς ἐγγράψομεν, ὅσαι δὶς γενόμεναι τρίτον μέρος ἕξουσι, καὶ μόναι ἔτι περιληφθήσοντο, αἱ μεταξὺ τῶν ἀνὰ α ς' μοιρᾶς διαστημάτων, δύο καθ' ἕκαστον ἐσόμεναι. ἐπειδήπερ καθ' ἡμιμοίριον ποιούμεθα τὴν ἐγγραφήν. Δοκεῖ μὲν μετὰ τὴν τοῦ δεκαγώνου καὶ τὴν τοῦ ἑξαγώνου καὶ ἔτι τὴν τοῦ πενταγώνου ἐκ τούτων δειχθεῖσαν, παρελκόντως δεδειχέναι τήν τε τοῦ τετραγώνου καὶ τὴν τοῦ τριγώνου καὶ τὰς λειπούσας εἰς τὸ ἡμικύκλιον, ἢ καὶ ἐκ τῶν ὑπεροχῆς, ἢ καὶ τῶν διχοτομίας, οὐκ ὀλίγας οὔσας ὡς αὐτὸς φησίν. ἤρκει γὰρ ἐκ τῶν ὑπεροχᾶς τῆς τοῦ πενταγώνου καὶ τοῦ ἑξαγώνου εὑρόντα τῶν ὑπὸ τὰς ιβ, καὶ ἐκ τῆς διχοτομίας τῶν ὑπὸ τῶν α ς', τῇ συνθέσει ταύτης πάσας τὰς κατὰ παραύξησιν αὐτῆς μέχρι τῶν ρπ μεταχειρίσασθαι. ἀπέδειξε δὲ καὶ ταύτας τὸν ὑποδεδειγμένον τρόπον φιλοσύντομος ὢν διὰ τὸ προχειρότερον αὐτὰς αὐτῇ λαμβάνεσθαι, ἤπερ ἐκ τοῦ κατὰ σύνθεσιν θεωρήματος. ἐπεὶ οὖν πᾶσαι αὐτῷ ἐπραγματεύθησαν αἱ κατὰ παραύξησιν τῶν α ς' μοιρᾶς ὑποτείνουσαι εὐθεῖαι, βούλεται δὲ ἐν τοῦ κανόνι πρα-





πρᾶγθεῖναι καθὼς ⊄ ἀνωτέρω ἐδείχθη τὰς ηψ παραύξησιν τοῦ ἡμιμοιρίου, ἀναγκαίως ἐπιζητεῖ μεταξὺ τῶν ἀνὰ ᾱ ς΄ μοιρῶν διασημάτων καθ' ἕκαστον διασήματα β̄, οἷον ἐπεὶ εὗρε τῷ ὑπὸ τῆ ᾱ ς΄, ⊄ ἔτι τῷ ὑπὸ τὰς γ̄, ζητεῖται λοιπὸν αὐτῷ ἡ ὑπὸ τὰς β̄, ⊄ ἡ ὑπὸ τὰς β̄ ς΄. ἡ πάλιν ὁμοίως ἐπεὶ εὗρε τῷ ὑπὸ τὰς γ̄ ⊄ τῆ ὑπὸ τὰς δ̄ ς΄, ζητεῖ πάλιν αὐτῷ μεταξὺ διασήματα, τουτέστιν ἥτε ὑπὸ τὰς γ̄ ς΄, ⊄ ἡ ὑπὸ τὰς δ̄, καὶ ἑξῆς πάλιν ἀκολούθως.

Ὥστε ἐὰν τῷ ὑπὸ τὸ ἡμιμοίριον δυθεῖαν εὕρωμεν, αὕτη ηψ τε τῷ σωθέσιμ ⊄ τῷ ὑπεροχῷ τῆ πρὸς τὰς τὰ διασήματα περιεχούσας ⊄ ἀεὶ ὁμώνυμος δυθείας, ⊄ τὰς λοιπὰς μεταξὺ πάσας ἡμῖν σωαναπληρώσῃ. Φησὶν ὅτι ἐὰν τῷ ὑπὸ τὸ ἡμιμοίριον δυθεῖαν εὕρωμεν ταύτῃ τῶν μὲν μετὰ ᾱ ς΄ μοιρᾶς περιλαμβάνοντος, ἀλλὰ τοῦ ηψ σωθέσιμ θεωρήματος, εὑρήσομεν τῆ ὑπὸ τὰς β̄ μοιρὰς ὑποτείνουσαν δυθεῖαν. τῶν δὲ πάλιν ἐφ' ἡμῖν τῆ περοχῆς θεωρήματι, ὡς ἐπὶ τοῦ ἡμιμοιρίου πρὸς τὰς γ̄, εὑρήσομεν τῷ ὑπὸ τὰς β̄ ς΄ μοιρὰς ὑποτείνουσαν. αὕτη γὰρ αὐτῶν δύο ἡ περοχή. ⊄ ἑξῆς ἀκολούθως τὰς ἑφ' ἑκάτερα τῶν ἐπιζητουμένων διασημάτων λαμβάνοντος, ὡς γίνεσθαι τῷ ὑπὸ τῆ ᾱ ς΄ μοιρᾷ ⊄ τῷ ὑπὸ τὰς γ̄ παραλήψεσθαι πρὸς τῆ λεῖψιν τῶν τε β̄ μοιρῶν καὶ τῶν β̄ ς΄, ἀναπληρώσομεν ἅπαντα τὸν κανόνα. Ἐπεὶ δὲ λοιπόν τινος δυθείας ὡς ἐφ' ἡμῖν τῷ ᾱ ς΄ μοιρᾷ, ἡ τὸ γ̄ ἐστὶν αὐτῆς περιφερείας ὑποτείνουσα δυθεῖα οὐδὲ λοιπαί πως εἰσὶν ἀπὸ τῶν γραμμῶν, εἰσὶ γε σωματὸν ὅλῳ, ἔχομεν αὖ καὶ τῆ ὑπὸ τὸ ἡμιμοίριον. Ἐπεὶ φησι λοιπόν τ' ὑπὸ τῆ ᾱ ς΄ μοιρᾷ οὐχ εὑρεῖται πως, ἀλλὰ γραμμικῆς ἀποδείξεως τῆ ὑποτείνουσαν τὸ γ̄ ἐστὶν αὐτῆς περιφερείας, καθάπερ ἐλάμβανε τῆ ὑποτείνουσαν τὸ ς΄ ἐστὶν λοιπόν περιφερείας, εἰ γὰρ ὅλως τὸν ὅλον ἐφοδὸν ἔσαι, αὐτόθεν αὖ ἔχει ⊄ τῷ ὑποτείνουσαν τὸ ἡμιμοίριον, ⊄ ἕτοιμον ἀλλὰ ἐστὶν ἑρμηνεύειν σωθέσεως ἢ καὶ περοχῆς, ἀνεπλήρωσεν αὖ τὸν κανόνα. τούτου οὖν ἀδιαπτώτου τυγχάνοντος, δείκνυσιν ἐγγὺς ἀπό τε ἐστὶν ὑπὸ τῷ ᾱ ς΄, ⊄ ἀπὸ τῆς ὑπὸ τὸ ς΄ δ̄, τῆ ὑποτείνουσαν τῷ ᾱ μοιρᾷ, ἵνα ἑξῆς ἐστὶν ἐφ' ἡμῖν λιχοτομίας θεωρήματι καταχρησάμενος, ἔχῃ ⊄ τῷ ὑπὸ τὸ ἡμιμοίριον. ἀλλ' ἐπεὶ ἡ γενομένη αὐτῷ ἀπόδειξις οὐ καθόλου ἀπαράλακτον φυλάττῃ τῆ κατάληψιν, ὅμως φησὶν ὧν τῶν οὕτως ἐλαχίστων πρὸς τῆ εὕρεσιν τῆς ᾱ μοίρας περιλαμβανόμενον ὡς ἐφ' ἡμῖν τὸ ς΄ δ̄ ⊄ τῆς ὑπὸ τῷ ᾱ ς΄ μοιρᾷ, ἀπαράλακτον χρὴ δὴ φυλάττειν τῷ ἀποδείξει. Ἀρχόμενος οὖν ἐφ' ἀποδείξεως, προεκτίθεται λημμάτιον σωτελοῦν αὐτῷ πρὸς τῆ ἑρμηνεύειν ἀπόδειξιν, οὗ ἡ πρότασις ἔστι τοιαύτη. ἐὰν ᾖ κύκλῳ διαχθῶσι β̄ ἄνισοι δυθεῖαι, ἡ μείζων πρὸς τῆ ἐλάσσονα, ἐλάσσονα λόγον ἔχῃ, ἤπερ ἡ ὅλη τῶν μείζονες δυθείας περιφέρεια πρὸς τῶν ὅλης τῆς ἐλαχίστης. ⊄ ἐκτεθέμενος κύκλον τὸν αβγδ, καὶ διαγαγὼν ἐν αὐτῷ β̄ ἀνίσους δυθείας ἐλάσσονα τῷ αβ, μείζονα δὲ τῷ βγ, τεμοῦσι τε δίχα τῷ ὑπὸ αβγ γωνίαν τῇ βδ δυθείᾳ, καὶ ἐπιζεύξας τῷ τε αεγ, ⊄ τὰς αδ ⊄ δγ, ἑξῆς ἐρεῖ. ἐπεὶ ἡ ὑπὸ αβγ δίχα τέτμηται ὑπὸ τῆς βδ, ἴσῃ μὲν ἔσιν ἡ αδ τῇ δγ. ἐπεὶ καὶ περιφέρεια ἡ αδ τῇ δγ. διὰ τὰς πρὸς τῷ ⊄ τῆς β γωνίας ἴσας εἶναι. μείζων δὲ ἡ γε τῆς εα. διὰ τὸ πάλιν ἴσην εἶναι τῇ μὲν αδ τῇ δγ, ⊄ κοινὴν τῇ δε, ⊄ γωνίαν τῇ ὑπὸ βδγ ἐστὶν ὑπὸ βδα μείζονα. ἐπεὶ καὶ περιφέρεια ἡ βγ περιφερείας ἐστὶ βα μείζων. ὥστε ⊄ βάσιν τῷ γε βάσεως ἐστὶν εα γίνεσθαι μείζονα. ἄγει δὴ πάλιν ἀπὸ τοῦ δ κάθετον τὴν αγ τῇ δζ, καὶ φησὶν ὅτι ὧν ἐστὶν ἑνὸς τῶν τῷ αγ τῇ δζ, καὶ τῆ δλ μείζονα τῆς εα. καὶ ἐπεὶ μείζων δίχα ἡ αδ τῆς δε (τῆ γὰρ μείζονα γωνίαν ὑποτείνει) διὰ τὰ αὐτὰ δὴ καὶ ἡ δε τῆς εζ, ὁ ἄρα κέντρῳ τῷ δ διαστήματι δὲ τῷ δε κύκλος γραφόμενος, τὴν μὲν αδ τεμεῖ, ὑπερ-πεσεῖται δὲ τῇ δζ, καὶ γραφέσθω ὡς τὴν κεθ, καὶ ἐπιβάλλει τῇ δζ ἐπὶ τὸ θ. ἐπεὶ οὖν τὸ μὲν δεζ τρίγωνον ἔλαττόν ἐστι τοῦ δεθ τομέως, τὸ δὲ δεα τρίγωνον μεῖζον τοῦ δεγ τομέως, τὸ δεζ ἄρα τρίγωνον πρὸς τὸν δεθ τομέα ἐλάσσονα λόγον ἔχει, ἤπερ τὸ δεα τρίγωνον, πρὸς τὸν δεγ τομέα. ἀλλ' ὡς μὲν τὸ δεζ τρίγωνον πρὸς τὸ δεα τρίγωνον, οὕτως ἡ ζε βάσις πρὸς τὴν εα, ὡς δὲ ὁ δεθ τομεὺς πρὸς τὸν δεγ τομέα, οὕτως ἡ ὑπὸ ζδε γωνία πρὸς τὴν ὑπὸ εδα γωνίαν. ἡ ἄρα ζε βάσις πρὸς τὴν εα βάσιν, ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ζδε πρὸς τὴν ὑπὸ εδα. ἡ συμβάλλουσα ἄρα, ἡ ζα βάσις πρὸς τὴν αε, ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ ζδα γωνία πρὸς τὴν ὑπὸ αδε. καὶ τῶν ἡγουμένων τὰ διπλάσια, ἡ ἡ γα βάσις πρὸς τὴν αε,



ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ γδα γωνία πρὸς τὴν ὑπὸ αδε, καὶ λιελόντι, ἡ γε δυθεῖα πρὸς τὴν αε, ἐλάσσονα λόγον ἔχει ἤπερ ἡ ὑπὸ γδε πρὸς τὴν ὑπὸ εδα, ἀλλ' ὡς μὲν ἡ γε πρὸς τὴν εα, οὕτως ἡ γβ δυθεῖα πρὸς τὴν βα, ὡς ἐδείχθη ἐν τῷ τρίτῳ τοῦ ἕκτου τῶν στοιχείων, ὅτι αἱ τριγώνου ἡ γωνία δίχα τμηθῇ, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχει λόγον ταῖς τοῦ τριγώνου πλευραῖς. ὡς δὲ ἡ ὑπὸ γδβ γωνία πρὸς τὴν ὑπὸ βδα, οὕτως ἡ βγ περιφέρεια πρὸς τὴν βα, ἡ γβ ἄρα δυθεῖα πρὸς τὴν βα, ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ γβ περιφέρεια πρὸς τὴν βα. ὅτι δὲ οἱ ὦδε ἴσων κύκλων τομεῖς πρὸς ἀλλήλους εἰσὶν ὡς αἱ γωνίαι ἐφ' ὧν βεβήκασι, δέδεικται ἡμῖν, ἐν τῇ ἐκδόσει τῶν στοιχείων πρὸς τῷ τέλει τοῦ ἕκτου βιβλίου. τοῦτο δὲ οὕτω δειχθὲν ἐπὶ τοῦ προκειμένου σχήματος, ἔρχεται ὧδε τὴν εὕρεσιν τῆς ὑποτεινούσης τὴν α μοίραν τῆς περιφερείας, καὶ ἐκτεθείσης κύκλου καὶ διαγραφῆς εἰς αὐτὸν δύο ἀνίσους δυθείας, τήν τε αβ ὑποτείνουσαν περιφέρειαν μοιρῶν ς δ, καὶ τὴν αγ μοίραν α, προσλαμβάνει δὲ προληφθήσεται λημματίῳ, ᾧ φησιν· ἐπεὶ ἡ αγ δυθεῖα πρὸς τὴν αβ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ αγ περιφέρεια πρὸς τὴν αβ, ἡ δὲ αγ περιφέρεια ἐπίτριτός ἐστι τῆς αβ, ἡ γὰρ μία μοῖρα ἔχει τὰ ς δ, ᾧ τὰ τ αὐτῶν, ἡ αγ ἄρα δυθεῖα τῆς αβ ἐλάσσων ἐστὶν ἢ ἐπίτριτος. ἀλλὰ ἡ αβ δυθεῖα ὑποτείνουσα περιφέρειαν μοιρῶν ς δ, ἐδείχθη ἡμῖν ἐν τοῖς ἐπάνω μείζων ἢ ξ ι, οἵων ἡ διαμέτρου ρκ, ἡ ἄρα γα δυθεῖα ἐλάσσων ἐστὶ τῶν αὐτῶν α β ν. ταῦτα γὰρ ἐπίτριτά ἐστιν ἐγγὺς τῶν ο μ ν. ὥστε ἐδείχθη κατὰ ταύτην τὴν σύγκεισιν τοῦ λόγου, ἡ τῆς μίαν μοῖραν τῆς περιφερείας ὑποτείνουσα δυθεῖα ἐλάττων οὖσα α β ν, οἵων ἡ διαμέτρου ρκ. πάλιν ὧδε τῆς αὐτῆς καταγραφῆς, ἡ μὲν αβ δυθεῖα ὑποκείσθω περιφέρειαν μοιρῶν α, ἡ δὲ αγ μοιρῶν α ς'. κατὰ τὰ αὐτὰ δὴ ἐπεὶ ἡ αγ περιφέρεια τῆς αβ ἐστὶν ἡμιόλιος. ἡ γὰρ α ς' μοῖρα ἔχει τὴν α καὶ τὸ ς' αὐτῆς, ἡ γα ἄρα δυθεῖα τῆς βα ἐλάσσων ἐστὶν ἢ ἡμιόλιος. ἀλλὰ τὴν γα ὑποτείνουσαν περιφέρειαν μοιρῶν α ς' μικρῷ πρόσθεν ἐπιλογιζόμενοι, ἀπεδείξαμεν τμήματος α λό ιε', οἵων ἡ διαμέτρου ρκ, ἡ ἄρα αγ δυθεῖα μείζων ἐστὶ τῶν α β ν'. δῆλα τοίνυν ὅτι ἡ αγ α λό ιε' τυγχάνουσα ἡμιόλιον ἐν τῷ α β ν, τὸν δὲ λόγον αὐτῆς τὸν πρὸς τὴν αβ δυθεῖαν, ἐλάττονα ἡμιολίου ἀποδειχθῆναι. ἵνα οὖν τοσούτῳ οὖσα ἐλάττονα ἡμιολίου λόγον ἔχῃ πρὸς τὴν αβ, ἀναγκαῖον ἐστὶν αὔξεσθαι τὴν αβ, καὶ γίνεσθαι μείζονα τῶν α β ν'. ὥστε ἐπεὶ τῶν αὐτῶν ἐδείχθη μείζων καὶ ἐλάττων, ἔσται ἄρα ἡ τ α μοῖραν ὑποτείνουσα ἐκ τῶν τοιούτων ἐπιλογισμῶν ἡμῖν εὑρεθεῖσα α β ν ἐγγὺς, οἵων ἡ διαμέτρου ρκ. καὶ ἐπεὶ θορυβεῖ πως ἡ τοιαύτη ἀπόδειξις τὸ αὐτὸ μέγεθος μείζον καὶ ἔλασσον δεικνύουσα, ἅπερ αὖ τις ἀκολούθως ἐπαγαγὼν εἴποι ὅπερ ἄτοπον, δείξομεν μὴ δὴ ταύτῃ θορυβοῦσθαι τυγχάνουσαν. ἔστω γὰρ πάλιν ὧδε ἡ αὐτῆς καταγραφῆς ἡ αβ περιφέρεια μοιρῶν ς δ, ἡ δὲ αγ μοιρῶν α. ἐπεὶ οὖν πάλιν ἡ αγ δυθεῖα πρὸς τὴν αβ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ αγ περιφέρεια, ἐπίτριτός ἐστι τὸ αβ ἡ αγ ἄρα δυθεῖα ἡ βα, ἐλάσσων ἐστὶν ἢ ἐπίτριτος. ἀλλὰ ἡ αβ δυθεῖα, ἐδείχθη ὁ μὲν ν, οἵων ἡ διαμέτρου ρκ, ἡ γα ἄρα δυθεῖα ὑποτείνουσα περιφέρειαν μοιρῶν α, ἐλάσσων ἐστὶν α β ν μ. ταῦτα γὰρ ἀπεχθῶς ἐπίτριτά ἐστι τῶν ο μ ν. πάλιν ἡ αγ δυθεῖα ὑποτεινέτω περιφέρειαν μοιρῶν α, ἡ δὲ αγ α ς', καὶ ὁμοίως ἐπεὶ ἡ αγ εὐθεῖα πρὸς τὴν αβ ἐλάσσονα λόγον ἤπερ ἡ αγ περιφέρεια πρὸς τὴν αβ, ἡμιόλιόν ἐστι δὴ ἡ αγ περιφέρεια τῆς αβ, ἡ αγ ἄρα δυθεῖα τῆς αβ ἐλάσσων ἐστὶν ἢ ἡμιόλιος. ἀλλ' ἐπεὶ ἐδείκνυτο ἡ αγ α λό ιε', ἡ αγ ἄρα δυθεῖα ὑποτείνουσα πάλιν περιφέρειαν μοιρῶν α, μείζων ἐστὶ τῶν α β ν. τούτων γὰρ ἡμιόλια ἐστὶ τὰ α λό ιε'. ὥστε ἡ αγ εὐθεῖα ὑποτείνουσα ὡς ἔφαμεν περιφέρειαν μοιρῶν α, ἐλάσσων μὲν ἐδείχθη ἡ α β ν μ, μείζων δὲ ἡ αβ ν. ᾧ λαλὰ ἐλάσσονος μὲν μείζων ἐστὶ, μείζονος δὲ ἐλάσσων, καὶ οὐχὶ τῆς αὐτῆς, καὶ φαίνεται μηδὲν ἄτοπον ἔχον τὸ εἰρημένον, ἀλλ' ἐπεὶ ἐλάσσων μὲν τῶν α β ν μ, μείζων δὲ τῶν α β ν. δείκνυται δὲ ἐν α β ν καὶ λ γ ἑξηκοστῶν, ὡς ἐγγύς μᾶλλον αὐτὴν ἐν τῷ α β ν μ. καὶ μὴ ὡς αὐτὸς ἔφη α β ν, λείξομεν ἀκριβέστερον ἐπιλογισάμενοι, ὅτι τὰ γ ἑξηκοστὰ ᾧ πολλῶν ἐλάσσων τῶν λ ἐστὶ. καὶ ὀρθῶς ἔχει τὸ εἰρημένον ὅτι α β ν ἐστὶν ἐγγύς. ἐπεὶ γὰρ ᾧ τοῖς ἔμπροσθεν ἀπεδείξαμεν τὴν ὑποτείνουσαν τὰ ς δ τῆς α μοίρας εὐθεῖαν ὁ μὲν ρ λβ, καὶ ἔστι τούτων ἐπίτριτα τὰ α β ν ιβ, ἔσται ἄρα δῆλα τὰ εἰρημένα ἡ τὴν α μοῖραν ὑποτείνουσα εὐθεῖα ἐλάσσων α β ν ιβ, ἐδείχθη ᾧ μείζων τ α β ν. κῆ ἔσται τὸ διαφορὸν πρὸς ιβ γ ἑξηκοστὰ, ἃ πολλῷ ἐλάσσονά ἐστι τῶν λ, καὶ οὐδὲν ἄτοπον τῇ τοιαύτῃ ἀποδείξει τὰ παρακολουθεῖ.



Δείξας οὖν ἐκ τῶν χρησιμωτέρων λογισμῶν, δῆλα τὸ μὴ καὶ ὧδε μείζονα προχωρεῖν τὴν λεῖψιν, ὡς ᾧ

ὡς καὶ αὐτός φησιν ἐπὶ τοῦ λημματίου, ὃ κἂν μὴ καθόλου δύναται τὰς πηλικότητας ὁρίζειν καθὼς καὶ ἑξῆς τὸ τοιοῦτον δείκνυμεν τῆς ὑπὸ τὴν α̅ μοιρὰν εὐθεῖαν α̅ β̅ ν̅ ἔγγιστα, ἑξῆς τοῦ προδεδειγμένῳ θεωρήματι τῆς διχοτομίας καταχρησάμενος, τουτέστιν ἀπολαβὼν τὴν τῆς α̅ μοιρᾶς περιφέρειαν, καὶ ἐγγράψας τὴν ὑποτείνουσαν αὐτὴν εὐθεῖαν, ἀκολουθήσας τῇ ἀποδείξει τοῦ θεωρήματος, εὗρε τὴν ὑπὸ τὸ ς̅ τῆς αὐτῆς περιφερείας ὑποτείνουσαν εὐθεῖαν, τουτέστι τὴν ὑπὸ τὸ ἡμιμοίριον, παχυμερέστερον δηλαδὴ τῇ ὑπὸ τὴν α̅ μοιρὰν καταχρησάμενος, ἐκ παχυμερεστέρων, ὡς ἔφαμεν ἐπιλογισμῶν εἰλημμένῃ, τῶν ἐκτιθεμένων αὐτῷ ο̅ λα̅ κε̅ ἔγγιστα. εὑρὼν οὖν ἐκ τῆς διχοτομίας τὸν εἰρημένον τρόπον τὴν ὑπὸ τὸ ἡμιμοίριον, ἀκολούθως τοῖς εἰρημένοις αὐτῷ μικρῷ πρόσθεν, ὅτι εἰ εἴχομεν τὴν ὑπὸ τὸ ἡμιμοίριον, αὕτη κατά τε τὴν σύνθεσιν καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὰς τὰ διαστήματα περιεχούσας καὶ δεδομένας εὐθείας, καὶ τὰς λειπούσας τὰς μεταξὺ πάσας ἡμῖν συναναπληρώσει, ἑξῆς διὰ τοῦ ἡμιμοιρίου τὰ λοιπὰ τῶν διαστημάτων ἀνεπλήρωσε, τῶν κατὰ παραύξησιν τῆς α̅ καὶ ς̅ μοιρᾶς, καθάπερ ἐπὶ τοῦ πρώτου διαστήματος λόγου ἕνεκεν τῆς πρώτης ς̅ μοιρᾶς πρὸς τὰς γ̅, ἀκολουθήσας τοῦ τε κατὰ σύνθεσιν καὶ καθ' ὑπεροχὴν θεωρήματι. ἐκθέμενος γὰρ ἡμικύκλιον τὸ ἀπειληφὼς ἑξῆς β̅ περιφερείας τῆς τε τῆς α̅ ς̅ μοιρᾶς καὶ τῆς ς̅. καὶ ἐπιζεύξας τὰς ὑποτεινούσας αὐτὰς καὶ δοθείσας εὐθείας, καταχρώμενος τοῦ κατὰ σύνθεσιν θεωρήματι, εὗρε τὴν συναμφοτέρας τὰς περιφερείας ὑφ' ἣν ὑποτείνουσαν εὐθεῖαν, τουτέστι τὴν ὑπὸ τὰς β̅ μοιρὰς, εἶτα καὶ ἀπ' ἄκρας τῆς διαμέτρου ἀπειληφὼς τὴν τοῦ ἡμιμοιρίου περιφέρειαν, τὸ τὴν τῶν γ̅ μοιρῶν, ἐπιζεύξας πάλιν τὰς δοθείσας ὑπ' αὐτὰς εὐθείας τοῦ τῆς ὑπεροχῆς θεωρήματι καταχρώμενος, εὗρε τὴν ὑποτείνουσαν τὴν τῶν β̅ μοιρῶν περιφέρειαν. αὕτη γὰρ ἐστιν αὐτῶν ἡ ὑπεροχή. καὶ ἔσται ἀναπληρωθέντα τὰ β̅ μεταξὺ διαστήματα, τῆς τε α̅ ς̅, καὶ τῶν γ̅, ἀκολούθως δὲ καὶ τὰς ἑξῆς τῶν ἀνὰ α̅ ς̅ μοιρὰς διαστημάτων εὐθείας ἐπελογίσατο, καταχρώμενος τοῖς β̅ τούτοις λημματίοις τοῦ τε κατὰ σύνθεσιν τὸ τοῦ καθ' ὑπεροχὴν, μέχρι τῶν τοῦ τεταρτημορίου μοιρῶν λ̅, διὰ τὸ καὶ ἐκ προχείρου δίδοσθαι τὰς λειπούσας εἰς τὸ ἡμικύκλιον. καὶ ἔσται ἡμῖν ἡ ἔκθεσις τῶν ἐν κύκλῳ εὐθειῶν ἀναπεπληρωμένη τὸν τρόπον τοῦτον; Τούτων οὕτως ἐχόντων, ζητήσειεν ἄν τις διατί πῆ μὲν τοῦ κατὰ σύνθεσιν θεωρήματι προσχρησάμενος, πῆ δὲ τοῦ τῆς ὑπεροχῆς, τὴν εὕρεσιν τῶν ἐπιζητουμένων β̅ εὐθειῶν καθ' ἕκαστον διάστημα πεποίηται, καὶ οὐχὶ τὰ πάντα τοῦ τῆς συνθέσεως ἢ τοῦ τῆς ὑπεροχῆς, δυνατὸν γὰρ ἦν ὁποτέρῳ τούτων αὐτὸν χρησάμενον, ἀναπληρῶσαι τὴν ἔκθεσιν τοῦ κανόνος; Φαμὲν οὖν ὅτι βουλόμενος τὰς κατὰ παραύξησιν τῆς α̅ ς̅ μοιρᾶς παρ' ἑκάτερα τυγχανούσας, τῶν ἐπιζητουμένων β̅ διαστημάτων ἀκριβῶς αὐτῷ διὰ τῶν γραμμῶν προεκτεθειμένας εὐθείας παραλαμβάνειν πρὸς τοὺς ἐπιλογισμοὺς τῶν μεταξὺ δύο διαστημάτων, τοῖς δυσὶ τούτοις θεωρήμασι συνεχρήσατο. διὸ καὶ ἔλεγεν ἐὰν εὕρωμεν τὴν ὑπὸ τὸ ἡμιμοίριον, αὕτη κατά τε τὴν σύνθεσιν καὶ τὴν ὑπεροχὴν τὴν πρὸς τὰ διαστήματα περιεχούσας καὶ δεδομένας εὐθείας, καὶ τὰς λοιπὰς τὰς μεταξὺ πάσας συναναπληρώσει. μόνῳ γὰρ τοῦ τῆς συνθέσεως καταχρώμενος, εὕρισκε τὸ δεύτερον τῶν διαστημάτων τῶν μεταξὺ β̅, ἔνθα τὸ τῆς ὑπεροχῆς παρείληφε διὰ δύο παχυμερεστέρων αὐτῷ εὑρεθεισῶν εὐθειῶν τῆς εὕρεσιν τῆς πηλικότητας ποιούμενος.

Ἵνα δὲ φανερὸν ἡμῖν γένηται τὸ λεγόμενον, ἐκκείσθω ἡμικύκλιον τὸ αβγδ, περὶ διαμέτρον τὴν αδ. καὶ ἀπειλήφθωσαν β̅ περιφέρειαι ἥτε αβ καὶ ἡ αγ. καὶ ἔστω ἡ μὲν αβ μοιρᾶς α̅ ς̅, ἡ δὲ αγ μοιρῶν γ̅. καὶ ἐπεζεύχθωσαν αἱ αβ αγ εὐθεῖαι, αἵτινες δεδομέναι εἰσὶν ἐκ τῶν γραμμικῶν ἀποδείξεων. ἔστω δὲ τῶν μεταξὺ τῶν β̅, τρίτα διαστήματα κατὰ τὰ ε̅ ζ̅. ἐὰν οὖν ἐγγράψαντες τὴν ὑπὸ τὸ ἡμιμοίριον, ὡς τὴν βε εὐθεῖαν, ἐπιζεύξαντές τε τὴν αε, ἐπιλογισώμεθα ἀκολούθως τοῦ τῆς συνθέσεως θεωρήματι, εὑρήσομεν παχυμερέστερόν πως τὴν αε εὐθεῖαν, ἐπειδήπερ τῇ βε παχυμερέστερον εἰλημμένῃ κατεχρησάμεθα, ὑποτείνουσαν τὴν αβε περιφέρειαν μοιρῶν οὖσαν β̅. καὶ δῆλον ὅτι εἰς τὴν ταύτης εὕρεσιν παραλήφειμεν καὶ τὴν αβ ἐκ τῶν γραμμικῶν δείξεων ἀκριβῶς εἰλημμένην. ἐὰν ἀκολούθως ἐπιζεύξαντες τὴν εζ, τοῦ τῆς συνθέσεως θεωρήματι πάλιν κατεχρησώμεθα πρὸς τὴν εὕρεσιν τῆς ὑποτεινούσης τὴν αεζ περιφέρειαν, μοιρῶν οὖσαν β̅ ς̅, ὡς τῆς αζ εὐθεῖαν, ἔσται ἡμῖν ὁ ἐπιλογισμὸς ἐκ τῶν αε εζ εὐθειῶν, μιδεμιᾶς αὐτῶν ἀκριβῶς



διὰ τῶν γραμμῶν ἀποδειχθείσης, ἀλλ' ἑκατέρας ἐκ τῶν παχυμερεστέρων ἐπιλογισμῶν. διὰ τοῦτο οὖν ὡς ἔφαμεν ἵνα καθ' ἑκάστην εὕρεσιν παραλαμβάνῃ τῆς διὰ τῶν γραμμῶν αὐτῷ ἀκριβῶς ληφθεῖσαν, τοῦ τῆς ὑπεροχῆς ἐν τούτῳ τοῦ βιβλίῳ τῶν μεταξὺ δύο διαστημάτων κατεχρήσατο. ἐγγράψας γὰρ τὴν ᾱη ὑποτείνουσαν τὸ ἡμιμόριον, καὶ ἐπιζεύξας τὴν ῆγ εὐθεῖαν, εὑρίσκει τὴν ὑποτείνουσαν τὴν αβγ περιφέρειαν, μοιρῶν οὖσαν β ς, καταχρησάμενος δηλονότι πρὸς τὴν τοιαύτην εὕρεσιν τῇ ᾱγ εὐθεῖα δοθείσῃ ἀκριβῶς, διὰ τῶν γραμμῶν. ὥστε διατοῦτο τοῖς δυσὶ τούτοις θεωρήμασι κατεχρήσατο εἰς τὴν εὕρεσιν τῶν ἐπιζητουμένων μεταξὺ τῶν ἀνὰ α ς μοιρῶν καθ' ἕκαστον τῶν δύο διαστημάτων πρὸς τὴν ἀναπλήρωσιν τοῦ κανόνος. Ὅτι δὲ οὐδὲ ἐκ μόνου τῶν τῆς ὑπεροχῆς θεωρήματος ἐδύνατο τὰ μεταξὺ δύο διαστήματα ἀναπληρῶσαι παραλαμβάνων τὰς διὰ τῶν γραμμῶν δεδομένας εὐθείας, ἀλλὰ καὶ ἔτι πρὸς τούτῳ ἄτακτος αὐτῷ ἐγίνετο ἡ λεῖψις τῶν εὐθειῶν, ἐκ τοῦ, τὰ τελευταῖα τῶν ἐπιζητουμένων διαστημάτων ἀνάγκη πρῶτα λαμβάνεσθαι, οὕτως ἂν κατανοήσαιμεν. ἔστω γὰρ πάλιν ἡμικύκλιον τὸ αβγδ, καὶ ὑποτεινέτω ἡ μὲν αβ εὐθεῖα δεδομένη διὰ τῶν γραμμῶν τὴν αβ περιφέρειαν μοιρᾶς οὖσαν α ς, ἡ δὲ αγ εὐθεῖα δοθεῖσα καὶ αὕτη διὰ τῶν γραμμῶν, ὑποτεινέτω τῆς αβγ περιφέρεια μοιρῶν γ. καὶ ἔστω τὰ μεταξὺ β ἐπιζητούμενα διαστήματα ἀπὸ τοῦ β κατὰ τὰ ε ζ, τὸ μὲν ε κατὰ τὰς β μοιρὰς, τὸ δὲ ζ κατὰ τὰς β ς. ὅτι μὲν οὖν ἐὰν ἀπὸ τοῦ α ἀπολαβώμεν τὴν ὑπὸ τὸ ἡμιμόριον ὡς τὴν αη, ἡ τὴν ηβζ περιφέρειαν μοιρῶν οὖσαν β ὑποτείνουσα οὐ δέδοται, διὰ τὸ μὴ δὲ τὴν αζ εὐθεῖαν ὑποτείνουσαν μοιρῶν β ς δεδόσθαι, δῆλον. ὅτι δὲ ἡ ὑποτείνουσα τὴν ηβεγ μοιρῶν οὖσαν β ς δέδοται, τουτέστιν ἡ ηγ, τουτέστιν ἡ αζ, τῆς αγ διὰ τῶν γραμμῶν δοθείσης, φανερόν. ἔτι δὲ



πάλιν ἔχοντες τὴν ὑπὸ τὸ ἡμιμόριον τῆς αη, καὶ τὴν ὑπὸ τὰς β ς τὴν αζ, εὑρήσομεν καὶ τὴν ὑπὸ τὰς β μοιρὰς τὴν ηζ τοῦ αὐτῷ θεωρήματι καταχρώμενοι. καὶ δῆλον ὅτι ἐνταῦθα τὴν ηα εὐθεῖαν καὶ τὴν αζ παρειλήφαμεν εἰς τὴν ἀπόδειξιν, μηδεμιᾶς διὰ τῶν γραμμῶν ἀποδειχθείσης, ἀλλ' ἑκάτερας διὰ τῶν παχυμερεστέρων ἐπιλογισμῶν. καὶ φανερὸν ὅτι ἄτακτος ἡμῖν γεγένηται ἡ κατάληψις τῶν εὐθειῶν, διὰ τὸ τὴν πρώτην τὴν ὑπὸ τὰς β ς δεδεῖχθαι, εἶτ' αὖθις τὴν ὑπὸ τὰς β. οὐκ ἠβουλήθη οὖν οὐδὲ τοῦ ς καὶ δ τῆς περιφερείας τὴν παραύξησιν τοῦ κανόνος ποιήσασθαι, ἤτοι διὰ τὸ μηκέτι καὶ τὰς τῶν ἐλαττόνων εὐθειῶν πηλικότητας ἐξακολουθεῖν τῇ ἐξ ἀναλόγου λήψει, ἢ καὶ διὰ τὸ δυσεπιλόγιστον αὐτῷ καταφαίνεσθαι τὸ τοιοῦτον. Ἡ μὲν οὖν πραγματεία τῶν ἐν τοῦ κύκλῳ εὐθειῶν, οὕτως αὐτῷ ἐξ ἑτοίμου μετακεχείρισται. ἵνα δὲ καθὼς μικρῷ πρόσθεν ἐπαγγείλατο ἐκ προχείρου τὰ τοιαῦτα μεγέθη τῶν εὐθειῶν καὶ περιφερειῶν πρὸς τὴν καθ' ἕκαστα χρείαν ἔχωμεν παραλαμβάνειν, καὶ κανονοποιίαν τούτων ἐξέθετο. ἵνα ἐξ ἑτοίμου τὰς πηλικότητας αὐτῶν ἔχωμεν ἐπιλογισμένας, καὶ μὴ ἐν ταῖς γραμμικαῖς δείξεσιν ἀπασχολώμεθα. πεποίηται δὲ τὴν ἔκθεσιν τοῦ κανόνος ὧν στίχους μὲν με, διὰ τὸ ἑξῆς καὶ ἐν τοῖς τῶν ἀνομαλιῶν τοῦ τε ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων φανησόμενον εὔχρηστον, σελίδια δὲ τρία καὶ ὧν μὲν τῶν πρώτων. τὰς περιφερείας παρέθηκε καθ' ἡμιμόριον παρηυξημένας, οἵων ἐστὶν ὁ κύκλος τξ. ὧν δὲ τῶν β τὰς ἐπιβαλλούσας αὐταῖς τῶν εὐθειῶν πηλικότητας, οἵων ἐστὶν ἡ διάμετρος ρκ. ὧν δὲ τῶν γ τὸ λ μέρος τῆς ὑπεροχῆς τῶν ὑποτεινουσῶν τὰς καθ' ἡμιμόριον παραυξήσεις. ἔλαβε δὲ τὸ λ τῆς ὑπεροχῆς τῶν εὐθειῶν, οὐχ ὡς τοῦ λ αὐτῆς, τὸ λ τοῦ ἡμιμοιρίου ὑπο-



τείνοντος (οὐδὲ γὰρ αἱ ὑπεροχαὶ τῶν εὐθειῶν ἄνισοι οὖσαι τὰ ἡμιμόρια ἴσα ὄντα ὑποτείνουσιν) ἀλλ' ὡς ἐξ ἀναλόγου τῇ παραυξήσει τῆς περιφερείας καὶ τῆς εὐθείας παραυξανομένης. ἵνα δὲ ὧν καταγραφῆς φανερὸν γένητο τὸ λεγόμενον, ἐκκείσθω τὸ αβγδ ἡμικύκλιον ὧν διαμέτρου τῆς αδ, καὶ διήχθωσαν ἀπ' ἄκρας τῆς διαμέτρου δύο τυχοῦσαι εὐθεῖαι, αἱ αβ αγ, ὥστε μέντοι τὴν βγ ἐν ἡμιμοιρίου. καὶ κείσθω τῇ αβ, ἴση ἡ αε. οὐ τοῦτο οὖν λαμβάνει, ὅτι ἡ εγ τὴν βγ ὑποτείνει, ἀλλ' ἐπεὶ ἐν ᾧ ἡ αβ περιφέρεια τῇ βγ παραύξητο, καὶ ἡ αβ τουτέστιν ἡ αε τῇ εγ, λαμβάνει ὅτι καὶ ἐν ᾧ ἡ αβ περιφέρεια λόγου ἕνεκεν τοῦ γ μέρει τῆς βγ παρηύξητο, καὶ ἡ αε τοῦ τρίτῳ μέρει τῆς εγ. ὁμοίως καὶ ἐν ᾧ ἡ αβ περιφέρεια τοῦ λ τῆς βγ, καὶ ἡ αε τοῦ λ τῆς

λ ℘ ε̄ τ, λιὸ καὶ φησὶν, ἵνα καὶ τοῦ πρώτου ἑξηκοσοῦ μέσῳ ἐπιβολὴν ἔχοντος ἀδιαφοροῦσαν πρὸς ἀκρίβειαν ℘ ἀκριβοῦς. ὀξύθρο δὲ ὁ γ̄ σελίδιον τῶν ἑξηκοσῶν πρὸς τὸ λαμβάνειν ἡμᾶς ὀξυχρους τὰς ὑποτεινούσας εὐθείας, καὶ τὰς μεταξὺ τῶν καθ' ἡμιμόριον παραλλήσεις, οἷον τὰς μεταξὺ τῶν ε̄ μοιρῶν ⟨ε̄ ς̄, ὡς τὰς ε̄ λόγου γένεκεν, καὶ τὰς ī ἑξηκοστὰ. δι' ἐνὸς γὰρ ποιοῦντος τὰ παρακείμενα ταῖς ε̄ κατὰ ὁ γ̄ σελίδιον, ⟨ προστιθέντος τῇ παραλλαγῇ τοιαύτης τῆς εὐθείας κατὰ ὁ δεύτερον σελίδιον, ἑξομεν τὴν εὐθεῖαν τὴν ὑποτείνουσαν τὰς ε̄ μοίρας ⟨ī ἑξηκοστὰ. ὡσαύτως δὲ καὶ ὧν τῶν λοιπῶν ⟨ μεταξὺ τῶν καθ' ἡμιμόριον παραλλήσεων, ὧν τὴν ὀξύτασιν, ἐξῆς ἐπ' αὐτῶν τῶν γ῾ τῇ συντάξει προιεχομένων ἀριθμῶν ποιησόμεθα. Εὐκατανόητον δὲ ὅτι ὀξὺ τῶν αὐτῶν καὶ προειρημένων θεωρημάτων ἐὰν γ῾ διαγραμμῶ γινώμεθα γραφικῆς ἁμαρτίας τινὲς γ῾ ὃ ἱκανόνι προιεχομένων εὐθειῶν, καὶ τὰ ἑξῆς. Φανερὸν δὲ φησιν ὅτι καὶ ἐὰν ἀμφιβαλλωμεν τινὰ τῶν γ῾ ὃ ἱκανόνι προιεχομένων εὐθειῶν ὡς μὴ δεόντως αὐτῆς ἐκτεθειμένης, ὀξυχρους τὴν ὀξύτασιν αὐτῆς καὶ τὴν ἐπανόρθωσιν ποιησόμεθα. ἤτοι τὴν ὑπὸ τὴν διπλασίονα αὐτῆς παραλαμβάνοντες, ἢ ἄλλας τινὰς ἐχούσας ταύτην τὴν ὑποχὴν, ἢ τὴν λείψασαν αὐτῆς εἰς τὸ ἡμικύκλιον. ἔσω γὰρ ἡμᾶς ἐπιζητεῖν τὴν ὑποτείνουσαν τὰς ī μοίρας ℘ προφερέας. λαμβάνομεν τὴν ὑποτείνουσαν τὴν διπλασίονα ταύτης, τουτέστι τὰς κ̄ μοίρας. καὶ ἐνθέμενοι κύκλον, καὶ ἀπολαβόντες τὴν τηλικαύτην προφέρειαν, ἐπιζεύξαντες τὴν ὑποτείνουσαν εὐθεῖαν αὐτὴν διειλημμένην ἡμῖν, καταχρώμενοι δὲ ℘ διχοτομίας θεωρήματι, εὑρήσομεν τὴν ὑποτείνουσαν τὴν ς̄ αὐτῆς τουτέστι τὰς ī μοίρας. ἢ ⟨ ἄλλως λαμβάνοντες τινὰς προφερέας ὧν ἡ ὑποχὴ ὀδὴ μοιρῶν ī, οἷον τὴν τῶν κ̄ μοιρῶν καὶ λ̄. ἔχοντες δὲ καὶ τὰς ὑπὸ αὐτὰς εὐθείας, πάλιν δὲ ℘ ὑποχῆς θεωρήματι καταχρώμενοι, εὑρήσομεν τὴν ὑπὸ τὰς ī μοίρας. ἔτι δὲ καὶ οὕτως. λαμβάνοντες τὴν ὑποτείνουσαν τὰς λειπούσας τῶν ī εἰς τὸ ἡμικύκλιον μοιρῶν ρ̄ο, καὶ ποιησαντες τὸ ἀπ' αὐτῆς, ἔχοντες δὲ καὶ τὸ ἀπὸ ℘ διαμέτρου, ὅ ὀδὴν ἴσον δὲ τε ἀπὸ τῆς ὑποτεινούσης τὰς ρ̄ο, καὶ τὸ ἀπὸ τῆς ὑποτεινούσης τὰς λοιπὰς ī, ὅπερ τὸ γ῾ ἡμικυκλίῳ ὀρθὴν γίνεσθαι τὴν γωνίαν τὴν ὑπ' αὐτῶν προιεχομένην. ⟨ ἀφελόντες ἀπὸ τοῦ ἀπὸ ℘ διαμέτρου τὸ ἀπὸ τ῾ ὑποτεινούσης τὰς ρ̄ο, τῶν ὑπολειφθέντων, τετραγωνικὴν λαβόντες πλευρὰν, ἑξομεν ⟨ τὴν ὑποτείνουσαν τὰς ī μοίρας ℘ προφερέας. καὶ ἔστιν ἡ τοῦ διανόνος ἔνθεσις τοιαύτη. Ἐκτεθειμένης οὖν ἡμῖν ℘ πραγματείας τῶν γ῾ κύκλῳ εὐθῶν, ἀπολουθον ἡγούμεθα ⟨ γνῶναι θαι διαλαβεῖν, πῶς ἂν τῶν ἐλασσόνων εὐθῶν τηλικότητος γ῾ μείζοσι διαφορᾶς παρήνεγκε, καὶ τὸ ἑξῆς τῶν παραλλήσεων τῶν προφερειῶν ὑπὸ τὰς ἴσων οὐσῶν, καὶ πῶς ἂν ἐλάσσονος τῶν ὑπὸ τὰς ε̄ μοίρας ℘ προφερείας ὑποτείνουσα εὐθεῖα, μείζονες εἰσὶ δὲ ἀριθμῷ τῶν κατ' αὐτὰς προφερειῶν, ἃς δὲ μετὰ τὰς ε̄, ἐλάττονος. ⟨ πῶς διαθέσις τινὸς προφερείας μεταξὺ τῶν καθ' ἡμιμόριον παραλλήσεων ποιοῦσα, ἡ ὑπὸ αὐτὴν εὐθεῖα λαμβάνετ. ⟨ τὸ αὖ πάλιν, πῶς διαθέσις τινὸς εὐθείας μεταξὺ τῶν ἐγκειμένων ποιοῦσα, ἡ ἐπ' αὐτῆς προφέρεια δίδυτ. δείξομεν δὲ πρῶτον διὰ τ῾ γραμμῶν, πῶς ἂν τῶν ἐλαττόνων εὐθῶν πλειότητος μείζοσι διαφορᾶς παρήνεγκε, καὶ τὸ ἑξῆς τῶν παραλλήσεων τ῾ προφερειῶν ἴσων οὐσῶν. ἔστω γὰρ ἡμικύκλιον τὸ αβγ, ⟨ ἀπειλήφθω ἡ αβ προφέρεια λόγου γένεκεν μοιρῶν ī, ἡ δὲ αδ μοιρῶν ī ς̄, ἡ δὲ αε μοιρῶν ια. καὶ ἐπεζεύχθωσαν αἱ ὑπ' αὐτὰς εὐθεῖαι, ἥτε αβ ⟨ ἡ αδ, καὶ ἡ αε. καὶ πείθω τῇ μὲν αβ, ἴσην ἡ αζ, τῇ δὲ αδ, ἴσην αη, λέγω ὅτι ἡ ὑποχὴ ℘ αδ πρὸς τ῾ αβ, τουτέστιν ἡ γ̄δ, μείζων δὴ ℘ ὑποχῆς τ῾ αε πρὸς τ῾ αδ, τουτέστι τῆς γε. πείθω γὰρ τῇ αβ ἴσην ἡ αθ. ⟨ ἐπεζεύχθωσαν αἱ βδ δε δη δθ. ἐπεὶ οὖν ἴσην ὀδὴν ἡ αβ τῇ αθ, κοινὴ δὲ ἡ αδ, δύο αἱ βα αδ, δυσὶ ταῖς θα αδ ἴσαι εἰσὶ, καὶ γωνία ἡ ὑπὸ βαδ, γωνίᾳ τῇ ὑπὸ εαδ ἴσην ὀδὴν. ἐπεὶ ⟨ προφέρεια ἡ βδ τῇ δε προφερείᾳ ἴσην ὀδὴν. βάσις ἄρα ἡ βδ βάσει τῇ δθ ὀδὴν ἴσην. ἀλλὰ ⟨ ἡ βδ τῇ δε ἴσην ὀδὴ, καὶ ἡ δε ἄρα τῇ δθ ὀδὴν ἴσην. ἰσοσκελὲς ἄρα ὀδὴ τὸ δεθ πρίγωνον. ὀξεῖαι ἄρα αἱ πρὸς τοῖς θ ⟨ ε γωνίαι. καὶ ἐπεὶ ἡ αδ τῇ αη ἴσην ὀδὴν, ὧν ἡ αζ τῇ αθ ἴσην, λοιπὴ ἄρα ἡ δζ λοιπῇ τῇ θη ὀδὴν ἴσην. πάλιν ἐπεὶ ἴσην ὀδὴν ἡ αδ τῇ αη, καὶ γωνία ἄρα ἡ ὑπὸ αδη, γωνίᾳ τῇ ὑπὸ αηδ ὀδὴν ἴσην. ὀξεῖα ἄρα ἑκατέρα. καὶ ἐπεὶ ὀξεῖα ὀδὴν ἡ ὑπὸ αηδ, ἀλλὰ ἡ μὲν ἡ πρὸς τοῖς θ, ἡ ἄρα ἀπὸ τῆ δ, ὧν τῇ θ ἐ ἡ ἀθέτος



ἀγομένη μεταξὺ τῶν θ ι, ὥστε ἔσται. ἤχθω διὰ τοῦ κ, καὶ ἐπεζεύχθω ἡ γδ καὶ ἐκβεβλήσθω ἐπὶ τὸν βάσιν κατὰ τὸ ζ σημεῖον, καὶ ἔστω ἡ ζγ ἴση τῇ βκ τῇ κε, μείζων ἄρα ἡ βκ τοῦτέστιν ἡ εδ τῆς γε, καὶ ἔστιν ἡμιν εδ ὑπεροχὴ τῆς ασ πρὸς τὴν αβ, ἡ δὲ γε ὑπεροχὴ τῆς αε πρὸς τὴν αδ, αἱ ἄρα τῶν ἐλαττόνων διαφοραὶ ὑπεροχαὶ μείζονες εἰσὶ τῶν ἐξῆς τῶν περιφερειῶν τῶν ἴσων παρηνεγμένων. Δεῖξομεν δὴ ὅτι καὶ ὑπὸ τὰς ἐλαττονας τῶν ξ μοιρῶν ὑποτείνουσαι διάφοροι μείζους εἰσὶ τῶν κατ' αὐτὰς περιφερειῶν. αἱ δὲ ὑπὸ τὰς πλείους, ἐλάττονες. καὶ ἔστι τὸ τοιοῦτον αὐτόθεν δῆλον, ἐκ τοῦ προδεδειγμένου τοῦ ὑπ' αὐτοῦ θεωρήματος. Ἔστω γὰρ κύκλος ὁ αβγδ, καὶ διήχθωσαν ἐν αὐτῷ δύο διάμετροι αἱ αβ γδ ὑποτείνουσα περιφέρειαν μοιρῶν λ, καὶ ἡ αγ μοιρῶν ξ. καὶ ἐπεὶ ἡ αγ διάμετρος πρὸς τὴν αβ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ αγ περιφέρεια πρὸς τὴν αβ περιφέρειαν, ἡ δὲ αβγ περιφέρεια διπλασίων ἐστὶ τῆς αβ περιφερείας, καὶ ἡ αγ ἄρα διάμετρος τῆς ὑπὸ τὰς ξ ἐλάσσων ἐστὶ τῆς διπλασίας τῆς ὑπὸ τὰς λ. ὥστε ἡ αβ διάμετρος μείζων ἐστὶ τῆς ἀπὸ τῆς ἐπ' αὐτῆς περιφερείας, ἐλάσσων οὖσα ξ. πάλιν διήχθω καὶ ἡ αδ ὑποτείνουσα μοιρῶν ρκ. καὶ ἐπεὶ ἡ αδ εὐθεῖα πρὸς τὴν αγ ἐλάσσονα λόγον ἔχει, ἤπερ ἡ αδ περιφέρεια πρὸς τὴν αγ περιφέρειαν, ἡ δὲ αγδ διπλασίων ἐστὶ τῆς αβγ, ἡ αδ ἄρα εὐθεῖα, ἐλάσσων ἐστὶν ἢ διπλασίας τῆς αγ. ἀλλὰ ἡ αγ εὐθεῖα ἐστὶν ξ, ἡ αδ ἄρα ἐλάσσων ἐστὶ τῶν ρκ περιφερείας οὔσης ρκ. ἔστι δὲ καὶ ἀκριβολογικώτερον εἰπεῖν, ὅτι ἐπεὶ καὶ μείζους εὑρέθησαν αἱ εὐθεῖαι τοῦ ἀριθμοῦ τῶν ἐπ' αὐτὰς περιφερειῶν καὶ ἐλάσσους, εὐλόγως ἰσάριθμος εὑρέθη καὶ μέση, ἡ ἰσάριθμος τῶν αὐτῶν, τοτέστιν ἡ τῶν ξ.



Ὅτι δὲ οὐχ ὁρίζει τὰς περιφερείας τῶν εὐθειῶν καὶ τῶν μείζονων περιφερῶν τὸ προκείμενον θεώρημα, καθάπερ ἐπὶ τοῦ ὀκ δ καὶ τοῦ ὑπὸ τὰς ε κατελάμβανε τοῦ ὑπὸ τὰ μοίρας ἔγγιστα, δείξομεν οὕτως. ὑποκείσθω γὰρ πάλιν ἡ μὴ αβ περιφέρεια μοιρῶν λ. καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα διπλασίων λαγ ι, ἡ δὲ αβδ περιφέρεια, μοιρῶν ρκ, καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα ρι νε κγ. καὶ διήχθω ἐκ τούτων εὑρεῖν τὴν ὑπὸ τὰς ξ, ὡς τὴν αγ. ἐπεὶ οὖν ἡ αγ περιφέρεια τῆς αβ ὅλης, ἡ αγ ἄρα εὐθεῖα τῆς αβ ἐλάσσων ἐστὶ τῆς διπλασίων. καὶ ἔστιν ἡ αβ λαγ ι, ἡ αγ ἄρα ἐλάττων ἐστὶ ξβ ζ. πάλιν διὰ τὰ αὐτὰ ἡ αδ εὐθεῖα τῆς αγ ἐλάσσων ἐστὶ διπλασίων, ἡ διπλασίων, καὶ ἔστιν ἡ αδ ρ γ νε κγ, ἡ αγ ἄρα εὐθεῖα να νζ μβ ἔγγιστα. ἐλείφθω δὲ καὶ ἐλάττων ξβ ζ. καὶ διήχθω ὡς οὐκ ἔστιν ὁρίσαι αὐτῆς ἔγγιστα τῇ πηλικότητα, τῆς διαφορᾶς μοιρῶν ι καὶ ἐξηκοστῶν ι ἔγγιστα τυγχανούσης. Τούτου διαχθέντος, καταλίποιτο ἂν ἔτι διαξαι πῶς διῄρηται τινὸς περιφερείας μεταξὺ τῶν καθ' ἡμιμοίριον πιπτούσης, ἡ ὑπ' αὐτὴν εὐθεῖα ἐκ προχείρου ἔγγιστα δοθήσεται. καὶ τὸ ἀναπαλιν, πῶς δοθείσης τινὸς εὐθείας μεταξὺ τῶν ἐφ' ἑκανόνι ἐκτεθειμένων πιπτούσης, καὶ ἡ ἐπ' αὐτῆς περιφέρεια ὁμοίως δοθήσεται. ἔστω δὴ δοθείσης περιφερείας μοιρῶν ι καὶ ἐξηκοστῶν ιε τὴν ὑπ' αὐτὴν εὐθεῖαν εὑρεῖν. ἀποχρήσει τὴν ἔγγιστα ἐλάττονα περιφέρειαν μοιρῶν οὖσαν ι, καὶ τὴν ὑπ' αὐτὴν εὐθεῖαν τμημάτων ι κζ λδ. καὶ ἔτι τὴν ἔγγιστα μείζονα περιφέρειαν μοιρῶν οὖσαν ι λ. ἐστὶ τὴν ὑπ' αὐτὴν εὐθεῖαν ι νη μδ. μέσην δὲ τὴν διαιρουμένην περιφέρειαν μοιρῶν ι καὶ ἐξηκοστῶν ιε, ὡς ὑπογέγραπται. καὶ ἐπεὶ καθ' ὁμαλὴν παραύξησιν ἀναλόγως τοῖς μεταξὺ ἐξηκοστοῖς τῶν περιφερειῶν τὰ τῶν εὐθειῶν ἐξηκοστὰ ἔγγιστα ἐπιβάλλει, ὡς μικρῷ πρόσθεν φανερὸν ἡμῖν γέγονε, λαμβάνομεν τὴν ὑπεροχὴν τῆς μείζονος περιφερείας πρὸς τὴν ἐλάσσονα, τουτέστι τῶν μοιρῶν ι καὶ λ ἐξηκοστῶν πρὸς τὰς ι μοίρας. ἔστι δὲ ἐξηκοστὰ λ, καὶ ἔτι τῶν ὑπ' αὐτὰς εὐθειῶν τὴν ὑπεροχήν, ἔστι δὲ ο λά ιζ, καὶ ἔτι τῶν ι μοιρῶν τὰς περιφερείας πρὸς τὰς μοίρας ι καὶ ἐξηκοστὰ ιε, ἃ ὅλων ἐξηκοστὰ ιε. καὶ ἐπεὶ ὡς ἔφαμεν ἀναλόγως ζητοῦμεν τὰς ἐπιβαλλούσας εὐθείας ταῖς περιφερείαις, ἔχοντες τρία μεγέθη, β μὲν τῶν ὑπερεχόντων τῶν περιφερειῶν, καὶ ᾧ ἡ ὑπεροχὴς τῶν εὐθειῶν, λαμβάνοντες δὲ ἀνάλογον, εὑρίσκομεν τὴν ὑποτείνουσαν εὐθεῖαν τῶν μοιρῶν ι καὶ ἐξηκοστῶν ιε περιφέρειαν. εὑρίσκεται δὲ ὅτως τὰ ιε ἐξηκοστὰ τῆς περιφε-

ι	ι κζ	λβ
ι ιε	ι μς	ι
ι κ	ι νη	μθ
ο λ	ο λά ιζ	ο ιε
ο ιε	λη κ.	ο ο υξθ ιε

περιφερείας, ὧν τὰ ō λά ιᾱ ϛ δ βυθείας, γίνονται υξθ β̄ ἑξηκοστὰ ϛ γ̄ ιε̄. ταῦτα μεῖσαντος πρὸς τὰ λ πρῶτα ἑξηκοστὰ ϛ δ ὑποροχῆς τῶν ī ϛ μοιρῶν, τῆς μείζονος περιφερείας πρὸς τὰς ī μοίρας ϛ δ ἐλαχίστης, ἑξομεν πρῶτα ἑξηκοστὰ ιε ϛ β̄ λή ϛ. ἃ προσθέντος τῇ ὑποτεινούσῃ βυθείᾳ τὰς ī μοίρας ϛ δ περιφερείας τμημάτων οὔσῃ ī κ̄ λβ̄, ἑξομεν τὴν ὑποτείνουσαν τὰς ī μοίρας ιȣ ἑξηκοστὰ τε, τμημάτων ī μ́ ῑ ἔγγιστα. τὰ λ̄ γ̄ ἑξηκοστὰ καταλιμπάνοντος, ὡς μηδὲν ἀξιόλογον ἐμποιοῦντα διαφορᾶν. πάλιν τῶν αὐτῶν ὑποκειμένων, δέον ἐστὶ ποιῆσαι τὸ αὐτό. πάλιν, τουτέστι δοθείσης βυθείας τμημάτων ī μ́ ῑ, εὑρεῖν τὴν ἐπ' αὐτῆς περιφέρειαν. λαμβάνομεν πάλιν τὴν ὑποροχὴν ϛ δ ἐγγυτέρω μείζονος αὐτῆς ϛ ἐλάσσονος, τοιαύτην τῶν ī νή μδ̄, πρὸς τὰ ī κ̄ λβ̄, ἃ γίνεται ō λά ιᾱ. ϛ τῶν περιφερειῶν ὁμοίως, τὰ ō λ̄, ιȣ ἔτι τ̄ ī μ́ ῑ πρὸς τὰ ī κ̄ λβ̄, ἃ ὅσην ἑξηκοστὰ ιε λή. καὶ ἵνα πάλιν λάβωμεν τὸν δ ἀνάλογον, πολλαπλασιάσωμεν τὰ ιε λή ὧν τὰ ō λ̄, ιȣ γίνονται ͵βφ̄ νῡ ρ̄ξ̄μ. ϛ μείζομεν πρὸς τὰ ō λά ιᾱ. ϛ τὰ γινόμενα ἑξηκοστὰ ιε προστιθέντος ταῖς ī μοίραις, ἑξομεν τὴν ὑποτεινομένην περιφέρειαν ὑπὸ ϛ εἰρημένης βυθείας, μοιρ. ī ιε. ἔστι δὲ ϛ προχειρότερον τὸ διὰ τοῦ ἐφοδεύσαι καθὼς ιȣ αὐτῷ δοκεῖ. ἐὰν γὰρ ζητέντος τὴν εἰρημένην βυθεῖαν δεκαπεντάκις ποιήσωμεν τὰ περιεχόμενα ταῖς ī μοίραις τῆς περιφερείας ἐν τῷ τρίτῳ σελιδίῳ, ϛ τὰ γενόμενα προσθήσομεν τῇ ὑποτεινούσῃ τὰς ī̄ μοίρας, ιȣ οὕτως ἑξομεν τὴν ὑποτείνουσαν τὰς ī μοίρας ϛ ἑξηκοστὰ ιε. ἐὰν δὲ ἀνάπαλιν τὴν εἰρημένην βυθεῖαν ἔχοντος βαλώμεθα λαβεῖν τὴν ἐπ' αὐτῆς περιφέρειαν, τὴν ὑποροχὴν ϛ δ βυθείας λαβόντος ἐν ἐχεῖ πρὸς τὴν ἔγγιστα ἐλάσσονα περιεχομένην, οἷον τὴν ὑποροχὴν τ̄ ī μ́ ῑ πρὸς τὰ ī λαβόντος ἐν ἐχεῖ πρὸς τὴν ἔγγιστα ἐλάσσονα περιεχομένην, οἷον τὴν ὑποροχὴν τ̄ ī μ́ ῑ πρὸς τὰ ī κ̄ λβ̄, ϛ ἔστι τὰ περιεχόμενα ἐν τῷ γ̄ σελιδίῳ ἐξηκ. τὴν ἔγγιστα ἐλάσσονα. ϛ παρ' αὐτὰ μείζαντος τὴν ὑποροχὴν τ̄ β̄ βυθειῶν, τὰ γινόμενα ἐκ μερισμοῦ προσθήσομεν τῇ ἐγκειμένῃ ἐλάττονι περιφερείᾳ οἷον τῇ τ̄ ī μοιρ. ἑξομεν τὴν ὑποτεινομένην περιφέρειαν ὑπὸ τ̄ εἰρημένης βυθείας.

ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΞΥ ΤΩΝ ΤΡΟΠΙΚΩΝ ΠΕΡΙΦΕΡΕΙΑΣ.

Διεξελθόντος πρὸ ϛ πραγματείας τῶν ἐν κύκλῳ βυθιῶν, καὶ ἔτι πρὸ τῶν ιȣ μέρος εἰς τὴν πραγματείαν παρακολουθούντων ταύτῃ, ἐξῆς πρὸ ϛ εἰρημένης αὐτῷ ἀναγκαίως τῶν κατὰ μέρος προλαμβάνειν ἀποδείξεων, τουτέστι τῆς μεταξὺ τῶν β̄ πόλων τοῦ ἰσημερινοῦ ϛ τοῦ ζωδιακοῦ πλατύτητος ὧν τὰ διὰ τῶν αὐτῶν πόλων γραφομένου μεγίστου κύκλου τὸν λόγον ποιησόμεθα, φησὶν οὖν ἐνταῦθα.



Πόσον ὁ λοξὸς ϛ διὰ μέσων τῶν ζωδίων κύκλος ἐγκέκλιται πρὸς τὸν ἰσημερινόν. Ἡ γὰρ τούτων ἔγκλισις πλεῖον ἐλάσσων ἀπολαμβάνει τῆς μεταξὺ τῶν β̄ πόλων. ἐὰν γὰρ νοήσωμεν ζωδιακὸν μὲν τὸν αβγ, ἰσημερινὸν δὲ τὸν αδγ, καὶ τὸ μὲν α σημεῖον τὸ κατὰ τὴν ἐκείνῃ αὐτοῦ τομήν, τὸ δὲ β θερινὸν τροπικόν, καὶ λάβωμεν τοῦ μὲν αβγ ζωδιακοῦ πόλου, τὸ ε, τοῦ δὲ αδγ ἰσημερινοῦ πόλου τὸ ζ, καὶ διὰ τῶν ζ ε μέγιστον κύκλον γράψωμεν ὡς τὸν βεζθ, γίνεται ἡ βδ ἴση τῇ εβ. ἐπὶ πόλων γὰρ εἰσὶ μεγίστων κύκλων, καὶ κοινῆς ἀφαιρεθείσης ϛ δε, λοιπὴ ἡ ζε μεταξὺ τῶν πόλων λοιπῇ τῇ βδ τῆς ἐγκλίσεως δῆλον ἴση. ὥστε ἐὰν τὴν ἔγκλισιν τῶν κύκλων εὕρωμεν ἐν τοῖς οὕτως γραφομένου μεγίστου κύκλου, εὑρήσομεν ἐσόμενα ϛ τὴν μεταξὺ τῶν πόλων. ὅτι δὲ ἡ βδ τῆς ἐγκλίσεως δῆλον τῶν κύκλων, δείξομεν οὕτως. ἐὰν γὰρ ἐπιζεύξωμεν τὰς αγ βκ δθ κοινὰς τομὰς τῶν κύκλων, ἔσται τὸ κ κέντρον τῆς σφαίρας, διὰ τὸ μεγίστους εἶναι τοὺς κύκλους, ϛ διαμέτρους τὰς βκ δθ αγ. καὶ ἐπεὶ ὁ βδκθ ὀρθός ἐστι πρὸς τὸν αβγκ αδγθ κύκλους, καὶ οἱ αβγκ αδγθ ἄρα κύκλοι, ὀρθοί εἰσι πρὸς τὸν βδκθ. ϛ ἡ κοινὴ ἄρα αὐτῶν τομὴ ἡ αγ, ὀρθή ἐστι πρὸς τὸν βδκθ κύκλον. καὶ πρὸς πάσας ἄρα τὰς ἁπτομένας αὐτῆς βυθείας ϛ ἴσας ἐν τῷ τ̄ βδκθ κύκλῳ ἐπιπέδῳ. ὥστε καὶ πρὸς τὰς βγ δγ ὀρθή ἐστιν ἡ αγ. καὶ ἐπεὶ τῇ αγ κοινῇ τομῇ τοῦ διὰ μέσων ϛ τ̄ ἰσημερινοῦ ἐν ἑκατέρῳ τ̄ ἐπιπέδῳ πρὸς ὀρθάς εἰσιν αἱ γβ γδ, ἡ ἄρα ὑπὸ βγδ, ἡ κλίσις ἐστὶ τῶν εἰρημένων ἐπιπέδων. καὶ ἔστι πρὸς τῷ θάς τῷ κέντρῳ τῆς σφαίρας. ὥστε καὶ ἡ βδ περιφέρεια, τῆς κλίσεως ἐστὶ τ̄ αὐτῶν ἐπιπέδων.



Πάλιν λέγων τίνα λόγον ἔχει ὁ κύκλος πρὸς τὴν ἀπολαμβανομένην αὐτοῦ μεταξὺ τ̄ πόλων περιφέρειαν, ἐκ παραλλήλων πρὸ ϛ αὐτῆς κατακλίσεως λέγει. ἐὰν γὰρ εὕρῃ τοῦτον τὸν λόγον, ἔχῃ δὲ καὶ τ̄ μέγιστον κύκλον μοιρῶν τξ, ἔχῃ ἄρα καὶ ϛ τ̄ μεταξὺ τ̄ πόλων περιφέρειαν, ἥτινι περιφερείᾳ, ἴσον ἀπέχει ἰσημερινὸς ἑκατὸν τῶν προπικῶν, τουτέστιν ἡ περιφέρεια

διπλασίων ὀξὺν ἢ μεταξὺ τῶν τροπικῶν. διατοῦτο ἢ ταύτῃ ἐπάγαγεν, ἐπεὶ μάλιστα διὰ ταύτης ἐκπροχείρου τῇ ἑρημίᾳ πυριφέρειαν μεταξὺ τῶν πόλων καταλαμβάνει. Καὶ ἐπεὶ ὕλη ἡ ἀστρονομικῆς θεωρίας ὀξὺ τὰ φαινόμενα, ἐκ τούτων τῇ τοιαύτῃ πρώτῃ ἀποδείξει τῆς μεταξὺ τῶν τροπικῶν πυριφερείας ἐπιλογίζεται, λέγων διὰ ἐκ τηρήσεων τῶν φαινομένων. κέχρηται δὲ πρὸς τὴν τοιαύτην τῶν τηρήσεων κατάληψιν ἁπλουστέραις διοψίν ὀργάνων ἐκθέσεσι, μιᾷ μὲν διὰ κείκων, ἑτέρᾳ δὲ διὰ πλινθίδος. ὧν πρώτων τὰς κατασκευὰς ἐκτίθεται ἢ τὰς θέσεις, εἶθ' οὕτω καὶ τὰς χρήσεις. καὶ διὰ τούτων εὑρίσκει ὡς ἔφαμεν τὴν μεταξὺ τῶν τροπικῶν πυριφέρειαν, καὶ ἐκ ταύτης τῆς προκειμένης μεταξὺ τῶν πόλων, καὶ ἔτι τὴν ἀπὸ τοῦ κατὰ κορυφὴν ὧν ἐν ἰσημερινῷ, τουτέστι τοῦ πόλου ἔξαρμα. Κατασκευάζεται δὲ φησὶ τὰ ὄργανα τὸν δὲ πρῶτον τρόπον, καὶ πρῶτον ὁ διὰ τῶν κείκων. ποιήσομεν γάρ φησι κύκλον χαλκοῦν σύμμετρον τῷ μεγέθει, τετρανδυμένον ἀκριβῶς, τετραγωνον τῇ ἐπιφανείαν τουτέστι τετράπλευρον, ἔπειτα παραγράψαντες ὧν μιᾶς τῶν παρά τε τὴν κοίλην καὶ τὴν κυρτὴν πλευρὰν κατὰ μέσον κύκλον, διελόντες αὐτὸν εἰς τὰ τοῦ μεγίστου κύκλου τμήματα τξ, καὶ ἔτι τὰ μεταξὺ εἰς ὅσα γίνεται, χρησώμεθα τούτῳ μεσημβρινῷ, καθιστάντες αὐτὸν, τῇ πρὸς ὀρθὰς τῷ ὁρίζοντι, καὶ ἔτι πρὸς ἄρκτους καὶ μεσημβρίαν θέσιν λαμβάνοντα. ἔπειτα ἕτερον κυκλίσκον, λεπτότερον αὐτοῦ κατὰ τὸ ὕψος γναρμόσαντες ἐπ' αὐτὸν, ὥστε τὰς πλευρὰς αὐτῶν ὡς ἔφαμεν τὰς πρὸς τὰς κυρτὰς καὶ κοίλας ὧν μιᾶς μένειν ἐπιφανείας, πρὸς ἀγωνιὰ τε ἀκολούθως ἐπ' ἐκεῖνον μείζονα διαιρεῖν, ἢ ἐλάσσονα τῶν κύκλων, ἢ τῷ αὐτῷ ἐπιπέδῳ αὐτοῦ πρὸς ἄρκτους τε καὶ μεσημβρίαν. ὅταν δὲ γίνηται, πρισματίων τινῶν πηγνυμένων εἰς τὰς παρ' ἑκάτερα τοῦ μείζονος κύκλου πλευρὰς, καὶ διακρατούντων τὸν ἐλάσσονα εἰς τὸ αὐτὸ τούτῳ ἐπίπεδον. ἔπειτα εἰς τέσσαρα ἴσα διαιρουμένου τοῦ ἐλάσσονος κύκλου, κατὰ δύο τῶν οὕτω γινομένων κατὰ διάμετρον σημείων, γναρμόζομεν δύο πηγμάτια μικρὰ τετράγωνα ἴσα. ἵνα ἐπ' εὐθείας αὐτοῖς γινομένου τοῦ ἡλίου, ὅλον τὸ ὑποκάτω πηγμάτιον ὑφ' ὅλου τοῦ ὑπεράνω σκιαδῇ, νεύοντα πρὸς ἄλληλα, καὶ τὸ λιγότερον τῶν κύκλων, τουτέστιν ἵνα αἱ πλατύτεραι καὶ τετράγωνοι πλευραὶ πρὸς ἄλληλας ὦσι τετραμμέναι. καὶ ὡς ὧν τὸ λιγότερον. ἢ μὴ, ἢ μὲν, ὡς πρὸς ἄρκτους καὶ μεσημβρίαν, ἢ δὲ ὡς πρὸς τὸ λιγότερον. ἔτι δὲ καὶ πρὸς ὀρθὰς τῷ ἐπιπέδῳ τῶν κύκλων, ἐφ' ὧν παραθήσομεν κατὰ μέσον τὸ πλάτος αὐτῶν τουτέστιν κατὰ μέσης τῆς διασάσεως αὐτῶν τῆς πρὸς ἄρκτους καὶ μεσημβρίαν, ἢ συμβαλλούσης τῷ λείκῳ. γνωμόνια λεπτὰ ἀπόμορφα τῆς τοῦ μείζονος καὶ διαρρημένου κύκλου πλευρᾶς, διαλαβὼν οὕτω μέχρι γνταῦθα πρὸς τῆς κατασκευῆς τοῦ διὰ τῶν λείκων ὀργάνου, ἐξῆς καὶ πρὸς τῆς θέσεως αὐτοῦ διαλαμβάνει, ὅπως δέον ταύτῃ ἀκριβοῦν, καὶ φησί. τοῦτον δὴ τὸν μείζονα κύκλον παρ' αὐτὰς τὰς τηρήσεις ὧν συλίσκου ἴσῳ συμμέτρου, λεπτοῦ γ' ἐπιπέδῳ παραλλήλῳ τῷ ὁρίζοντι γ' τινὶ ἀνεπισκοτήτῳ χωρίῳ, παραλλήλους ἔχοντος τὰς βάσεις ἀλλήλαις, ὀρθὸν μὴ πρὸς τὸν ὁρίζοντα, παραλλήλον δὲ τῷ μεσημβρινοῦ ἐπιπέδῳ. τὸ μὲν οὖν ὀρθὸν πρὸς τὸν ὁρίζοντα, λαμβάνεται οὕτως. βαρύλλιον μολύβδινον ἰωνάκιον ἠζαρτυθὲν ἀπὸ τοῦ λιγότερου τῆς βάσεως, ὥστε ἐπ' εὐθείας εἶναι τῇ ἀστρον τῷ ἄξονι αὐτοῦ, ἐῶμεν καταφέρεσθαι ἐπιβύσαντες τῷ ἀστρον ὧν τῷ κατὰ κορυφὴν ἐσομένου σημείου τοῦ λείκου, τοῦτο δὲ ὅτι τὸ κατὰ διάμετρον τοῦ ἐφαπτομένου τῇ ἐφεδρείας τῷ συλίσκῳ, ὑπὸ θεματίοις διορθούμενοι, ἕως ἂν εἰς τὸ κατὰ διάμετρον ἐπιψαύσῃ ἡ κορυφὴ αὐτοῦ τῆς ὧν τὰ αὐτὰ πλευρᾶς τοῦ κύκλου, καὶ μήτε ἐκὸς αὐτῆς ἐνεύσῃ, μήτε ἐπικαθίσῃ αὐτῇ. καὶ ἔσαι τότε τὸ ἐπίπεδον ὀρθὸν πρὸς τὸν παρὰ τὸν ὁρίζοντα. ἐπεὶ τὸ ἰωνάκιον τῷ ἰδίῳ βάρει καταφερόμενον, ὀρθὸν τῷ ἀστρον διαφυλάξει πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον. καὶ οὕτω μὲν ὀρθὸν πρὸς τὸν ὁρίζοντα ἡ θέσις τοῦ ὀργάνου λαβίσατω. ἵνα δὲ μὴ παράλληλον τῷ μεσημβρινοῦ ἐπιπέδῳ αὐτῷ κατασήσωμεν, λαμβάνομεν πρῶτον μεσημβρινὴν γραμμὴν ὀξυήμους γ' ἀκλινεῖ τῷ ὑπὸ τῆς βάσιν ἐπιπέδῳ. καὶ ὧν ταύτης ἐφάπτοντες τὸν συλίσκον, διοπτεύομεν, προφέροντες μὲν συλίσκον διὰ κωνείου τῶν ἐρημένων τρόπων φυλαττομένων, ἕως οὗ διὰ μιᾶς πλευρᾶς τὸ ἐπίπεδον αὐτῶν παραλλήλον τῇ μεσημβρινῇ γραμμῇ διοπτεύθῃ, καὶ ὅτως ἔχομεν μὴ τῇ τοιαύτῃ θέσιν. ἔστι δ' ὅτω προχείρότερον ἅμα καὶ πρὸς ὀρθὰς καὶ παράλληλον τῷ μεσημβρινῷ τὸ ἐπίπεδον τῶν κύκλων τὴν θέσιν λαμβάνειν. ἐὰν γὰρ ἀρθέμενοι τὴν βάσιν τοῦ συλίσκου ὧν τῆς μεσημβρινῆς γραμμῆς, κανόνας δύο λαβόντες, ἐφ' ἑκάτερα τῆς βάσεως στήσωμεν ὀρθοὺς πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον τὸν ὑποδεχθησόμενον ἐξῆς ὧν τῆς πλινθίδος τρόπον, κατασήσαντες αὐτὸν τὰς ὧν τὰ αὐτὰ πλευ-

τὰ πλευρὰ κατὰ τῆς μεσημβρινῆς εὐθείας, ἔσονται καὶ πρὸς ὀρθὰς τῷ ὁρίζοντι καὶ ἐν τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ. ἐὰν οὖν εὖ κρίκους ἐπιθέντες τοῖς κανόσι ἐναρμόσωμεν μολίβδῳ τὸν μείζονα ὑπὸ τὴν ἐφέδραν, ἔσονται καὶ ὀρθοὶ πρὸς τὸν ὁρίζοντα, καὶ ἐν τῷ τοῦ μεσημβρινοῦ ἐπιπέδῳ. δηλώσας οὖν ἡμῖν τὴν κατασκευὴν καὶ τὴν θέσιν, ἑξῆς ὑπὸ τὴν χρῆσιν μεταβαίνει καὶ φησί. Τοιαύτης δὴ τῆς θέσεως γενομένης καὶ τὰ ἑξῆς. Τοιαύτην δὴ τὴν θέσιν τοῦ ὀργάνου εἰληφότος, ἐτηροῦμεν τὴν πρὸς ἄρκτους καὶ μεσημβρίαν τοῦ ἡλίου παραχώρησιν, περί τε τὰς θερινὰς τροπὰς, τουτέστι τοῦ ἡλίου περὶ τῆς ἀρχὴν τοῦ καρκίνου γινομένου, καὶ περὶ τὰς χειμερινὰς τροπὰς τοῦ ἡλίου πάλιν περὶ τὴν ἀρχὴν τῆς παρθένου τυγχάνοντος, ἐν αὐτῇ τῇ μεσημβρινῇ, τουτέστιν ἐν ς ὥρᾳ, ὅτε καὶ ἄσκιος ἐγίνετο ὁ μεσημβρινὸς, παραφέροντες τὸν ἐντὸς τῶν κύκλων, ἕως τὸ ἐπάνω πηγμάτιον τὸ κατὰ διάμετρον ἑαυτοῦ καὶ κάτω πρὸς ἡμᾶς σκιάσῃ. τότε καὶ γὰρ ἡ διὰ μέσον τῶν πηγματίων νοουμένη εὐθεῖα ἐκβαλλομένη, ὑπὸ τὸ τοῦ ἡλίου κέντρον πεσεῖται. περὶ αὐτὰς οὖν ὡς ἔφαμεν τὰς τροπὰς ὄντος τοῦ ἡλίου, διὰ τῶν ἑξῆς ἡμερῶν τὴν τοιαύτην παρατήρησιν ποιούμενοι, ἐτηροῦμεν ἕως ἂν καταλάβωμεν τὸν ἥλιον ἀπὸ τοῦ βορειοτάτου ἢ νοτιωτάτου πέρατος τρεπόμενον, καὶ ὥσπερ ὑπὸ τοῦ αὐτοῦ σημείου μένοντα τοῦ μεσημβρινοῦ, διὰ τὸ περὶ τὰ τοιαῦτα σημεῖα μᾶλλον αὐτὸν ἐγχρονίζειν ὑπὸ τοῦ αὐτοῦ. καὶ λαμβάνοντες τὸ κατ' ἐκεῖνο τὸ πέρας τῆς τοῦ ἡλίου παραχωρήσεως σημεῖον, εὑρίσκομεν πόσα τμήματα ἀφίστατο ἀπὸ τοῦ κατὰ κορυφὴν ὑπὸ τὸ βορειότατον πέρας ὑπὸ τοῦ μεσημβρινοῦ, δηλοῦντος ἡμῖν τοῦ γνωμονίου δηλαδὴ τὸ τοιοῦτον, ἐκ τῶν ἀπολειφθεισῶν διαιρέσεων τοῦ μείζονος κύκλου μεταξὺ τοῦ τε γνωμονίου τοῦ ὑπὸ τοῦ πηγματίου καὶ τοῦ κατὰ κορυφὴν σημείου, τουτέστι τοῦ κατὰ διάμετρον τοῦ τοῦ ἐπιπέδου ἐφαπτομένου. ἐπεὶ καὶ ἡ οὕτως ἐπιζευγνυμένη εὐθεῖα πρὸς ὀρθὰς γωνίας γίνεται τῷ τοῦ ὁρίζοντος ἐπιπέδῳ, ἥτις καὶ ὑπὸ τὸ κατὰ κορυφὴν πίπτει, ὅ ἐστι καὶ ἐπ' αὐτοῦ τοῦ μεσημβρινοῦ. τηρήσαντες οὖν ἀμφοτέρας τὰς κατὰ πλάτος τοῦ ἡλίου παρόδους τὴν βορειοτάτην καὶ νοτιωτάτην, ἐφ' ὧν μὲν βορειότερος ὁ ἥλιος ἐγίνετο τοῦ κατὰ κορυφὴν, τουτέστιν ἐφ' ὧν οἰκήσεων τὸ ἔξαρμα ἐλαττόν ἐστι τῶν καταλαμβανομένων τῆς τοῦ διὰ μέσων ἀπὸ τοῦ ἰσημερινοῦ ἐγκλίσεως μοιρῶν κγ νά, συντιθέντες ἀμφοτέρας τὰς ἀπὸ τοῦ κατὰ κορυφὴν ὑπὸ τὰ βορειότατα καὶ νοτιώτατα τῶν γνωμονίων ἀποστάσεις, τὴν ὅλην παραλαμβάνομενη γινομένην μεταξὺ τῶν τροπικῶν. ἔνθα δὲ ὁ ἥλιος βορειότατος γινόμενος ὑπὸ αὐτοῦ τοῦ κατὰ κορυφὴν ἐτύγχανεν, λαμβάνοντες μόνην τὴν ἀπὸ τοῦ κατὰ κορυφὴν ὑπὸ τὸ νοτιώτατον πέρας τοῦ ἡλίου παραχώρησιν, ταύτην πάλιν ἐλέγομεν εἶναι μεταξὺ τῶν τροπικῶν. ἔνθα δὲ βορειότατος ὁ ἥλιος γινόμενος, νοτιώτερος τοῦ κατὰ κορυφὴν ἐτύγχανεν, ἀπὸ τῆς νοτιωτέρας αὐτοῦ κατὰ κορυφὴν ἀποστάσεως, ἀφαιροῦντες τὴν βορειοτέραν, τὴν λοιπὴν ἐλέγομεν εἶναι μεταξὺ τῶν τροπικῶν, ἣν δίχα τεμόντες, εἴχομεν τὸ κατὰ τὸν ἰσημερινὸν σημεῖον. καθόλου δὲ ὑπὸ πασῶν τῶν οἰκήσεων ὅσον ἀπέχει τοῦτο τὸ τῆς τοιαύτης διχοτομίας σημεῖον, ὅ ἐστι κατὰ τὸν ἰσημερινὸν τοῦ κατὰ κορυφὴν, τοσοῦτον ἔσται καὶ τὸ ἔξαρμα τῆς οἰκήσεως, τοῦ τοιούτου κατὰ κορυφὴν σημείου γινομένου, κατὰ τὸν ἰσημερινὸν ὑπὸ μόνης τῆς ὀρθῆς σφαίρας. ἵνα δὲ καὶ ἐνταῦθα φανερὰ ἡμῖν γένητο διὰ τῶν γραμμῶν μῆς τὰ λεγόμενα, ἐκκείσθωσαν οἱ αβ γδ κύκλοι, ἔχοντες τῆς εἰρημένην θέσιν. κατὰ κορυφὴν δὲ ἔστω τὸ α, καὶ βόρεια μὲν ἔστω τὰ πρὸς τῷ ε, νότια δὲ τὰ πρὸς τῷ β, καὶ βορειοτάτου γινομένου τοῦ ἡλίου, σκιαζέτω τὸ ὑπεράνω πρισμάτιον τὸ ὑποκάτω κατὰ τῆς ε θέσεως, νοτιωτάτου δὲ κατὰ τῆς ἐπὶ τὸ β. ἔξομεν ἄρα καὶ ἐκ τῆς τοῦ κρίκου διαιρέσεως τῆς εαβ ἀπὸ τοῦ βορειοτάτου ὑπὸ τὸν νοτιώτατον τοῦ ἡλίου παραχώρησιν, ἥτις γίνεται μεταξὺ τῶν τροπικῶν, συγκειμένη δηλαδὴ ἐκ τῶν αε καὶ αβ ἀπὸ τοῦ κατὰ κορυφὴν ὑπὸ τὸ βορειότατον καὶ νοτιώτατον. καὶ ὁμοίως ἐὰν τὸ πηγμάτιον κατὰ τοῦ α κατὰ κορυφὴν βορειότατον γενόμενον σκιάσῃ τὸ κατὰ διάμετρον νοτιώτατον γενόμενον κατὰ τὸ θ, ἔξομεν πάλιν τὴν αθ ἐπιζητουμένην περιφέρειαν. ἐὰν δὲ τὸ μὲν βορειότατον πέρας κατὰ τοῦ β γένητο, τὸ δὲ νοτιώτατον κατὰ τοῦ κ, ἀφελόντες ἀπὸ τῆς ακ τῆς αβ, ἔξομεν λοιπὴν τῆς βκ ἐπιζητουμένην ὁμοίως περιφέρειαν, ἣν δίχα τεμόντες ἔξομεν τὸ κατὰ τὸν ἰσημερινὸν σημεῖον. Ὅτι δὲ ἡ



Αὗται μὲν οὖν αἱ ὑποθέσεις, ἃς ὑποτεθῆναι δεῖ καθόλου ταῖς κινήσεσι τῶν ἀστέρων, εἴγε μέλλοιμεν τήν τε κατὰ φύσιν τάξιν αὐτοῖς καὶ τὴν φαινομένην σώζειν ἀνωμαλίαν. ἐδείχθη γὰρ ἐκ τῶν προειρημένων, μὴ ἂν ἄλλως ὑποκεῖσθαι δυνατὸν ἐστὶν τὴν ἐκείνων κίνησιν, ἢ μὴ ὁμοκέντρων ὑποκειμένων τῶν κύκλων, ἐφ' ὧν ποιοῦνται τὰς κινήσεις, καὶ τοὺς μὴ ὁμοκέντρους διττοὺς ἐστὶν, ἢ ἐκκέντρους, ἢ ἐπικύκλους. ὃν δὲ τρόπον εἴρητε διοριζομένοις, τὰ αὐτὰ συμβήσετε πάντα, καὶ οὐδὲν διοίσουσι τὰ περὶ τοὺς ἀστέρας φαινόμενα ὁποτέρας ὑποκειμένης. δέδεικται μὲν οὖν ὅτι, ὁμοίως ἡ μεγίστη κίνησις καὶ ἡ ἐλαχίστη, καθ' ἑκατέραν παρακολουθεῖ. δείξομεν δὲ καὶ ὅτι καθ' ἑκατέραν αὐτῶν ἡ μεγίστη γίνεται διαφορὰ τῆς ὁμαλῆς κινήσεως παρὰ τὴν ἀνώμαλον, καθ' ἣν καὶ ἡ μέση παρόδος τῶν ἀστέρων νοεῖται. ὑποκειμένων δηλονότι τῶν εἰρημένων, τοῦτ' ὧν τἀναντία τῆς τοῦ ἐπικύκλου κινήσεως τὸν ἀστέρα κινεῖσθαι, καὶ τοῦ ὁμοίας κινεῖσθαι περιφερείας τὸν ἀστέρα ὧν τοῦ ἐκκέντρου ἐν τοῦ αὐτῷ χρόνῳ, καὶ τόν τε ἀστέρα ὧν τοῦ ἐπικύκλου, καὶ τὸν ἐπίκυκλον ὧν τοῦ ὁμοκέντρου. μέση δὲ παρόδος καθ' ἑκατέραν ἐστὶν, ὅταν ὁ ἀστὴρ τεταρτημορίου περιφέρειαν ὡς εἴρηται ἀπέχῃ τοῦ ἀπογείου ὧν τοῦ ὁμοκέντρου τοῦ ζωδιακῷ. καλεῖται δὲ μέση, ἐπεὶ μεγίστη μὲν κίνησις πρὸς τοῦ περιγείῳ παρακολουθεῖ, ἐλαχίστη δὲ πρὸς τοῦ ἀπογείῳ, ἡ δὲ ἐνταῦθα κίνησις, μεταξὺ γίνεται, ὡς ἐν τοῖς προειλημμένοις ἐδείχθη. ἔτι δὲ κἀκεῖνο συμβαίνει τούτων ὑποκειμένων, ἀμφοτέραις ταῖς ὑποθέσεσι, τὸν τὸν ἀπὸ τῆς μεγίστης κινήσεως ὧν τὴν μέσην χρόνον, ἐλάττωνα ἐστὶν τοῦ ἀπὸ τῆς μέσης ὧν τὴν ἐλαχίστην. καὶ ὠδὶ μὲν τοῦ ἐκκέντρου, ἀεὶ συμβαίνει, ὠδὶ δὲ τοῦ ἐπικύκλου οὐκέτι, ἀλλ' ὅταν ὧν τἀναντία γίνηται ἡ κίνησις τοῦ ἀστέρος τῇ τοῦ ἐπικύκλου κινήσει. ὡς εἴγε τὸ ἀνάπαλιν ὑποθείημεν, ὁ ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὧν τὴν μέσην χρόνος, ἐλάττων ἔσται τοῦ ἀπὸ τῆς μέσης, ὠδὶ τὴν μεγίστην. ταῦτα μὲν οὖν αὐτίκα γενήσεται φανερά.



Νυνὶ δὲ διειχθήσεται πρῶτον ὧν τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως, μέγιστον ἐστὶν τῶν παρὰ τὴν ἀνωμαλίαν διαφόρων, τὸ πρὸς τῇ μέσῃ πρόδῳ. ἔστω δὴ πρῶτον, ὁ ἔκκεντρος τοῦ ἀστέρος κύκλος ὁ αβγδ περὶ κέντρον τὸ ε, καὶ διάμετρον τὴν αεγ, ἐφ' ἧς εἰλήφθω τὸ τοῦ ζωδιακοῦ κέντρον, τουτέστι τὸ κατὰ τῆς ὄψιν, καὶ ἔστω τὸ ζ. καὶ διὰ τοῦ ζ πρὸς ὀρθὰς γωνίας διαχθείσης τῇ αεγ τῆς βζδ, ὑποκείσθω ὁ ἀστὴρ ἐπὶ τῶν β καὶ δ σημείων, ἵνα δηλονότι ὁ ἀστὴρ ἑκατέρωθεν τεταρτημορίου περιφέρειαν ἀπέχῃ τοῦ α ἀπογείου ὧν τοῦ ζωδιακοῦ. δεικτέον δὴ ὅτι πρὸς τοῖς β καὶ δ σημείοις, ἡ μεγίστη γίνετε διαφορὰ τῆς ὁμαλῆς κινήσεως παρὰ τῆς ἀνώμαλον. ἐπιζεύχθω γὰρ ἥτε εβ καὶ εδ, ὅτι μὲν

ὅτι ἡ μοῦ ὄρ αὐ ἔχη λόγον, ἣν ὑπὸ εβ γωνία πρὸς τὰς δ ὀρθὰς, οὕτω ἔχειν τ λόγον ἣν ϛ παρὰ τὴν ἀνωμαλίαν διαφόρου περιφέρεια, πρὸς τὸν ὅλον κύκλον αὐτόθεν γίνεται φανερόν. γεγράφθω γὰρ ἐκκέντρου τοῦ ζ, καὶ διαστήματι τοῦ ζα κύκλος ὁμόκεντρος τοῦ ζωδιακῶ ὁ ακλ. καὶ διήχθω ἡ ζδ ἐπὶ τὸ λ, καὶ ἀπὸ τοῦ ε τῇ ζδλ, παράλληλος ἤχθω ἡ εσπ. ἐπεὶ τοίνυν ὁ ἀστὴρ κατά τὸ δ ὑπόκειται, εἴη ἂν φανερὸν ὅτι κατὰ τὸ λ, ὁμαλῶς δὲ κατὰ τὸ κ. καὶ ἐὰν ὑποσωμεν ἀπὸ τῆ πρώτου ἀπογείου μεταλήλυθότα τὸν ἀστέρα ἴσῃ τὸ δ, ἀκριβὴς μὲν ἔσαι ἴσῃ τοῦ ὁμοκέντρου, ἡ αλ, ὁμαλὴ δὲ ἡ ακ, διαφορὰ δὲ ἡ κλ. ὡς δὲ ἀπὸ περιφέρειαι, καὶ αἱ γωνίαι αἱ πρὸς τοῖς ἐκκέντροις, ὑφ' ἃς ὑποτείνουσι. φανερὸν ἄρα γωνία ὀξεῖα, ἣν ὑπὸ αζλ γωνία, ἤγουν ἡ ὑπὸ ακ. ὁμαλὴ δὲ ἡ ὑπὸ αεδ. διαφορὰ δὲ αὐτῶν ἡ ὑπὸ κεδ, ἤγουν ἡ ὑπὸ εδζ. ἴσῃ γὰρ ἡ ὑπὸ εδζ τῇ ὑπὸ κεδ. διὰ τὸ παράλληλον ὑποκεῖσθαι ἀλλήλαις τὴν εκ ζλ, τὴν εδ ἐμπίπτειν, καὶ τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλλήλαις ποιεῖν, τουτέστι τὴν ὑπὸ κεδ τῇ ὑπὸ εδζ. ὥστε ἐπεὶ ὃν ἔχει λόγον ἡ κλ τοῦ παρὰ τὴν ἀνωμαλίαν διὰ φόρου περιφέρεια πρὸς τὸν ὅλον κύκλον, τοῦτον ἔχει τὸν λόγον, ἡ ὑπὸ κεδ γωνία πρὸς τὰς δ ὀρθὰς, καὶ ἡ πρὸς τῷ δ γωνία ἄρα ὃν ἔχει λόγον τὸ διαφορὸν πρὸς τὸν κύκλον, τοῦτον ἔχει πρὸς τὰς δ ὀρθὰς. ὁμοίως καὶ ἡ πρὸς τῷ β γωνία, καὶ πᾶσα ἴσῃ τῶν πρὸς τοῦ ἐκκέντρου περιφέρεια τῇ τῆς εζ βαίνουσα, διηχθήσεται τῶν ἀπὸ τοῦ ἀπογείου ὁμαλῶν καὶ ἀνελιττόντων κινήσεων τὸ διαφορὸν περιέχειν. Δεικτέον δὴ ὅτι τῶν πρὸς τῷ β καὶ δ γωνιῶν, ἄλλη γωνία μείζων οὐ συναθήσεται. συνεστάτωσαν γὰρ γωνίαι πρὸς τοῖς θ καὶ η σημείοις, ἣν ὑπὸ εθζ ἡ ὑπὸ εηζ. ἐπεὶ ἡ ἡ θε εὐθεῖα, ἢ ὠδὶ εὐθείας ἔσαι τῇ εδ, ἢ μὴ ἐπ' εὐθείας, ἢ εἰ μὴ ἐπ' εὐθείας ἢ πρὸς ὀρθὰς ἔσαι τῇ αζ, ἢ ἀνίσους ποιοῦσα τὰς πρὸς τῷ ε γωνίας, ἡ ἀνίσους ποιοῦσα, ἢ τῇ ὑπὸ θεζ ἀμβλείαν, ἢ τῇ ἐφεξῆς. ὑποκείσθω πρῶτον ἐπ' εὐθείας. καὶ ἐπιζευχθείσης τῆς δη, δεικτέον αὖ εἴη τὸ προμεμνημον. ἐπεὶ τοίνυν ἡ ὑπὸ εζδ γωνία, ὀρθή ὅλη, ἣν δὲ ὑπὸ θζε ὀξεῖα ὅλη, ἣ ἄρα ζθ, ἔγγιον ὅλη τῇ δζ τοῦ ἐκκέντρου τῇ αεζ, ἢ ἡ ζδ. μείζων ἄρα ἡ θζ τῆ ζδ. τριγώνου δὴ τοῦ θεδ, μείζων πλευρὰ ἑνὶ ἡ θζ, τῆς ζδ. καὶ γωνία ἄρα ἡ ὑπὸ εδζ μείζων ὅλη τῆς ὑπὸ ζθδ. πάλιν ἐπεὶ διὰ τὰ προειρημένα, μείζων ὅλη ἡ δζ τῆς ζη, ἣ ἄρα ὑπὸ δηζ μείζων ὅλη τῆς ὑπὸ ζδη. ἴσῃ δὲ ὅλη ἡ ὑπὸ εηδ, ὅλῃ τῇ ὑπὸ εδη, ὧν αἱ ἴσοι ἀφήρηνται, αἱ ὑπὸ ζηδ ζδη γωνίαι καὶ μείζων ἡ πρὸς τῷ η, λοιπὴ ἄρα ἡ ὑπὸ εδζ μείζων ὅλη, τῆς ὑπὸ εηζ, ἴσῃ δὲ ἡ ὑπὸ εβζ τῇ ὑπὸ εδζ. ἴσῃ γὰρ ἡ εβ, τῇ εδ. καὶ ἡ ὑπὸ εβζ γωνία ἄρα, μείζων ὅλη ἑκατέρας τῶν πρὸς τῷ θ καὶ η γωνιῶν. πάλιν ὑποκείσθω τὴν θε μὴ ἐπ' εὐθείας τῆς αὐτῆς ἐν τῇ εδ, ἀλλὰ πρὸς ὀρθὰς τῇ εζ. καὶ ἐπεζεύχθω ἡ θδ, δεικτέον δὴ τὴν ὑπὸ εθζ ἐλάττω τῆς πρὸς τῷ β. ἐπεὶ γὰρ μείζων ὅλη ἡ θζ τῆς ζδ, γωνία ἄρα ἡ ὑπὸ θδζ γωνίας τῆς ὑπὸ δθζ, μείζων ὅλη. ἐπεὶ δὲ καὶ ἡ ὑπὸ εδθ ἴσῃ ὅλη τῇ ὑπὸ εθδ, ὅλη ἄρα ἡ ὑπὸ εθζ ἐλάττων ὅλης τῆς ὑπὸ εδζ ὅλης. ἤγουν ἢ πρὸς τῷ β γωνίας. ἐὰν δὲ ὀξεῖα πάλιν ἡ ἡ ὑπὸ αεθ ὁμοίως διηχθήσεται, ἐπιζευχθείσης τῆς θδ. οὐκ ἄρα συνατὸν ἄλλας μείζονας συνίσασθαι γωνίας καθ' ὃν εἰρήκαμεν τρόπον τῶν πρὸς τοῖς β καὶ δ σημείοις. ὅτι δὲ καὶ τὸν μέσον χρόνον μείζων ὅλη τοῦ ἀπὸ τῆς ἀπὸ τῆς ἐλαχίσης κινήσεως τοῦ ἀπογείου τῷ μέσῳ χρόνος μείζων ὅλη τοῦ ἀπὸ τῆς μέσης ὠδὶ τῷ μεγίσῳ, αὐτόθεν γίνεται φανερόν. ἐπεὶ γὰρ γ' ἴσῳ χρόνῳ ἴσας ὠδὶ τοῦ ἰδίου κύκλου κινεῖται πρόοδος ὁ ἀστὴρ, πρόδηλον ὅτι καὶ τὰς ἀνίσους περιφερείας γ' ἀνίσῳ





κινηθήσεται χρόνῳ. καὶ ἐν τῷ μείζονι τὴν μείζω. ἔστι δὲ ἡ ᾱβ, μείζων τῆς β̄γ, μείζων ἄρα χρόνος ἐν ᾧ τὴν ᾱβ κινεῖται, ἢ ἐν ᾧ τὴν β̄γ. ἀλλὰ ἡ μὲν ἀπὸ τοῦ ᾱ ὠθῆ τὸ β̄ κίνησις τοῦ ἀστέρος, ἡ ἀπὸ τῆς ἐλαχίστης ὠθῆ τὴν μέσην ἐστὶν, ἡ δὲ ἀπὸ τοῦ β̄ ὠθῆ τὸ γ̄, ἡ ἀπὸ τῆς μέσης ὠθῆ τὴν μεγίστην. ὁ ἄρα ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὠθῆ τὴν μέσην χρόνος, μείζων ἐστὶ τοῦ ἀπὸ τῆς μέσης, ὠθῆ τὴν μεγίστην. ἔστι δὲ μείζων, ἡ περιέχουσα περιφέρεια τὸν μείζω χρόνον τῆς περιεχούσης τὸν ἐλάττω. ἤγουν ἡ ᾱβ τῆς β̄γ, δυσὶ ταῖς τὸ μέγιστον διαφορὸν τῆς ἀνωμαλίας περιεχούσαις περιφερείαις. ἐπεὶ γὰρ ἡ ὑπὸ αε̄β γωνία μείζων ἐστὶ τῆς ὑπὸ αζ̄β, ἤγουν τῆς ὑπὸ βζ̄γ τῇ πρὸς τῷ β̄ γωνίᾳ, ἡ δὲ ὑπὸ βζ̄γ, ἴση ἐστὶ τῇ τε ὑπὸ βε̄ζ. καὶ τῇ ὑπὸ εβ̄ζ, ἡ ἄρα ὑπὸ αε̄β γωνία μείζων ἐστὶ τῶν ὑπὸ εβ̄ζ ζε̄β, τῇ πρὸς τῷ β̄, ἡ ἄρα ὑπὸ αε̄β μείζων ἐστὶ τῆς ἐφεξῆς αὐτῇ τῆς ὑπὸ βε̄ζ, δυσὶ ταῖς πρὸς τῷ β̄ γωνίαις. ἐπεὶ δὲ ὡς αἱ γωνίαι καὶ αἱ περιφέρειαι, ἔστιν ἄρα ἡ ᾱβ μείζων τῆς β̄γ τῇ ὑποτεινομένῃ περιφερείᾳ, ὑπὸ τῆς διπλῆς τῆς πρὸς τῷ β̄ γωνίας. δέδεικται γὰρ ὑπὸ τῆς πρὸς τῷ β̄ γωνίας τὸ μέγιστον διαφορὸν περιέχεσθαι.

Παλιν ἐνέκεν τοῦ ὠθῆ τῆς ἑτέρας ὑποθέσεως δεῖξαι τὸ αὐτὸ συμβαῖνον, ἔστω ὁ μὲν ὁμόκεντρος τῷ κόσμῳ κύκλος ὁ αβ̄γ, περὶ κέντρον τὸ δ̄. καὶ διαμετρὸν τὴν αδ̄β. ὁ δὲ ἐν τῷ αὐτῷ ἐπιπέδῳ φερόμενος ἐπ' αὐτοῦ ἐπίκυκλος, ὁ εζ̄η, περὶ κέντρον τὸ ᾱ. καὶ ὑποκείσθω ὁ ἀστὴρ κατὰ τὸ η̄, ὅταν τεταρτημόριον ἀπέχων φαίνητρ τοῦ ᾱ ἀπογείου. λέγω ὅτι ἡ ἀπὸ τοῦ κέντρου τοῦ ζωδιακοῦ διὰ τοῦ ἀστέρος ἐπ' αὐτὸν ἰοῦσα εὐθεῖα ὡς ἡ δη̄γ, ἐφάψεται τοῦ ἐπικύκλου. τούτου γὰρ δειχθέντος, δῆλον γενήσεται τὸ προκείμενον. τότε γὰρ τὸ πλεῖστον γίνεται διαφορὸν τῆς ὁμαλῆς κινήσεως παρὰ τὴν ἀνώμαλον. ἐπεὶ γὰρ ἡ μὲν ὁμαλὴ ἀπὸ τοῦ ἀπογείου κίνησις περιέχεται ὑπὸ τῆς εᾱ γωνίας, ἴση γὰρ ἐστὶ τῇ ὑπὸ αδ̄ε, ἡ τὸ κέντρον κεκίνητο τοῦ ἐπικύκλου, διὰ τὸ ἰσοταχῶς τόν τε ἀστέρα ὠθῆ τοῦ ἐπικύκλου καὶ τὸν ἐπίκυκλον ὠθῆ τοῦ ὁμοκέντρου ὑποκεῖσθαι κινεῖσθαι, τὸ δὲ διαφορὸν περιέχεται ὑπὸ τῆς εδ̄γ, γωνίας. ἐδείχθη γὰρ ἐκ τῶν προειρημένων τὸ διαφορὸν περιέχεσθαι ὑπό τε τῆς διὰ τοῦ κέντρου τοῦ ἐπικύκλου εὐθείας, καὶ τῆς διὰ τοῦ κέντρου τοῦ ἀστέρος ἀπὸ τοῦ κέντρου τοῦ ζωδιακοῦ. ἐπεὶ τοίνυν ὁμαλὴ μὲν ἡ ὑπὸ εᾱη ἡ γωνία, ἡ διαφορὰ ἢ διαφέρει τῆς ἀνωμάλου ἡ ὑπὸ εδ̄γ ἐστὶν, ἢ διαφέρει τῆς ὑπὸ δη̄α γωνίας, φανερὸν ὅτι ἡ ὑπὸ δη̄α γωνία, ἴση ἐστὶ τῇ ἀκριβεῖ. ὑπόκειται δὲ ἡ ἀκριβὴς τεταρτημορίου, ἡ ἄρα ὑπὸ δη̄α γωνία ὀρθὴ ἐστιν. ἐφαπτομένη ἄρα ἐστὶν ἡ δη̄γ. ἄλλη γὰρ οὐκ ἂν εἴη ἐφαπτομένη. εἰ γὰρ δυνατὸν, ἤχθω, καὶ ἢ ἐντὸς πεσεῖται τῆς ὑπὸ εδ̄γ γωνίας, ἢ ἐκτὸς. ἤχθω πρῶτον ἐντὸς ὡς ἡ δ̄ξ. καὶ ἐπεζεύχθω ἡ ᾱξ. ὀρθὴ ἄρα ἐστὶν ἡ ὑπὸ δξ̄α γωνία. ἔστι δὲ καὶ ἡ πρὸς τῷ η̄ ὀρθὴ, ἴση ἄρα ἡ πρὸς τῷ η̄ τῇ πρὸς τῷ ξ̄. ἀλλὰ τῆς ἐλάττων, ὡς δέδεικται ἐν τῇ στοιχειόσει, ὅπερ ἀδύνατον. διὰ τὰ αὐτὰ δειχθήσεται, ὅτι οὐδὲ εἰ ἐκτὸς γένοιτο τῆς ὑπὸ εδ̄γ γωνίας, ἐφάψηται τοῦ ἐπικύκλου. ἡ ἄρα δη̄γ ἐφάπτεται τοῦ ἐπικύκλου. τῶν ἄρα πρὸς τῷ δ̄ ὑπὸ τῶν διὰ τοῦ κέντρου τοῦ ἐπικύκλου καὶ τοῦ κέντρου τοῦ ἀστέρος γινομένων γωνιῶν, δηλονότι τῶν παρὰ τὴν ἀνωμαλίαν διαφόρων, μεγίστη ἐστὶν ἡ ὑπὸ εδ̄γ, ἥτις γίνεται πρὸς μέσῃ παρόδῳ, ὅπερ ἔδει δεῖξαι. ὅτι δὲ καὶ ὠθῆ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως μείζων τέ ἐστιν ὁ ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὠθῆ τὴν μέσην χρόνος τοῦ ἀπὸ τῆς μέσης ὠθῆ τὴν μεγίστην, καὶ ἡ περιέχουσα περιφέρεια τὸν μείζω χρόνον, μείζων ἐστὶ τῆς περιεχούσης τὸν ἐλάττω, ἡ ε̄η δηλονότι τῆς η̄ζ, δὶς τῷ μεγίστῳ διαφόρῳ, φανερόν. ἐὰν γὰρ προσεκβάμωλεν τὴν δη̄θ, τῆς ἀγάγωμεν τῇ ε̄ζ πρὸς ὀρθὰς γωνίᾳ τὴν ακ̄θ, ἴσαι μὲν γίνονται ἥτε ὑπὸ κᾱη γωνίᾳ τῇ ὑπὸ αδ̄γ, τῆς ἡ κ̄η περιφερεία τῇ ᾱγ ὁμοία. ταύτῃ δὲ τῇ κ̄η περιφερείᾳ, ἡ μ̄ ε̄κ̄η περιφερείᾳ μείζων ἐστὶ τεταρτημορίου, ἡ δὲ ζ̄η ἐλάττων τῇ αὐτῇ τεταρτημορίου, ὥστε ἡ μὲν ε̄κ περιφέρεια ἥτις ἐστὶ τεταρτημορίου, μείζων ἐστὶ τῆς η̄ζ ἅπαξ τῇ κ̄η.



συναμ-

συναμφότεραι δὲ αἱ ε̅κ̅ κ̅η μείζονες ἔσονται, τῆς ε̅ζ, δὶς τῇ κ̅η, ὅπερ ἔδει δεῖξαι.
Ὅτι μὲν οὖν ἐὰν ἀπὸ ἀπογείου λαμβάνονται αἱ τῶν ἀστέρων κινήσεις, τῶν διαφόρων μέγιστον ἔσται τὸ πρὸς τῇ μέσῃ παρόδῳ, δέδεικτε ἤδη δείξομεν δὲ ὅτι ἐὰν ἀπὸ διαφόρων σημείων λαμβάνονται, μέγιστον ἔσται τὸ γινόμενον ἀπὸ τοῦ ἀπογείου κινουμένου τοῦ ἀστέρος, οἷον ὧν τῆς ἐκκειμένης τοῦ ἐκκέντρου κύκλου καταγραφῆς, ἐὰν ἀπὸ τοῦ α̅ ἀπογείου ἴσαι περιφέρειαι ἀπολημφθῶσιν αἱ α̅κ̅ κ̅λ̅ λ̅ν̅ ν̅δ̅, οὐκ ἴσω διοίσουσι τῶν ἀκριβῶν, ἃς ὁ ἀστὴρ ὧν τοῦ ζωδιακοῦ φανήσεται κεκινημένος, ὅταν ὁμαλῶς ταύτας ὑποκέηται κινεῖσθαι, ἀλλὰ μεγίστῳ μὲν ἡ α̅κ̅, ἐλαχίστω δὲ ἡ ν̅δ̅. τῶν δὲ ἄλλων ἀεὶ ἡ ἔγγιον τῆς πρὸς τοῦ ἀπογείῳ τῆς ἀπώτερον, μείζονι. γεγραφθῷ γὰρ κέντρῳ τοῦ ζ̅, καὶ διαστήματι τοῦ ζ̅ξ̅ ὁ ὁμόκεντρος τοῦ ζωδιακῷ, ὁ ξ̅σ̅ τ̅. καὶ ἐπεζεύχθωσαν αἱ ζ̅κ̅ο̅ ζ̅λ̅π̅ ζ̅ν̅ρ̅ ζ̅δ̅ς̅, καὶ ἔτι αἱ ε̅κ̅ ε̅λ̅ ε̅ν̅ ε̅δ̅. ὑποκείσθω δὲ τὸ δ̅ πρὸς τῇ μέσῃ παρόδῳ. δεικτέον δὴ τὸ προκείμενον, ὅτι τὴν α̅κ̅ κινηθεὶς ὁ ἀστὴρ, μεῖζον ποιήσει τὸ διάφορον, ἢ τὴν κ̅λ̅. καὶ ἐν τῇ κ̅λ̅, μεῖζον, ἢ ἐν τῇ λ̅ν̅, καὶ ἐφεξῆς. λέγω πρῶτον ὅτι ἑκάστη τῶν α̅κ̅ κ̅λ̅ λ̅ν̅ ν̅δ̅, μείζων ἐστὶν ἢ ὁμοία, ἑκάστης τῶν ξ̅ο̅ ο̅π̅ π̅ρ̅ ρ̅σ̅. μὴ γὰρ, ἀλλ' εἰδυνατὸν, ὑποκείσθωσαν πρῶτον ὁμοῖαι. καὶ πρῶτον ἡ κ̅λ̅ τῇ σ̅π̅. ὧν γὰρ τῆς α̅κ̅ φανερὸν ὃ λέγω γίνετε, ἔστι γὰρ τριγώνου τοῦ κ̅ε̅ζ̅, ἡ μὲν ὑποτείνουσα τὴν α̅κ̅ γωνίαν ἐκτὸς, ἡ δὲ ὑποτείνουσα τὴν ξ̅ο̅, ἐντὸς καὶ ἀπεναντίον. ἐπεὶ τοίνυν ἡ λ̅ ὁμοία ἐστὶ τῇ ο̅π̅, ἡ ἄρα ὑπὸ κ̅ζ̅λ̅, ἴση ἐστὶ τῇ ὑπὸ κ̅ε̅λ̅. ἐπεὶ δὲ ἡ ὑπὸ α̅ε̅κ̅ μείζων ἐστὶ τῆς ὑπὸ κ̅ζ̅α̅ τῇ πρὸς τοῦ κ̅, ἴσων δὴ προστεθεισῶν αὐταῖς τῶν ὑπὸ κ̅ζ̅λ̅ κ̅ε̅λ̅ γωνιῶν, ἄνισοι μὲν πάλιν ἔσονται, διοίσουσι δὲ ἀλλήλων τοῦ αὐτῷ διαφόρῳ. ἡ ἄρα ὑπὸ α̅ε̅λ̅ ὅλη ὅλης τῆς ὑπὸ α̅ζ̅λ̅ μείζων ἐστὶ τῇ πρὸς τοῦ κ̅ γωνίᾳ. ἔστι δὲ μείζων αὐτῆς καὶ τῆς πρὸς τοῦ λ̅. ἡ ἄρα πρὸς τοῦ λ̅, ἴση τῇ πρὸς τῷ κ̅. ὅπερ ἀδύνατον. μείζων γὰρ, ὡς αὐτίκα δειχθήσεται ἡ ἔγγιον τοῦ μεγίστου τῆς ἀπώτερον. λέγω ὅτι οὐδὲ ἐλάττων ἐστὶν ἡ ὑπὸ κ̅ε̅λ̅ γωνία τῆς ὑπὸ κ̅ζ̅λ̅. ὑποκείσθω γὰρ. καὶ προστεθεισῶν ταῖς ὑπὸ κ̅ε̅λ̅ κ̅ζ̅α̅ τῶν ὑπὸ κ̅ε̅λ̅ κ̅ζ̅λ̅ ἑκατέρα ἑκατέρας, ὅλη ἡ ὑπὸ λ̅ε̅α̅ ὅλης τῆς ὑπὸ λ̅ζ̅α̅ μείζων ἔσται, ἐλάττονος τῆς πρὸς τοῦ κ̅ γωνίας. καὶ ἔσται ἡ πρὸς τοῦ λ̅, ἐλάττων τῆς πρὸς τῷ κ̅, ὅπερ ἀδύνατον. μείζων ἄρα ἡ ὑπὸ κ̅ε̅λ̅, τῆς ὑπὸ α̅ζ̅λ̅. ὡς δὲ αἱ γωνίαι καὶ αἱ περιφέρειαι. μείζων ἄρα ἡ ὁμοία, τῇ ο̅π̅ ἡ κ̅λ̅. διὰ τὰ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ μὲν λ̅ν̅ μείζων ἢ ὁμοία ἐστὶν τῇ π̅ρ̅, καὶ ἡ ν̅α̅ τῇ ρ̅σ̅. ὁμοίως δὴ δειχθήσεται καὶ ὧν τοῦ περιγείου ὅτι τῶν ἀπολαμβανομένων ἐν τῇ κινήσει τοῦ ἀστέρος ὁμαλῶς καὶ ἀνωμάλων περιφερειῶν, μείζους εἰσὶν αἱ ἀκριβεῖς τῶν ὁμοίων ταῖς ὁμαλαῖς. λέγω δὴ ὅτι οὐδὲ ἴσω διαφέρουσιν ἑκάστη τῶν ὁμαλῶν, ἑκάστης τῶν ἀκριβῶν καὶ τὰ ἑξῆς τῆς προτάσεως. ἐπεὶ γὰρ ἡ α̅κ̅ ἴση ἐστὶ τῇ κ̅λ̅, μείζων ἄρα ἡ π̅ο̅ τῆς ο̅ξ̅. δείδεικται γὰρ μικρῷ πρόσθεν. ἔστιν ἄρα ἡ ὑπὸ κ̅ζ̅λ̅ γωνία, μείζων τῆς ὑπὸ κ̅ζ̅α̅. ἄλλη δέ τις ἡ ὑπὸ κ̅ε̅α̅. ἡ ἄρα ὑπὸ κ̅ε̅α̅ πρὸς τῆς ὑπὸ κ̅ζ̅α̅, μείζονα λόγον ἔχει, ἤπερ πρὸς τῆς ὑπὸ κ̅ζ̅λ̅. ἴση δὲ ἡ ὑπὸ α̅κ̅ε̅ τῇ ὑπὸ κ̅ε̅λ̅. ἡ ἄρα ὑπὸ α̅ε̅κ̅ πρὸς τῆς ὑπὸ α̅ζ̅κ̅ μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ κ̅ε̅λ̅, πρὸς τὴν ὑπὸ κ̅ζ̅λ̅. μείζονι ἄρα ὑπερέχει ἡ ὑπὸ α̅ε̅κ̅ τῆς ὑπὸ α̅ζ̅κ̅, ἤπερ ἡ ὑπὸ κ̅ε̅λ̅, τῆς ὑπὸ κ̅ζ̅λ̅, ἡ ἄρα α̅κ̅, μείζονι διαφέρει τῆς ὁμοίας τῇ ξ̅ο̅, ἤπερ ἡ κ̅λ̅ τῆς ὁμοίας τῇ ο̅π̅. διὰ τὰ αὐτὰ δὴ δειχθήσεται καὶ ἡ κ̅λ̅ μείζονι ὑπερέχουσα τῆς ὁμοίας τῇ ο̅π̅, ἤπερ ἡ λ̅ν̅ τῆς π̅ρ̅, καὶ ἡ ν̅δ̅ τῆς ρ̅σ̅. ὥστε τῶν γινομένων τῶν ὁμαλῶν παρὰ τὰς ἀνωμάλους διαφόρων, ἑκάστην τῶν α̅κ̅ κ̅λ̅ λ̅ν̅ ν̅δ̅ διερχομένου τοῦ ἀστέρος, μέγιστον μὲν γίνεσθαι τὸ πρὸς τοῦ ἀπογείῳ, ἐλάχιστον δὲ, τὸ πρὸς τῇ μέσῃ παρόδῳ. καὶ τῶν μεταξὺ τὸ ἔγγιον ἀεὶ τοῦ μεγίστου τοῦ ἀπώτερον μεῖζον. ὅπερ ἔδει δεῖξαι. Ἔνεστι δὲ τὸ αὐτὸ κατανοῆσαι συμβαῖνον καὶ ὧν τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, ἐὰν ὧν τῆς καταγεγραμμένης κατ' ἐπίκυκλον ὑποθέσεως ἀπληφθῶσιν ἀπὸ τοῦ ε̅ ἀπογείου ἴσαι περιφέρειαι αἱ ε̅κ̅ κ̅λ̅ λ̅ν̅ ν̅ρ̅, αὐτόθεν δῆλον ἔσται ὅτι οὐκ



ἴσον καθ' ἑκάστην γίνεται τὸ παρὰ τῆς ἀνωμαλίαν διάφορον, ἀλλὰ μέγιστον πρὸς τοῦ ἀπογείου. ἐπεζεύχθωσαν γὰρ αἱ δμκ δολ δξν δρθ. τὸ μὲν οὖν γινόμενον διάφορον τὴν εκ κινουμένου τοῦ ἀστέρος, ἡ ὑπὸ εδκ γωνία ἐστὶν, τῆς δὲ κλ, ἡ ὑπὸ κδλ, τῆς δὲ λν, ἡ ὑπὸ λδν, τὴν δὲ νθ ἡ ὑπὸ νδθ. δέδεικται δὲ διὰ τῶν προειρημένων, τῶν ὑπὸ τοῦ ἐπικύκλου περιφερειῶν ἴσων ὑποκειμένων τῶν πρὸς τοῦ δ γωνιῶν, μεγίστην μὲν εἶναι τῆς πρὸς τῷ ἀπογείῳ, ἐλαχίστην δὲ τὴν πρὸς τῇ μέσῃ παρόδῳ, τῶν δὲ ἄλλων τὴν ἔγγιον τῆς μεγίστης, τῆς ἀπώτερον μείζονα. δέδεικται ἄρα ἡ προτεθεὶν ἐν ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως. οὕτω μὴ οὖν δείκνυται καθ' ἑκατέραν τῶν ὑποθέσεων μέγιστον ὁμοίως ἡ πρὸς τῷ ἀπογείῳ διάφορον, ἐὰν μὴ ἀπὸ τοῦ ἀπογείου ἀεὶ λαμβάνονται, αἱ τῶν ἀστέρων κινήσεις. καὶ αὖθις, ἐὰν ἀπὸ τοῦ ἀπογείου ἀεὶ λαμβάνοντες μέγιστον ὁμοίως πρὸς τῇ μέσῃ ἡ παρόδῳ. ἄνευ τοῦ σοῦ λόγους σοῦ αὐτοὺς ὑποκεῖσθαι, τοῦ τε ὃν ἔχει ἡ ἐκ τοῦ κέντρου τοῦ ὁμοκέντρου πρὸς τῆς ἐκ τοῦ κέντρου τοῦ ἐπικύκλου, ἐν τοῦ ὃν ἔχει ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου, πρὸς τῆς μεταξὺ τῶν κέντρων. τῶν μέντοι λόγων τῶν εἰρημένων τῶν αὐτῶν ὑποκειμένων, δείξομεν ὅτι, ἐν τοῖς παρὰ τῆς ἀνωμαλίαν διαφόροις ἐν ὁ αὐτὸς ἐστὶ λόγος καθ' ἑκατέραν τῶν ὑποθέσεων, καὶ ὃν ἔχει λόγον ὑπὸ τοῦ ἐκκέντρου, ἡ περιέχουσα ἡ μέγιστον διάφορον γωνίων πρὸς ἑκάστην τῶν λοιπῶν διαφόρων, οὕτω ἔχει τὸν λόγον ἐν ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεων. Καὶ πρῶτον ἐκεῖνο δεικτέον ὅτι ἀπὸ τοῦ ἀπογείου τῶν τοῦ ἀστέρος κινήσεων λαμβανομένων καθ' ἑκατέραν τῶν ὑποθέσεων ἐν τοῦ μεγίστου διαφόρου κύκλου πρὸς τῇ μέσῃ παρόδῳ, τὸ ἔγγιον αὐτοῦ τοῦ ἀπώτερον μεῖζον εἶναι. ἐν πρῶτον ἔστω ἔκκεντρος κύκλος ὁ αβγ περὶ κέντρον ἡ δ, ἐν διάμετρον τὴν αδγ, ἐφ' ἧς εἰλήφθω τὸ κέντρον τοῦ ὁμοκέντρου. ἐν ἔστω ἡ ε. καὶ διήχθω ἡ βεθ, πρὸς ὀρθὰς τῆς δεγ. ἐν συνεστάτωσαν γωνίαι πρὸς τοῖς κλ σημείοις, αἱ ὑπὸ δλε δκε. ἐν ἔτι αἱ ὑπὸ δμε δνε. καὶ ἐκβληθεισῶν τῶν λε ξε ὑπὸ τὰ ρμ σημεῖα, ἐπεζεύχθωσαν αἱ κρ νξ, ἐν ἔτι αἱ δθ δβ. τὰ μὴ οὖν μέγιστα διάφορα αἱ πρὸς τοῦ β καὶ θ γωνίαι. δεικτέον δὴ ὅτι ἡ μὴ ὑπὸ εκδ γωνία μείζων ἐστὶ τῆς ὑπὸ ελδ, ἡ δὲ ὑπὸ δμε μείζων τῆς ὑπὸ δνε. ἐπεὶ γὰρ ἡ κδ ἴση ἐστὶ τῇ δρ, ἡ ἄρα πρὸς τοῦ κ, ἴση τῇ πρὸς τῷ ρ. ὧν ἡ ὑπὸ ερκ, μείζων ἐστὶ τῆς ὑπὸ εκρ, λοιπὴ ἄρα ἡ ὑπὸ ερδ ἐλάττων ἐστὶ τῆς ὑπὸ δκε. ἀλλὰ ἡ ὑπὸ ερδ ἴση ἐστὶ τῇ πρὸς τοῦ λ, ἡ ἄρα ὑπὸ δκε γωνία μείζων ἐστὶ τῆς ὑπὸ δλε. διὰ τὰ αὐτὰ δὴ δειχθήσεται ἐν ἡ πρὸς τοῦ μ, μείζων τῆς πρὸς τῷ ν, ἐν ἀεὶ ἡ ἔγγιον τῆς πρὸς τοῦ β τῆς πορρότερον ὅπερ, ἔδει δεῖξαι. Ἔστω πάλιν ὁμόκεντρος μὲν ὁ αβγ περὶ κέντρον ἡ ε. ἐν διάμετρον τῆς αεγ, ὁ δὲ ἐπ' αὐτοῦ φερόμενος ἐπίκυκλος ὁ θηζ. ἐν ἤχθω ἐφαπτομένη τοῦ ἐπικύκλου, ἀπὸ τοῦ ε ἡ εζ. τὸ μὴ οὖν μέγιστον διάφορον, ἡ ὑπὸ θεζ γωνία. ἀχθεισῶν δὲ τῶν εη εμ εὐθειῶν, ἔγγιον μὲν ἔσται τοῦ μεγίστου, ἡ ὑπὸ θεη, πορρότερον δὲ, ἡ ὑπὸ θεμ, καὶ προιέξει ἡ ἔγγιον, τῆς ἀπώτερον, ἐν μείζων αὐτῆς ἔσται, ὅπε ἔδει δεῖξαι.







τούτων

τούτων δεδειγμένων, ἔστωσαν αἱ λκ κβ ὑπὸ τοῦ ἐκκέντρου περιφέρειαι, ὁμοίαι ταῖς μη ηζ. Καὶ ἐπεὶ ἡ θζ ὁμοία ἐστὶ τῇ αβ, λοιπὴ ἄρα ἡ θμ, ὁμοία ἐστὶ τῇ αλ. ἐπεζεύχθωσαν δὲ αἱ αμ αηαζ, ἔστιν ἄρα ἡ μ ὑπὸ θαζ γωνία, ἴση τῇ ὑπὸ αδβ, ἡ δὲ ὑπὸ λδκ, ἴση τῇ ὑπὸ μαη, ἡ δὲ ὑπὸ κδβ, ἴση τῇ ὑπὸ ηαζ. ἐπεὶ τοίνυν ἡ ὑπὸ θαζ γωνία, ἴση ἐστὶ τῇ ὑπὸ αδβ. Καὶ αἱ ἐφεξῆς ἄρα αἱ ὑπὸ ζαε εδβ ἴσαι ἀλλήλαις εἰσί. Καὶ αἱ περὶ αὐτὰς πλευραὶ ἀνάλογον. ἔστι γὰρ ὡς ἡ εα πρὸς αζ, οὕτως ἡ βδ πρὸς δε. ἰσογώνιον ἄρα ἐστὶ τὸ βδε τρίγωνον τῷ εαζ τριγώνῳ. γωνία ἄρα ἡ ὑπὸ δβε, ἴση ἐστὶ τῇ ὑπὸ αεζ. πάλιν διὰ τὰ αὐτὰ ἔσται ἡ πρὸς τῷ λ, ἴση τῇ ὑπὸ αεμ. καὶ ἡ ὑπὸ δκε ἴση τῇ ὑπὸ αεη. καὶ διατοῦτο ἔσται μὲν ὡς ἡ ὑπὸ αεζ πρὸς τὴν πρὸς τῷ β γωνία, οὕτως ἡ ὑπὸ αεμ πρὸς τὴν πρὸς τῷ λ. ὡς δὲ ἡ ὑπὸ αεζ πρὸς τὴν ὑπὸ αεμ, οὕτως ἡ πρὸς τοῦ β γωνία πρὸς τὴν πρὸς τῷ λ. διὰ τὸ τέσσαρα μεγέθη ἀνάλογον ὄντα, καὶ ἐναλλὰξ ἀνάλογον εἶναι. δέδεικται ἄρα μὴ μόνον μέγιστον ὁμοίως εἶναι καθ' ἑκατέραν τῶν ὑποθέσεων τὸ πρὸς τῇ μέσῃ παρόδῳ διάφορον, ἀλλὰ καὶ τὸν αὐτὸν ἔχειν λόγον, πρὸς τὰς λοιπὰς τῶν διαφορῶν. Δεικτέον δὴ καὶ τὸ ἕτερον. ὅτι ὅταν πρὸς τῷ ἀπογείῳ τὸ μέγιστον γίνεται διάφορον, οὐ μόνον ὁμοίως καθ' ἑκατέραν τῶν ὑποθέσεων μέγιστόν ἐστιν, ἀλλὰ καὶ τὸν αὐτὸν ἔχει λόγον, πρὸς ἑκάστην τῶν λοιπῶν διαφορῶν. τῆς γοῦν αὐτῆς ὑποκειμένης τοῦ ἐπικύκλου καταγραφῆς, καὶ τῆς κατ' ἐκκεντρότητα, συνεστάτω πρὸς τῇ λδ εὐθείᾳ. καὶ τοῦ πρὸς αὐτῇ σημείῳ τῷ δ, τῇ ὑπὸ δλε γωνίᾳ ἴση, ἡ ὑπὸ ξδλ, καὶ ἔτι τῇ ὑπὸ λεκ, ἴση ἡ ὑπὸ κδο. ἔστιν ἄρα τῆς μὲν αλ ὁμαλῆς διαφορὰ παρὰ τὴν φαινομένην ἡ λξ, τῆς δὲ λκ, ἡ λο.



Πάλιν ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, τῆς μὲν θμ ὁμαλῆς παρὰ τὴν φαινομένην διαφορά ἐστιν, ἡ αξ, τῆς δὲ μν ἡ ξν. ἐπεὶ τοίνυν ἴση ἐστὶν ἡ πρὸς τῷ λ γωνία, τῇ ὑπὸ αεμ, διὰ τὰ προειρημένα, ἴση ἄρα ἡ αξ, τῇ λξ. πάλιν ἐπεὶ ἡ ὑπὸ αεη, ἴση ἐστὶ τῆς ὑπὸ δκε, καὶ ἡ ὑπὸ θαη, ἴση ἐστὶ τῇ ὑπὸ αδκ, ὧν αἱ ὑπὸ αδλ αελ ταῖς ὑπὸ θαμ αμε ἴσαι εἰσίν. λοιπαὶ ἄρα αἱ ὑπὸ λδκ λεκ, τῇ τε ὑπὸ μαη, καὶ τῇ λοιπὴ τῆς πρὸς τῷ η γωνίας τῆς φαινομένης, ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. ᾧ ἄρα ὑπερέχει ἡ ὑπὸ λδκ τῆς ὑπὸ λεκ, τούτῳ ὑπερέξει καὶ ἡ ὑπὸ μαη τῆς φαινομένης. ἴση ἄρα ἡ ὑπὸ μεη, τῇ ὑπὸ λδο. ἴση ἄρα καὶ περιφέρεια ἡ ξν περιφερείᾳ τῇ λο. ἔστι μὲν οὖν ἄρα ὡς ἡ αξ πρὸς λξ, οὕτως ἡ ξν πρὸς λο. ἔστι δὲ καὶ ἐναλλὰξ ὡς ἡ αξ πρὸς ξν, ἡ λξ πρὸς λο. ὁμοίως δὴ δειχθήσεται καὶ ὑπὸ τῶν ἑξῆς διαφορῶν, τὸν αὐτὸν λόγον ἔχειν τὸ μέγιστον πρὸς ἕκαστον αὐτῶν καθ' ἑκατέραν τῶν ὑποθέσεων, ὅπερ ἔδει δεῖξαι. Ὅτι δὲ καὶ ἡ πρὸς τῷ η γωνία μείζων ἐστὶ τῆς πρὸς τῷ μ. καὶ ἀεὶ ἡ ἔγγιον τῆς ἀφῆς τῆς ἀπώτερον, φανερόν. ἐπεὶ γὰρ ἡ ὑπὸ μαη γωνία μείζων ἐστὶ τῆς ὑπὸ μεη. ἴση γὰρ ἐστὶ ταύτῃ τε καὶ τῇ φαινομένῃ, ἔστι δὲ καὶ ἡ ὑπὸ ηρε ἴση τῇ ὑπὸ μρα, λοιπὴ ἄρα ἡ πρὸς τῷ η γωνία μείζων τῆς πρὸς τοῦ μ. ὁμοίως δὲ δειχθήσεται, καὶ ἡ ἀεὶ ἔγγιον τῆς ἀφῆς τῆς ἀπώτερον μείζων.



Οὕτω μὲν οὖν ταῦτα ἐδείχθη κατὰ πάντα ὁμοίως συμβαίνοντα ἐφ' ἑκατέρας τῶν ὑποθέσεων. ὅτι δὲ καὶ ὑπὸ τῶν κατὰ μέρος κινήσεων ἐν τοῖς ἴσοις χρόνοις τὰ αὐτὰ γίνεται πάντα περί τε τὰς ὁμαλὰς καὶ τὰς φαινομένας κινήσεις, καὶ ἔτι τὰς ὑπεροχὰς αὐτῶν, τουτέστι τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον, ἐντεῦθεν αὖτις μάλιστα καταμάθοι. ἔστω γὰρ ὁ μὲν ὁμόκεντρος τῷ διὰ μέσων τῶν ζωδίων κύκλος, ὁ αβγ περὶ κέντρον τὸ δ. ὁ δὲ ἔκκεντρος μὲν, ἴσος δὲ τῷ αβγ ὁμοκέντρῳ ὁ εζη, περὶ κέντρον τὸ θ. κοινὴ δ' ἀμφοτέρων διάμετρος διὰ τῶν δθ κέντρων καὶ τοῦ ε ἀπογείου ἡ εαθδ. καὶ ἀπολαφθείσης

ὧν τοῦ ὁμοκέντρου τυχούσης περιφερείας ϛ ΑΒ, λέγω τῷ Β καὶ διαστήματι ἴσῳ τῷ ΔΘ, γεγράφθω ὁ ΚΖ ἐπίκυκλος. καὶ ἐπεζεύχθω ἡ ΚΔ. λέγω ὅτι ὁ μὲν ἀστὴρ ὑφ' ἑκατέρας τῶν διαστάσεων ὧν τῆς Ζ κομιεῖ πάντως τὸ ἐκκέντρου καὶ τοῦ ἐπικύκλου ἡμέρᾳ ἴσον χρόνον ἐνεχθήσεται. τούτεστιν, ὅμοιαι ἔσονται ἀλλήλαις αἱ τρεῖς περιφέρειαι, ἥτε ἐϛ τοῦ ἐκκέντρου, ἡ ἡ ΑΒ τοῦ ὁμοκέντρου, καὶ ἡ ΚΖ τοῦ ἐπικύκλου. ἡ δὲ διαφορὰ ϛ ὁμαλῆς διανύσεως παρὰ τὴν ἀνωμαλίαν, καὶ ἡ φαινομένη τοῦ ἀστέρος πάροδος, καθ' ἑκατέραν τῶν ὑποθέσεων, ὁμοία καὶ ἡ αὐτὴ συμβήσεται ἐπεζεύχθωσαν γὰρ ἥτε ΒΖ, καὶ ἡ ΖΘ, καὶ ἡ ΖΔ. καὶ ἐπεὶ τετραπλεύρου τοῦ ΒΔΘΖ, οὗ ἀπεναντίον πλευραὶ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ, ἡ μὲν ΔΘ τῇ ΒΖ, ἡ δὲ ΖΘ, τῇ ΒΔ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΒΖΘΔ τετράπλευρον. ἐπεὶ γὰρ ἴσαι εἰσὶν αἱ ΖΘ ΘΔ, ταῖς ΔΒ ΒΖ, ἑκατέρα ἑκατέρᾳ, καὶ βάσις ἡ ΖΔ, τρίγωνον ἄρα τὸ ΖΒΔ, τριγώνῳ τῷ ΖΘΔ ἴσον ἐστί. καὶ γωνία ἡ ὑπὸ ΒΖΔ γωνίᾳ τῇ ὑπὸ ΖΔΘ ἴση ἐστίν· ἡ δὲ εἰσὶν ἐναλλάξ. παράλληλος ἄρα ἐστὶν ἡ ΒΖ τῇ ΘΔ. ὑποκείται δὲ καὶ ἴσαι αἱ δὲ τὰς ἴσας καὶ παραλλήλας ἐπιζευγνύουσαι, ἴσαι τε καὶ παράλληλοι εἰσί. παράλληλος ἄρα ἐστὶν ἡ ΖΘ τῇ ΒΔ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΒΔΘ τετράπλευρον. ἔστιν ἄρα ἡ μὲν ὑπὸ ΖΘΕ ἴση τῇ ὑπὸ ΒΔΘ, ἡ δὲ ὑπὸ ΖΒΚ τῇ ὑπὸ ΒΔΘ. ὥστε ἐπεὶ πρὸς ταῖς διπλεύροις εἰσὶ καὶ τὰς περιφερείας τὰς ὑποτεινούσας ὁμοίας ἀλλήλαις γινέσθω, τόν τε ἐϛ τοῦ ἐκκέντρου, καὶ τὴν ΚΖ τοῦ ἐπικύκλου ἡμέρᾳ τὴν ΒΑ τοῦ ὁμοκέντρου. κατ' ἀμφοτέρας ἄρα τὰς διανύσεις, ἥγουν τὴν τε κατ' ἐκκεντρότητα καὶ τὴν κατ' ἐπίκυκλον γωνίαν τῷ ἴσῳ χρόνῳ, ὧν τὸ αὐτὸ σημεῖον τὸ Ζ ἐνεχθήσεται ὁ ἀστήρ. καὶ τὴν αὐτὴν τοῦ μέσου τοῦ ζῳδίου κύκλου περιφέρειαν φανήσεται διελήλυθὼς ἀπὸ τοῦ ἀρχείου τὴν ΑΛ. ἔσαι τε ἀκολούθως, καὶ τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον τὸ αὐτὸ, καθ' ἑκατέραν τῶν ὑποθέσεων. ἐπεὶ δὲ τὴν τοιαύτην διαφορὰν ἐν ἑξαμοίρῳ περιεχομένην, ὧν μὲν ϛ κατ' ἐκκεντρότητα ὑποθέσεως ὑπὸ ϛ ὑπὸ ΔΖΘ γωνίας, ὧν δὲ ϛ κατ' ἐπίκυκλον, ὑπὸ τοῦ ὑπὸ ΒΔΖ. καὶ εἰλήφθωσαν ἴσαι περιφέρειαι αἱ ΑΗ ΑΘ, ἥτε ΗΚ ΘΖ, καὶ ἐπεζεύχθωσαν αἱ ΚΔ ΖΔ. φανερὸν δ' ὅτι, καὶ ὧν πασῶν τῶν διαστάσεων, τὰ αὐτὰ παρακολουθήσει, παραλληλόγραμμα πάντοτε γινομένου, τοῦ ΒΔΘΖ τετραπλεύρου. καὶ γραφομένου τοῦ ἐκκέντρου κύκλου, ἐπ' αὐτῆς ϛ κατ' ἐπίκυκλον τοῦ ἀστέρος μεταβάσεως, ὅταν οἱ λόγοι καθ' ἑκατέραν τῶν ὑποθέσεων, ὁμοιοί τε καὶ ἴσοι συμβαίνωσιν. οὕτω μὲν οὖν δείκνυται τὸ ὑποκείμενον τὸ ἀστέρος καθ' ἑκατέραν τῶν ὑποθέσεων ἡμέρᾳ τὸ αὐτὸ σημεῖον τοῦ ζῳδιακοῦ, ἐν αὐτῷ ἂν ἐν τῷ χρόνῳ καθ' ὃν ἀπὸ τοῦ ἀρχείου ὠδὶ τὸ δὲ γέγονε τὸ σημεῖον. δόξει γὰρ δέ τισι τὸ ὁμοίας ἂς ἐκινήθη διελθεῖν περιφερείας. τὰς γὰρ ὁμοίας περιφερείας ἐν ἴσῳ δὲ ἄρχεσθαι χρόνῳ τὸ ἀστέρα, ὑποκεῖσθαι κατ' ἀμφοτέρας τὰς ὑποθέσεις. καὶ δεδομένου τοῦ τὸ ἀστέρα ὧν τοῦ αὐτοῦ φαίνεσθαι σημεῖα, ἐληλέχθαι ὁμοίας τε ἂν ἐκινήθη περιφερείας τὰς ὠδὶ τοῦ ἐκκέντρου καὶ τὰς ὧν τοῦ ἐπικύκλου. ἡ τὰ διάφορα τὰ αὐτὰ, καὶ τῇ αὐτῷ ὧν τοῦ ὁμοκέντρου καὶ ἀκολουθεῖ. εἰ δὲ καὶ αὐάπαλιν ὁμοίας ὑποθείημεν τὰς περιφερείας, ἃς ἐκινήθη ὧν τοῦ ἐπικύκλου, καὶ ὧν ἂν ἐκινήθη ὧν τοῦ ἐκκέντρου, ἡ τὸ αὐτὸ τοῦ ζῳδιακοῦ φανήσεται σημεῖον, τὸ ἐπικυκλον λιπὸν καθ' ὅπερ αὖ ἐφάνη ὧν τοῦ ἐκκέντρου. ἔστι αὐτόθεν φανερόν. ἔστω γὰρ ζῳδιακὸς ὁ ΛΥ, καὶ φανείσθω ὁ ἀστὴρ λιπὼν ὠδὶ ϛ κατ' ἐπίκυκλον ὑποθέσεως, ἐπ' αὐτοῦ ἡ τὸ Υ. ϛ δὲ ἐκλειφθεὶς ὠδὶ τὸ Υ, λέγω ὅτι εἰ ὧν τοῦ ἐκκέντρου ὁ ἀστὴρ ἐκινήθη ὁμοίαν τῇ ΚΖ περιφέρειαν, ἡ τὸ Υ αὖ ἐφάνη. εἰ γὰρ δυνατὸν, φανείσθω ἡ τὸ Λ, καὶ διήχθω ἡ ΔΥΛ. ἀπεῖχεν δὴ ἀφ' ἑαυτοῦ ἀστὴρ ἐγράφετο ἡ τὸ Λ. ὁμαλὴς δὲ ἡ τὸ Ν. ὁμαλὴς ἄρα ἐστὶν ἡ ἐν περιφερείᾳ, ὧν ἀπὸ τοῦ ἀρχείου μετὰ ἴσης ὁμαλῶς. ὁμοία ἄρα ἐστὶν ἡ ἐν τῇ ΚΖ, καὶ ἔτι τῇ ΑΒ. εἰ ἄρα ὧν τοῦ Υ φανήσεται, μείζω λιπὼν ἐφάνη ϛ ἐν, ἥτις οὐκ ἔσαι ὁμοία τῇ ΚΖ περιφερείᾳ. ὠδὶ τοῦ αὐτοῦ ἄρα σημείου φανεὶς τοῦ ζῳδιακοῦ λιπὼν ὧν τοῦ ἐπικύκλου ὁ ἀστὴρ καθ' ὅπερ αὖ ἐφάνη λιπὼν ὧν τοῦ ἐκκέντρου, οὐχ ὁμοίας λιπὼν περιφερείας ταῖς ὧν τοῦ ἐπικύκλου τὰς ὠδὶ τοῦ ἐκκέντρου, ὅπερ ἀδύνατον. οὕτω μὲν οὖν δείκνυται τὸ προτεθὲν τῶν λόγων τῶν εἰρημένων, ὁμοίων τε ὄντων καὶ ἀμφοτέρων ἴσων. ὅτι δὲ μόνον ὁμοιοι ὧσιν οἱ λόγοι αὐτοῖς δὲ μεγέθει, τὰ αὐτὰ



αὐτὰ πάλιν φαινόμενα συμβήσεται φανερὸν. οὕτω γὰρ ὡσαύτως ὁ μὲν ὁμόκεντρος ἀεὶ ἴσος μένει κύκλος ὁ ΑΒΓ, περὶ κέντρον τὸ Δ, καὶ διάμετρον τὴν ΑΔΓ· ὁ δὲ ἔκκεντρος ὁ ΕΖΗΘ περὶ ἄλλο τι κέντρον ἀεὶ φέρεται τὸ Κ, καὶ διάμετρον τὴν ΕΚΗ· ἀεὶ ἄρα ἐγγύτατός τε καὶ πορρωτάτω ὁ αὐτὸς γίνεται. διὰ τοῦ κέντρου τοῦ ἐπικύκλου διπλασίονα ὑπάρχει τῆς διαμέτρου. ἐπ' αὐτοῦ γὰρ ὁ αὐτὸς ἀεὶ ἐγγύτατός τε γίνεται καὶ πορρωτάτω. ὁ δὴ περὶ τὸ Β ἐπίκυκλος, ἁπτόμενος ἀεὶ τοῦ Α ἀπογείου, τῇ ΑΒ διὰ παντὸς εὐθείᾳ διὰ τοῦ Δ φερομένῃ ἐν τῷ ΕΖ πορφέρειαν ὁμοίαν γινομένην διπλασίονι τῆς ΑΒ, διὰ τὸ ἰσοχρονίους εἶναι τὰς τοῦ κύκλου ἀναπατάσεις. καὶ ἐπεξεύχθωσαν, ἥτε ΔΒ, καὶ ἡ ΒΖ, καὶ ἡ ΔΖ. ὅτι μὲν οὖν ἴσαι τε εἰσὶ πάντοτε, ἥτε ὑπὸ ΑΔΕ γωνία καὶ ἡ ὑπὸ ΖΒΕ, ὁμοίας γὰρ ὑποτείνουσι τόν τε ἐπίκυκλον καὶ τὴν ἀπέρατα διπλασίονα, καὶ ὅτι ὧν ἡ ΔΖ δυνάμεως, ὁ αὐτὸς φανήσεται τοῖς ἀεὶ τοῦ Δ ὁρῶσι διπλασίονι ἢ ταύτῃ τῷ ὑποθέσιν, αὐτόθεν δῆλον. λέγω δὴ ὅτι καὶ ὧν ἡ ΔΖ κατ' ἐκκεντρότητα, ἐάν τε μείζων, ἐάν τε ἐλάττων ᾖ ὁ ΕΖΗΘ τοῦ ΑΒΓ ὁμοκέντρου, τῆς τε τῶν λόγων ὁμοιότητος μόνης ὑποκειμένης, καὶ τῶν ἀποκαταστάσεων ἰσοχρονιότητος, ὧν καὶ αὐτῆς πάλιν δυνάμεως ἡ ΔΖ φανήσεται ὁ αὐτὸς. γεγράφθω γὰρ μείζων μὲν ὡς ἔφαμεν ἔκκεντρος ὁ ΕΖΗΘ, περὶ κέντρον τὸ Κ ὧν καὶ ΚΕ· ὁ δὲ ἐλάσσων ὁ ΛΜ, περὶ κέντρον ὁμοίως τὸ Ν. καὶ ἐκβεβλήσθω καὶ τε ΔΜΖΘ, καὶ καὶ ΔΛΕ, ἐπεξεύχθωσαν ἥτε ΘΚ, καὶ ἡ ΜΝ. καὶ ἐπεὶ ἔστιν ὡς ἡ ΔΒ πρὸς ΒΖ, οὕτως ἡ ΜΝ, πρὸς ΝΔ, καὶ ἐναλλὰξ ὡς ἡ ΜΝ πρὸς ΝΔ, καὶ γωνία ἡ ὑπὸ ΒΖΔ, γωνίᾳ τῇ ὑπὸ ΜΔΝ ἔστιν ἴση. διὰ δὴ τὸ παράλληλον εἶναι τὴν ΒΖ τῇ ΑΔ. ἔστι γὰρ ἡ ἐκτὸς ἡ ὑπὸ ΖΒΕ, ἴση τῇ ἐντὸς τῇ ὑπὸ ΑΔΒ, διὰ δὲ τὸ ὁμοίαν εἶναι τὴν ΕΖ τῇ ΑΒ. ἐπεὶ τοίνυν τρία τρίγωνα τὰ ΖΒΔ ΜΝΔ ΘΚΛ, μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχει, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τὰ δὲ λοιπὰ ἑκάτερον ἑκατέρῳ ἢ μὲν ἐλάσσονα ἢ μὴ ἐλάσσονα ὀρθῆς, ἰσογώνια ἄρα ἐστίν. ἔστιν ἄρα ἡ ὑπὸ ΖΒΔ γωνία, ἴση ἑκατέρᾳ, τῶν ὑπὸ ΘΚΛ ΜΝΔ γωνιῶν. καὶ ἀεὶ ἐφεξῆς ἄρα ἀεὶ ὑπὸ ΖΒΕ ΘΚΛ μιᾷ ἴσαι ἀλλήλαις εἰσίν. ἔστι δὲ καὶ ἡ ὑπὸ ΑΔΒ γωνία, ἴση τῇ ὑπὸ ΖΒΕ. ὥστε ἐπεὶ πρὸς τοῖς αὐτοῖς σημείοις εἰσί, καὶ τὰς ὑποτεινούσας ὑπὸ αὐτὰς περιφερείας, ὁμοίας ἀλλήλαις γίνεσθαι τὰς ΑΒ ΕΖ ΛΜ ΘΚ. εἰσὶ δὲ καὶ παρὰ τὴν ἀνωμαλίαν διαφορᾶς ἴσας ἀεὶ ὑπὸ ΖΔΒ ΜΝΔ ΚΘΔ γωνίας, τῶν περιγώνων ἰσογωνίων φανερόν. ᾧ δὴ ἴσῳ ἄρα χρόνῳ, οὐ μόνον ὅτε ἐπίκυκλος τὴν ΑΒ περιφέρειαν καὶ ὁ ἀεὶ τὴν ΕΖ διαλήλυθασιν, ἀλλὰ καὶ ὑπὸ τοῦ ἐκκέντρου ὁ ἀεὶ, τήν τε ΘΚ καὶ τὴν ΛΜ ᾧ ἴσῳ χρόνῳ διελήλυθὼς ἔσαι, καὶ ὧν τῆς αὐτῆς δυνάμεως πάντοτε, τῆς ΔΜΖΘ διατοῦτο θεωρηθήσεται. καὶ ἡ μὲν τοῦ ἐπικύκλου ὧν ἡ εἰρημένης δυνάμεως φανήσεται, ὑπὸ τοῦ ΖΕ γεγραμμένου, ἡ δὲ τὸν μείζονα ἔκκεντρον, φανήσεται ὧν τῆς εἰρημένης δυνάμεως, γενόμενος ὑπὸ τοῦ Θ. ἡ δὲ τὸν ἐλάττονα ὧν τοῦ Μ, καὶ ὧν πασῶν τῶν θέσεων ὁμοίως. ἔστι δὲ καὶ τὸ ἀνάπαλιν φανερόν, ὡς εἴρηται. ὁμοίως γὰρ ᾗ προτέρῳ καὶ γνωσθήσεται συμβαίνει. οὕτω μὲν οὖν ταῦτα δέδεικται, ὁμοίως τοῖς πᾶσι συμβαίνοντα ἐφ' ἑκατέρας τῶν ὑποθέσεων. ἔτι δὲ καὶ ἐκεῖνο ἐπισυμβαίνει, ὅτι ὅταν ὁ αὐτὸς ἀπολαβὴ περιφέρειαν ἴσην ἀπό τε τοῦ ἀπογείου καὶ περιγείου ὑπὸ τοῦ ζωδιακοῦ, ἴσον ἔσαι καθ' ἑκατέραν θέσιν τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον. ὧν τοῦ ζωδιακοῦ δὲ εἴρηται, διό τι ἐὰν ὧν τοῦ ἐκκέντρου ἀπολαφθῶσιν, οὐκ ἴσα ἔσαι τὰ διαφορα, μεῖζον δὲ ᾗ πρὸς τῷ περιγείῳ. ἐὰν μὲντοι παρ' ἑκατέρα τὸ αὐτὸ περιγείου ἢ περιγείου ἴσαι περιφέρειαι ἀπολαφθῶσιν, ἴσα ἔσαι τὰ διαφορα καὶ ὑπὸ τοῦ ἐκκέντρου καὶ τοῦ ζωδιακοῦ, καὶ ἐφ' ἑκατέρας τῶν ὑποθέσεων. οὐ γὰρ ὁμοίως ἕξει τὰ διαφορα ἔν τε τοῦ ὁμοκέντρου ἔν τε τοῦ ἐκκέντρου λαμβανομένων τῶν ἴσων περιφερειῶν. ἐπεὶ καὶ ἐὰν μὲν ὑπὸ τοῦ ὁμοκέντρου παρ' ἑκατέρα τῆς μέσης παρόδου ἴσαι περιφέρειαι ἀπολαφθῶσιν, ἴσα ἔσαι τὰ διαφορα. ἐὰν δὲ ὑπὸ τοῦ ἐκκέντρου οὐκέτι, ἀλλὰ μεῖζον τὸ πρὸς ᾗ ἀπογείῳ. Καὶ πάλιν τῶν παρ' ἑκατέρα τῆς μέσης παρόδου ἴσων διαφορῶν, αἱ μὲν τάξει περιφέρειαι ὧν μὲν τοῦ ὁμοκέντρου ἴσαι ἔσονται, ὑπὸ δὲ τοῦ ἐκκέντρου οὐκέτι, ἀλλὰ

μείζων ἡ πρὸς τῷ ἀπόγειον. Τῶν τα μὲν οὖν, προϊόντος ἀποδείξομεν ἐφ' ἑκατέρας ὁμοίως τῶν ὑποθέσεων συμβαίνοντα. νυνὶ δὲ τοῦ προτεθέντος χάριν, ἐὰν γραφῶμεν τὸν αβγ ἔκκεντρον κύκλον, περὶ κέντρον τὸ ε τῷ διαμέτρῳ τῇ αγ, διὰ τοῦ α ἀπογείου τὴν δεε ὡς ὑποκειμένης ἐπ' αὐτῆς κατὰ τὸ ζ σημεῖον. καὶ διὰ τοῦ ζ τῷ ζβδ τυχοῦσαν διαγωνίου, ἐπιζεύξωμεν τὰς εβ εδ. αἵτε φανόμεναι πάροδοι, ἴσαι τε καὶ ἀπεναντίον ἔσονται, ἤγουν αἱ ὑπὸ τοῦ ζωδιακοῦ ἀπὸ τῷ ἀπογείου καὶ περιγείου περιφέρειαι, διὰ τὸ τὰς ὑποτεινούσας πρὸς τῷ κέντρῳ γωνίας ἴσας εἶναι τὰς πρὸς τῷ ζ, τουτέστι τὰ παρὰ τὴν ανωμαλίαν διαφορα, αἱ πρὸς τῷ β καὶ δ γωνίαι ἴσαι, διὰ τὸ ἴσην εἶναι τὴν εβ τῇ εδ. ὧν τὴν μὲν πρὸς τῷ δ, μείζονα ὄντα ἡ ὁμαλὴ τῆς φαινομένης ἡ ὑπὸ αεδ ὁμολογοῦσι τῆς ὑπὸ αζδ, τὴν δὲ πρὸς τῷ β, ἐλάττονα αὐθις, ἡ ὁμαλὴ τῆς φαινομένης, ὁμολογοῦσι ἡ ὑπὸ βεγ γωνία τῆς ὑπὸ βζγ. Καὶ



ἐπὶ τῆς κατ' ἐπίκυκλον δὲ ὑποθέσεως, τὸ αὐτὸ συμβαῖνον φανήσεται. ἐὰν γὰρ γράψωμεν τὸν μὴ ὁμόκεντρον τῷ ἰσομεγέθει κύκλον τὸν αβγ, περὶ κέντρον τὸ δ, τῷ διαμέτρῳ τῇ αδγ. τὸν δὲ ἐπίκυκλον τὸν εζη περὶ κέντρον τὸ α. καὶ διαγαγόντες τὴν διὰ βζ τυχοῦσαν, ἐπιζεύξωμεν τὰς αη καὶ αζ. ἡ μὲν τοῦ περὶ τὴν ανωμαλίαν διαφόρου περιφέρεια ἡ αβ, ἡ αὐτὴ ἔσαι πάλιν ὑποκειμένη κατ' ἀμφοτέρας τὰς θέσεις, τουτέστιν ἐάν τε κατὰ τὸ ζ, ἐάν τε κατὰ τὸ η ᾖ ὁ ἀστήρ. καὶ ἴσον δὲ ἀπέχων φανήσεται ἀπό τε τῷ κατὰ τὸ ἀπόγειον σημείου τοῦ διὰ μέσων τῶν ζωδίων ὅταν ᾖ κατὰ τὸ ζ, καὶ ἀπὸ τῷ κατὰ τὸ περίγειον, ὅταν ᾖ κατὰ τὸ η. τὸ μὲν οὖν προτεθὲν δεῖν, ὑποκειμένου ἴσον ἀπέχειν τὸν ἀστέρα, ἀπό τε τοῦ ἀπογείου καὶ περιγείου τῷ τοῦ ζωδιακοῦ, δεῖξαι κατ' ἑκατέραν θέσιν τὸ αὐτὸ γινόμενα διαφορον. δείκνυσι δὲ τὸ αὐτίστροφον, ὑποκειμένου τῷ αὐτοῦ διαφόρου, ἀπό τε τοῦ ἀπογείου λαμβάντος τοῦ ἀστέρος καὶ ἀπὸ τῷ περιγείου δείκνυσιν, ὅσον δεκτὸν ἅπτεσθαι καὶ ἴσως ἀπέχειν περιφέρειαν ἀπό τε τοῦ ἀπογείου καὶ ἀπὸ τῷ περιγείου. ἀπὸ τούτου δὲ φανερὸν καὶ τὸ αὐτίστροφον. ἐπεὶ τοίνυν ἡ μὲν ὑπὸ ζεγ γωνία τῆς λαμβάνεως περιφερείας περιέχει τὴν ὑπὸ αεζ γωνία. μείζων δὲ δεῖ τῆς φαινομένης τῇ πρὸς τῷ δ γωνίᾳ. ἔσι δὲ τῇ αὐτῇ μείζων καὶ τῆς πρὸς τῷ ζ, ἡ ἄρα ὑπὸ αεγ γωνία, περιέχει τὸν ἀκεραῖον, ὃν ὧν τοῦ ζωδιακοῦ ἀπὸ τῷ ἀπογείου ὁ ἀστὴρ φανήσεται δεκτικὸν μεγέθους ὢν τῷ ἐπικύκλου, τὸν ἐζ λαμβανόμενα πάλιν τῶν ἀπὸ τοῦ περιγείου λαμβάνεως, ἡ ὁμαλὴ μὲν περιέξεται ὑπὸ τῆς ὑπὸ δαγ γωνίας, ἡ δὲ φαινομένη ὑπὸ τῆς ὑπὸ αζγ. ἐπεὶ γὰρ ἡ μὲν ὁμαλὴ ἐλάττων δεῖ τῆς φαινομένης ὢν τοῦ περιγείου, δεῖται δὲ γνῶσθαι ἐλάττων ἔσαι τῇ πρὸς τῷ δ γωνίᾳ. αὐτη γὰρ ὑπόκειται διαφορὰν κατ' ἀμφοτέρας τὰς λαμβάνεις. ταύτην δὲ ἐλάττων δεῖν, ἡ ὑπὸ καδ, τῆς ὑπὸ αεζ. ἡ ἄρα ὑπὸ αεζ, περιέχει τὸν τῆς ἀκεραίους λαμβάνεως περιφέρειαν, ὃν δεκτὸν ὁ ἀστὴρ ὢν τοῦ ζωδιακοῦ ἀπὸ τοῦ περιγείου, τὸν ὑπὸ καδ γωνίαν ὢν τοῦ ἐπικύκλου ὁμαλῶς λαμβανθείς. ἔσι δὲ ἡ ὑπὸ αεζ γωνία ἴση τῇ ὑπὸ αζγ. ἴση γὰρ ἡ αζ τῇ αγ, ἴσων ἄρα καὶ τῶν αὐτῶν ὑποκειμένων τῶν διαφόρων, ἀπό τε τοῦ ἀπογείου λαμβανόμενον τοῦ ἀστέρος καὶ ἀπὸ τοῦ περιγείου, ἴσαι ἔσονται καὶ αἱ ἀκεραῖαι λαμβάνεις, ἃς ἐκινήθη ἡ ἀπὸ τοῦ περιγείου τῇ ἀπὸ τοῦ ἀπογείου, ὅπερ ἔδει δεῖξαι. Εἰ γὰρ μὴ καὶ τὸ αὐτὸ ὑποκείσθω διαφορον ἡ ἀπὸ τῷ ἀπογείου λαμβάνεως, τῇ ἀπὸ τῷ περιγείου, ἀλλὰ ἴσον οὐδεμίαν ἦσαν φανερόν. φανείσθω γὰρ ὁ ἐπίκυκλος ἐκκεντρούμενος ὢν τὸ γ. καὶ ὁ ἀστὴρ ὁμαλῶς λαμβανέσθω ὢν τοῦ ἐπικύκλου ἀπὸ τοῦ περιγείου τῇ ὑπὸ δαγ, ὑποκείσθω ἡ ὑπὸ αδγ, ἴση τῇ ὑπὸ γδο. ἐπεὶ τοίνυν ἴση δεῖν, ὁ μὲν δα τῇ δγ, ἡ δὲ αγ τῇ γο. δύο δὴ τρίγωνα τὰ δαγ δγο, μίαν γωνίαν ἴσην ἔχει τῇ ὑπὸ αδγ, τῇ ὑπὸ ηδα. περὶ ἄλλας γωνίας πλευρὰς ἀνάλογον. ἔσι γὰρ ὡς ἡ δα πρὸς αγ, ἡ δγ πρὸς γο. τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα οὐκ ἐλάττονα ὀρθῆς, τὰς ὑπὸ αγδ δογ, προσεκβληθείσης γὰρ ἡ δο ὡδὶ τὸ λ, καὶ ἐπιζευχθείσης ἡ γλ, ἴση ἔσαι ἡ ὑπὸ γολ τῇ πρὸς τῷ λ. διαπερ καὶ ἡ ὑπὸ γολ ὀξεῖα. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ αγβ. λοιπὴ ἄρα αἱ ὑπὸ αγδ δογ ἀμβλεῖαι εἰσιν,

σίμ, ἰσογώνιον ἄρα ὄ͂ϛι τὸ αγδ τρίγωνον, τῷ δγε τριγώνῳ. γωνία ἄρα ἡ ὑπὸ δαγ γωνία τῇ ὑπὸ δγε ὄ͂ϛιν ἴση. ἔστι δὲ καὶ ἡ πρὸς τῷ α γωνία τῇ πρὸς τῷ δ, ἡ ἄρα ὑπὸ γοα λοιπὴ τῇ ὑπὸ εοδ ἐστὶν ἴση. ἔστι δὲ καὶ ἡ ὑπὸ αγδ τῇ ὑπὸ δεγ ἴση. ὅλη ἄρα ἡ ὑπὸ αγε ὅλῃ τῇ ὑπὸ γοδ ἐστὶν ἴση. ἀλλὰ ἡ ὑπὸ γοδ τῇ ὑπὸ εοζ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ εοζ ἄρα τῇ ὑπὸ αγε ἐστὶν ἴση. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ αγε τῇ ὑπὸ εοζ, ἡ δὲ ὑπὸ γαο τῇ ὑπὸ οεζ, λοιπὴ ἄρα ἡ ὑπὸ αγο λοιπῇ τῇ ὑπὸ οζε ἐστὶν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ αγο τρίγωνον τῷ οζε τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ γα πρὸς τὴν αο, οὕτως ἡ ζε πρὸς τὴν εο. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ βδγ γωνία τῇ ὑπὸ γδε, καὶ ἔστιν ὡς ἡ βδ πρὸς δε, οὕτως ἡ γδ πρὸς δε. ἰσογώνιον ἄρα ἐστὶ τὸ βγδ τρίγωνον τῷ δζε τριγώνῳ. καὶ ἡ πρὸς τῷ β γωνία ἴση τῇ πρὸς τῷ ζ. ἔστι δὲ καὶ ἡ πρὸς τῷ β, μείζων ἡ πρὸς τῷ ζ, καὶ ἡ πρὸς τῷ γ ἄρα, μείζων ἡ πρὸς τῷ ζ. Δεικτέον ἡμῖν καὶ ἐπὶ τοῦ κύκλου. ἔστω γὰρ οὖν ὁμόκεντρος τῷ διὰ μέσων κύκλος ὁ αβγ, τοῦ δὲ λοιποῦ τμήματος τοῦ αγε, ὁ δὲ ἐπ' αὐτοῦ φερόμενος ἐπίκυκλος, ὁ ζηθ, τοῦ δὲ κύκλου τὸ μὲν α σημεῖον ἐπὶ τοῦ ἐπικύκλου

ηε πρὸς εθ, ἡ ηρ πρὸς ρθ. μείζων ἄρα ἡ ηρ τῆς ρθ. πολλῷ ἄρα ἡ ηα τῆς αθ, ὅπερ ἀδύνατον. μείζων ἄρα ἡ ὑπὸ αεθ τῆς ὑπὸ ηεα, ὅπερ ἔδει δεῖξαι. Οὕτω μὲν οὖν ὁμοίως δείκνυται ἐφ' ἑκατέρας τῶν ὑποθέσεων, μεῖζον εἶναι τὸ πρὸς τῷ περιγείῳ διάφορον, τοῦ πρὸς τῷ ἀπογείῳ, τῆς εἰρημένης τῶν λόγων ὁμοιότητος μὴ προσλαμβανομένης. προσλαμβανομένης δὲ οὐ μόνον ὁμοίως αὔισα ἔσται τὰ διάφορα, ἀλλὰ καὶ τὸν αὐτὸν πρὸς ἄλληλα λόγον, ἕξει. καὶ ἔστιν αὐτόθεν φανερόν. ὑποκείσθω γὰρ ἡ μὲν ΓΒ ὁμοία τῇ κθ, ἡ δὲ ζη ὁμοία τῇ αζ, γωνία ἄρα ἡ μὲν ὑπὸ βδγ ἴση ἐστὶ τῇ ὑπὸ εαθ, ἡ δὲ ὑπὸ αδζ τῇ ὑπὸ ζαη. καὶ διατοῦτο ἡ ὑπὸ ηαε, ἴση ἔσται τῇ ὑπὸ ζδε. ἔστι δὲ καὶ ὡς ἡ ζδ πρὸς δε, ἡ εα πρὸς αη, καὶ ὡς ἡ εα πρὸς αθ, ἡ βδ πρὸς δε. ἰσογώνιον ἄρα ἐστὶ τὸ μὲν ζδε τρίγωνον τῷ ηεα τριγώνῳ. τὸ δὲ βδε, τῷ εαθ. καὶ διατοῦτο ἔσται ἡ μὲν ὑπὸ αεθ, ἴση τῇ πρὸς τῷ β, ἡ δὲ ὑπὸ ηεα, ἴση τῇ πρὸς τῷ ζ. καὶ ἔσται ὡς ἡ ὑπὸ αεθ πρὸς τὴν πρὸς τῷ β, οὕτως ἡ ὑπὸ ηεα, πρὸς τὴν πρὸς τῷ ζ. ἐναλλὰξ ἄρα ἐστὶν, ὡς ἡ ὑπὸ δβε, πρὸς τὴν ὑπὸ δζε, οὕτως ἡ ὑπὸ αεθ, πρὸς τῆς ὑπὸ ηεα, ὅπερ ἔδει δεῖξαι. Ἵνα δὲ ἔτι φανερωτέρα γένηται ἡ τῶν ὑποθέσεων ταυτότης, διὰ τοῦ πάντα δεῖξαι ὁμοίως ἐπισυμβαίνοντα ἑκατέρα δείξομεν, ὅτι ἐάν τε παρ' ἑκάτερα τοῦ μεγίστου διαφόρου ἴσαι περιφέρειαι ἀποληφθῶσιν, ὡς εἴρηται ὁμαλαὶ, ὁμοίως ἔσται αὔισα τὰ διάφορα, ἐάν τε ἀκριβεῖς ὁμοίως ἔσται ἴσα. ἔτι τε τῶν παρ' ἑκάτερα διαφόρων ἴσων ὑποκειμένων αἱ μεταξὺ περιφέρειαι, αἱ μὲν ὁμαλαὶ, ὁμοίως αὔισοι ἔσονται, αἱ δὲ ἀκριβεῖς ὁμοίως ἴσαι καθ' ἑκατέραν τῶν ὑποθέσεων. καὶ ἔτι τὸν αὐτὸν πρὸς ἄλληλα τὰ διάφορα καὶ αἱ περιφέρειαι ἕξουσι λόγον, τῆς τῶν λόγων τῶν εἰρημένων μεγεθῶν ὁμοιότητος ὑποκειμένης. Καὶ πρῶτον δὲ δείχθω ὑπὸ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως. ὅτι ἐὰν παρ' ἑκάτερα τοῦ μεγίστου διαφόρου ἴσα ὑποκέντρου διάφορα τῶν μεταξὺ ὁμαλῶν περιφερειῶν, μείζων ἔσται ἡ πρὸς τῷ ἀπογείῳ. ἐκκείσθω γὰρ ἐκκεντρος κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ, καὶ διάμετρον τὴν αδγ, ἐφ' ἧς ἔστω κέντρον τοῦ ὁμοκέντρου τὸ ε. καὶ διήχθω ἡ βεη πρὸς ὀρθὰς τῇ αε. καὶ ἐπεζεύχθωσαν αἱ δβ δη, καὶ συνεστάτωσαν πρὸς τοῖς μ καὶ κ σημείοις ὑπὸ τῆς δε εὐθείας, γωνίαι ἴσαι, αἱ ὑπὸ δμε δκε. λέγω ὅτι ἡ μβ μείζων ἐστὶ τῆς βκ. διήχθωσαν γὰρ αἱ με κε, ὑπὸ τὰ θ λ σημεία. καὶ ἐπεζεύχθωσαν αἱ δθ δλ. ἐπεὶ τοίνυν ἴση ἐστὶν ἡ πρὸς τῷ μ γωνία τῇ πρὸς τῷ κ, ἡ δὲ πρὸς τῷ μ τῇ πρὸς τῷ θ, ἴση γὰρ ἡ μδ τῇ δθ. ἡ ἄρα πρὸς τῷ κ, ἴση τῇ πρὸς τῷ θ. καὶ ἔστιν ὡς ἡ κδ πρὸς δε, ἡ θα πρὸς δε. καὶ ἔστι τῶν ὑπὸ δεθ δεκ γωνιῶν ἑκατέρα, μείζων ὀρθῆς. τρίγωνον ἄρα τὸ δκε τριγώνῳ τῷ δεθ, μιαν γωνίαν τὴν πρὸς τῷ θ, μιᾶ γωνία τῇ πρὸς τῷ κ, ἴσην ἔχει. περὶ δὲ ἄλλας γωνίας, πλευρὰς ἀνάλογον, τὰς κδ δε θδ θε. τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα οὐκ ἐλάττονα ὀρθῆς, τῶν ὑπὸ δεθ δεκ. ἰσογώνια ἄρα εἰσίν. ἡ ἄρα ὑπὸ κδγ, ἴση ἐστὶ τῇ ὑπὸ γδθ. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ γδβ, ὅλη τῇ ὑπὸ γδη, ἴση. λοιπὴ ἄρα ἡ ὑπὸ βδκ, λοιπὴ τῇ ὑπὸ ηδθ, ἴση ἐστὶ. πάλιν ἐπεὶ ἴσαι εἰσὶν αἱ πρὸς τῷ κ καὶ λ ταῖς πρὸς τῷ μ καὶ θ γωνίαις, λοιπὴ ἄρα ἡ ὑπὸ κδλ λοιπῇ τῇ ὑπὸ μδθ, ἴση ἐστὶ. κοινὴ ἀφηρήσθω ἡ ὑπὸ κδθ. λοιπὴ ἄρα ἡ ὑπὸ μδκ λοιπῇ τῇ ὑπὸ λδθ, ἴση ἐστὶν. ὧν ἡ ὑπὸ βδκ τῇ ὑπὸ ηδθ, ἴση ἐστὶ. λοιπὴ ἄρα ἡ ὑπὸ μδβ, λοιπῇ τῇ ὑπὸ λδη ἴση ἐστὶν. ἐπεὶ δὲ αἱ πρὸς τῷ καὶ λ γωνίαι, ἐλάττους εἰσὶ τῶν πρὸς τῷ β καὶ η. λοιπὴ ἄρα ἡ ὑπὸ κδλ, μείζων ἐστὶ τῆς ὑπὸ βδη. κοινὴ ἀφηρήσθω ἡ ὑπὸ κδη. λοιπὴ ἄρα ἡ ὑπὸ λδη, λοιπῆς τῆς ὑπὸ βδκ, μείζων ἐστὶν. ἴση δὲ ἡ ὑπὸ λδη τῇ ὑπὸ μδβ. ἡ ἄρα ὑπὸ μδβ μείζων ἐστὶ τῆς ὑπὸ βδκ. ἡ ἄρα μβ περιφέρεια, μείζων τῆς β περιφερείας, ὅπερ ἔδει δεῖξαι. Πάλιν ἔστωσαν αἱ μβ βκ περιφέρειαι ἴσαι. λέγω ὅτι τῶν πρὸς τῷ μ καὶ κ γωνιῶν μείζων ἡ πρὸς τῷ ἀπογείῳ, ἡ πρὸς τῷ μ. εἰ γὰρ δυνατὸν ἔστω πρῶτον ἴση. ἡ ἄρα μβ μείζων ἐστὶ





μείζων ὁδὶ τῆς βκ, ὅπερ οὐχ ὑπόκειται. λέγω δὴ ὅτι οὐδὲ ἐλάττων. εἰ γὰρ δυνατὸν, ἔστω ἐλάττων ἡ κζ ἄλλη τις ἴση ἡ ὑπὸ δνε. πρόδηλον δὴ ὅτι μείζων ἐστὶ τ πρὸς τῷ μ. ὁπ ἄρα δυνατὸν τὴν πρὸς τῷ ν τοιχείου τ πρὸς τῷ μ γωνίαν μεταξὺ πίπτειν, τῶν μβ σημείων. ἐπεὶ τοίνυν ἡ πρὸς τῷ ν γωνία ἴση τῇ πρὸς τῷ κ. ἡ ἄρα κβ μείζων τῆς βκ. τουτέστιν ἡ μβ. ὑπόκειται δὲ καὶ ἴση. ὅπερ ἀδύνατον, μείζων ἄρα ἡ πρὸς ζθ μ γωνία τῆς πρὸς τῷ κ, ὅπερ ἔδει δεῖξαι.

Πάλιν δὴ αὐτῆς ὑποκειμένης καταγραφῆς γεγράφθω διὰ τοῦ ξ, καὶ διαστήματι τοῦ ξα ὁμόκεντρος τῷ ζωδιακῷ ὁ αζλ. καὶ διήχθωσαν αἱ εβ εψ αἱ τὰ ζ λ σημεῖα. αἱ μὲν οὖν μέσοι παράλληλοι ὧδί τοῦ ὁμοκέντρου, αἱ δὲ τὰ ζ καὶ λ σημεῖα. ἐκβληθείσῶν δὲ τῶν εκ εμ ὧδὶ τὰ θ ν, καὶ ἴσων ὑποκειμένων τῶν πρὸς τῷ μ καὶ κ γωνιῶν, λέγω ὅτι καὶ θζ ἴση ἐστὶ τῇ ζν. εἰ γὰρ δυνατὸν, ἔστω ἡ ζν, μείζων τῆς ζθ σωιεστάτω δὴ τῇ ὑπὸ ζεν γωνίᾳ, ἴση ἡ ὑπὸ ζεξ. ἔστιν ἄρα ἡ ξζ, ἴση τῇ ζν. ἔστι δὲ καὶ ἡ οζ, ἴση τῇ ζα. λοιπὴ ἄρα ἡ αξ, ἴση ὁδὶ τῇ νο. ἐπιζευχθείσης ἄρα τῆς δφ, ἴση ἔσται ἡ πρὸς τῷ φ γωνία, τῇ πρὸς τῷ κ. διέλειπται γάρ. ἔστι δὲ καὶ ἡ πρὸς τῷ μ, ἴση τῇ πρὸς τῷ κ. ἡ ἄρα πρὸς τῷ μ, ἴση τῇ πρὸς τῷ φ. ἀλλὰ καὶ ἐλάττων, διέλειπται γὰρ τῶν διαφόρων τὸ ἔγγιον τ μεγίστου, τοῦ ἀπώτερον μείζον ἐστίν. ὁμοίως δὴ δειχθήσεται ὅτι οὐδὲ ἡ θζ, μείζων τ ζν. ἴση ἄρα ἡ θζ τῇ ζν, ὅπερ ἔδει δεῖξαι. Πάλιν ὡς δὴ δειχθήσεται ὅτι ἡ ὑποκειμένη θζ ἴση τῇ ζν. λέγω ὅτι ἡ πρὸς τῷ μ, ἴση τῇ πρὸς τῷ κ. ἐπεὶ γὰρ ἴση ὁδὶν ἡ αζ τῇ ζο, ὧν ἡ ζν τῇ ζθ. λοιπὴ ἄρα ἀπὸ τοῦ ἀπογείου ἡ αθ, λοιπῇ τῇ ἀπὸ τοῦ περιγείου τῇ νο, ἴση ὁδίν. ἡ ἄρα πρὸς τῷ μ, ἴση τῇ πρὸς τῷ κ. ὅταν γὰρ ὁ ἥλιος ἴσην ἀπολάβῃ ἀπό τε τοῦ ἀπογείου καὶ περιγείου φαινομένως, ἴσα ἔσται τὰ διάφορα, ὅπερ ἔδει δεῖξαι. Δείξομεν δὴ τὰ αὐτὰ καὶ ὧδὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως. ἔστω γὰρ ὁμόκεντρος μὲν κύκλος, ὁ αβγ, περὶ κέντρου τὸ ε, καὶ διαμέτρου τὴν αγ, ὁ δὲ ἐπ' αὐτοῦ φερόμενος ἐπίκυκλος, ὁ ζθκ περὶ κέντρου τὸ α, καὶ ἤχθω ἀπὸ τοῦ ε ἐφαπτομένη τοῦ ἐπικύκλου, ἡ εη. καὶ διήχθω ἡ εκθ. τὸ μὲν οὖν γινόμενον διάφορον ἀπό τε τοῦ ζ ἀπογείου τῆς ζθ, καὶ ἀπὸ τοῦ ν περιγείου τῆς νκ λαμβανομένου τοῦ ἀστέρος, ἡ ὑπὸ θεζ γωνία, ἡ δὲ μέση παρόδου, περὶ τὸ η ὁδίν. ἀπολαμβανέσθω τοίνυν τῶν ηκ ηθ περιφερειῶν παρ' ἑκάτερα τῆς μέσης παρόδου, καὶ τοῦ διαφόρου τοῦ αὐτοῦ παρ' ἑκάτερα τὰ μέρη γινομένου, διπλασίων τῶν μεταξὺ περιφερειῶν τῶν ὁμαλῶν, τῆς παρὸς τῷ ἀπογείῳ τῆς θη, μείζων τῆς παρὸς τῷ περιγείῳ τῆς ηκ. ἐπεζεύχθωσαν γὰρ αἱ αθ ακ αη. ἐπεὶ τοίνυν ἐφαπτομένη ὁδίν ἡ εη, καθ' ὃρος ἄρα ἐπ' αὐτῇ ὁδίν ἡ αη. ἡ ἄρα ὑπὸ αηε γωνία ὀρθή ἐστιν. ἡ ἄρα ὑπὸ ηλε ὀξεῖα ὁδίν. ἀμβλεῖα ἄρα ὁδίν ἡ ὑπὸ αλε. ἡ ἄρα ἀπὸ τοῦ α ὧδὶ τῆν θκ καθέτου πίπτουσα, ἐντὸς πεσεῖται τῶν κλ σημείων. ἤχθω καὶ ἔστω ἡ αο. ἐπεὶ τοίνυν ἡ ακ ἴση ὁδὶ τῇ αθ. καὶ κοινὴ ἡ αο, καὶ γωνία ἡ παρὸς τῷ κ ἴση τῇ παρὸς τῷ θ. καὶ ἡ ὑπὸ αοκ, ἴση τῇ ὑπὸ αοθ. καὶ ἡ ὑπὸ θαο ἴση ὁδὶ τῇ ὑπὸ αοκ. ἡ ἄρα ὑπὸ θαλ, μείζων ἐστὶ τῆς ὑπὸ λακ. καὶ ἔστι παρὸς τῷ κ ἑκατέρα. ἡ ἄρα αθη περιφέρεια μείζων ἐστὶ τῆς ηκ περιφερείας, ἡ παρὸς τῷ ἀπογείῳ τῇ παρὸς τῷ περιγείῳ, ὅπερ ἔδει δεῖξαι.



Ὅτι δὲ εἰ μὴ καὶ τὸ αὐτὸ ὑπόκειται διάφορον, ἀλλὰ ἴσα τὸ αὐτὸ συμβήσεται, φανερόν. νοείσθω γὰρ διὰ τοῦ ε κέντρου τοῦ ἐπικύκλου διάμετρος ἡ κεμ. καὶ ἐπεὶ ἐν τῷ ἐκκέντρῳ κύκλῳ ἀπειλήφασιν ἀπὸ μὲν τοῦ ἀπογείου τὴν ἀθ περιφέρειαν, ἀπὸ δὲ τοῦ περιγείου τὴν κη, ἀνίσους δὲ καὶ ἀνομοίους, καὶ ἐπὶ τὰ αὐτὰ μέρη τῶν ἀπογείων τε καὶ περιγείων, ἡ ἀθ τῆς κη μείζων, ἡ δὲ ἀθ τῆς ἀπογείου ἐλάττων, ἡ δὲ κη τῆς περιγείου μείζων, ἔστιν ἄρα ὡς ἡ ἀθ πρὸς τὴν κη, οὕτως ἡ ἀπογείου ἐλάττων πρὸς τὴν περιγείου μείζονα. ἐναλλὰξ ἄρα ὡς ἡ ἀθ πρὸς τὴν ἀπογείου ἐλάττονα, οὕτως ἡ κη πρὸς τὴν περιγείου μείζονα. ἀλλ' ὡς ἡ ἀθ πρὸς τὴν ἀπογείου ἐλάττονα, οὕτως ἡ ἐκ τοῦ κέντρου πρὸς τὴν ἐκ τοῦ κέντρου. ἔστιν ἄρα καὶ ὡς ἡ κη πρὸς τὴν περιγείου μείζονα, οὕτως ἡ ἐκ τοῦ κέντρου πρὸς τὴν ἐκ τοῦ κέντρου. ἐναλλὰξ ἄρα ὡς ἡ κη πρὸς τὴν ἐκ τοῦ κέντρου, οὕτως ἡ περιγείου μείζων πρὸς τὴν ἐκ τοῦ κέντρου. ἀλλ' ὡς ἡ κη πρὸς τὴν ἐκ τοῦ κέντρου, οὕτως ἡ ὑπὸ κεμ γωνία πρὸς τὴν ὑπὸ ηεμ. καὶ ὡς ἄρα ἡ περιγείου μείζων πρὸς τὴν ἐκ τοῦ κέντρου, οὕτως ἡ ὑπὸ κεμ γωνία πρὸς τὴν ὑπὸ ηεμ. ἀλλὰ καὶ ὡς ἡ περιγείου μείζων πρὸς τὴν ἐκ τοῦ κέντρου, οὕτως ἡ ὑπὸ ζεμ γωνία πρὸς τὴν ὑπὸ ηεμ. ἡ ἄρα ὑπὸ κεμ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ζεμ. ἀλλὰ καὶ ἡ ὑπὸ ζεμ τῇ ὑπὸ ηεν ἐστὶν ἴση. καὶ ἡ ὑπὸ κεμ ἄρα τῇ ὑπὸ ηεν ἐστὶν ἴση. ἀλλὰ καὶ ἡ ὑπὸ κεμ τῇ ὑπὸ ηεν ἐστὶν ἴση. καὶ ἡ ὑπὸ ηεν ἄρα τῇ ὑπὸ ηεν ἐστὶν ἴση. ἡ ἐλάττων τῇ μείζονι. ὅπερ ἀδύνατον. οὐκ ἄρα ἐστὶν ἄλλο τι διάφορον, ἀλλὰ τὸ αὐτὸ συμβήσεται, ὅπερ ἔδει δεῖξαι.

εκα, οὐκ ἐλάττων ὀρθῆς. διὰ τὰς ἀπὸ τῶν ησ σημείων πρὸς ὀρθὰς ἀγομένας ἐκτὸς πίπτειν τῶν κύκλου δύο δὴ τρίγωνα τὰ ακε εσμ, μίαν γωνίαν μιᾶ γωνίᾳ ἴσην ἔχει. περὶ δὲ ἄλλας γωνίας πλευρὰς ἀναλογον. τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα, οὐκ ἐλάττονα ὀρθῆς. ἰσογώνια ἄρα εἰσί. γωνία ἄρα ἡ ὑπὸ σμο, γωνίᾳ τῇ ὑπὸ καν, ἴση ἐστὶν. ἡ ἄρα κν περιφέρεια, ἴση ἐστὶ τῇ σο περιφερείᾳ. ἔστι δὲ ϛ ἡ νη ἴση τῇ οη, λοιπαὶ ἄρα αἱ ηκ ης ἴσαι εἰσί, μείζων δὲ ἡ θη τῆς ηκ, μείζων ἄρα καὶ ἡ θη τῆς ης. ὅτι δὲ καὶ ἡ οη ἴση ἐστὶ τῇ νη, αὐτόθεν γίνεται δῆλον. τοῦ γὰρ αὐτοῦ κύκλου διὰ τοῦ κέντρου μὲν αἱ εμ εα, ϛ ἴσαι, ἐφαπτόμεναι δὲ αἱ εη ἀπὸ τοῦ αὐτοῦ σημείου. ἐπεὶ γὰρ ἐστὶν ὡς ἡ εμ πρὸς μη ἡ εα πρὸς αη. ϛ ἡ ὑπὸ εηα, ἴση ἐστὶ τῇ ὑπὸ εημ. ὀρθὴ γὰρ ἑκατέρα. ϛ τῶν λοιπῶν ἑκατέρα ἐλάττων ὀρθῆς. ἰσογώνιον ἄρα ἐστὶ τὸ αηε τρίγωνον, τῷ εημ τριγώνῳ. καὶ διατοῦτο ἡ μὲν ὑπὸ ημο γωνία, ἴση ἐστὶ, τῇ ὑπὸ καν, ἡ δὲ ηο περιφέρεια, ἴση τῇ ην περιφερείᾳ. δέδεικται μὲν οὖν καὶ ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, ὅτι τῶν παρ' ἑκάτερα τῆς μέσης παρόδου ἴσων διαφόρων αἱ μεταξὺ περιφέρειαι αἱ ὁμαλαὶ, ἄνισοι ἔσονται ὁμοίως τῇ κατ' ἐκκεντρότητα ὑποθέσει, ὅπερ προέκειτο δεῖξαι. Δείξομεν δὴ καὶ τὸ ἕτερον, ϛ ὑποκείσθω ἡ θη ἴση τῇ ης. λέγω ὅτι ἡ ὑπὸ μεσ ἐλάττων ἐστὶ τῆς ὑπὸ αεθ. ἐπεὶ γὰρ ἡ ηο ἴση ἐστὶ τῇ ην, ἡ ἄρα ης ἐλάττων ἐστὶ τῆς ην. συνεστάτω δὴ τῇ ὑπὸ ημσ γωνία ἴση ἡ ὑπὸ καψ. φανερὸν μὲν οὖν ὅτι τὸ ψ ἐντὸς τῶν ν κ σημείων πεσεῖται. ἔστι γὰρ ἡ ηκ, ἐλάττων τῆς ηθ, ἤγουν τῆς ης. ἐπεὶ δὲ ἐπιζευχθείσης τῆς εψ, ἔστιν ὡς ἡ εα πρὸς αψ, οὕτως ἡ εμ πρὸς μς. ϛ ἡ ὑπὸ εμσ, ἴση ἐστὶ τῇ ὑπὸ εαψ. ἔστι γὰρ ἡ μὲν ὑπὸ καν, ἴση τῇ ὑπὸ ημο. ὧν ἡ ὑπὸ ημσ, ἴση ἐστὶ τῇ ὑπὸ καψ. ἰσογώνιον ἄρα ἐστὶ τὸ εσμ τρίγωνον, τῷ εψα τριγώνῳ. καὶ ἡ ὑπὸ αεψ ἴση ἐστὶ τῇ ὑπὸ σεμ. μείζων δὲ ἡ ὑπὸ κεα τῆς ὑπὸ ψεα. ἡ ἄρα ὑπὸ κεα, μείζων ἐστὶ τῆς ὑπὸ σεμ. ἴσων ἄρα ὑποκειμένων τῶν παρ' ἑκάτερα τῆς μέσης παρόδου ὁμαλῶν περιφερειῶν, τὰ γινόμενα διάφορα ὁμοίως τῇ κατ' ἐκκεντρότητα ὑποθέσει, καὶ ὑπὸ τῆς κατ' ἐπίκυκλον ἄνισα γίνετε, μείζονος ὄντος τοῦ πρὸς τῷ ἀπογείῳ, ὅπερ ἔδει δεῖξαι. Λέγω ὅτι καὶ ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, ἐὰν παρ' ἑκάτερα τῆς μέσης παρόδου ὑπὸ τῶν ὁμοκέντρου ἴσα ὑποκέντρου διάφορα, αἱ μεταξὺ περιφέρειαι, ὁμοίως ἔσοντε ἴσαι. ϛ ἐὰν αἱ παρ' ἑκάτερα περιφέρειαι ἴσαι ὦσιν, ϛ τὰ διάφορα ἴσα ἔσαι. ὑποκείσθω δὴ τὸ πρῶτον, ϛ ὑποκείσθω μέση πάροδος ὑπὸ τοῦ ὁμοκέντρου κατὰ τὸ β. ϛ ἀπειλήφθωσαν παρ' ἑκάτερα τῶν β περιφέρειαι, αἱ βν βδ. ϛ φαινέσθω ὁ ἀστὴρ ὑπὸ τῶν ν δ σημείων. ϛ διήχθωσαν αἱ ενθ εδμ. ὑποκείσθω δὴ τῶν μὲν ἀστέρος φαινομένου κατὰ τὸ ν, τὸ κέντρον τοῦ ἐπικύκλου, κατὰ τὸ ζ, κατὰ δὲ τὸ δ, τὸ κέντρον τοῦ ἐπικύκλου κατὰ τὸ η. καὶ διήχθωσαν αἱ εηκ εζο. καὶ κείσθωσαν αἱ ὑπὸ νεζ δεη γωνίαι, ἴσαι. δῆλον ὅτι τὰ παρὰ τὴν ἀνωμαλίαν διάφοραι. λέγω ὅτι ἡ ηβ ἴση ἐστὶ τῇ βδ. ἐπεζεύχθωσαν γὰρ αἱ ηλ ημ θζ ζκ. ἐπεὶ τοίνυν δύο τρίγωνα τὰ θζε, εημ, μίαν γωνίαν τὴν ὑπὸ θεζ, μιᾶ γωνίᾳ τῇ ὑπὸ ηεκ ἴσην ἔχει. περὶ δὲ ἄλλας γωνίας τὰς πρὸς τῷ ζ καὶ η, πλευρὰς ἀναλογον. ἔστι γὰρ ὡς ἡ εζ πρὸς ζθ, ἡ εη πρὸς ημ, τῶν δὴ λοιπῶν ἑκατέραν ἅμα, ἐλάττονα ὀρθῆς τῶν πρὸς τῷ θ καὶ μ. ἰσογώνια ἄρα εἰσίν. ἡ ἄρα ὑπὸ ζθε ἴση ἐστὶ τῇ ὑπὸ εμη, ἡ δὲ πρὸς τῷ μ ἴση τῇ πρὸς τῷ λ. ἡ ἄρα ὑπὸ ζθε, ἴση ἐστὶ τῇ ὑπὸ μλη, ἡ δὲ ὑπὸ μλη ἴση ἐστὶ τῇ ὑπὸ δεγ. παράλληλος γὰρ ἡ λη τῇ αεγ. διὰ τὸ τὴν αη ὁμοίαν εἶναι τῇ κλ. καὶ διὰ τοῦτο τὴν ὑπὸ ληκ γωνίαν ἐκτὸς οὖσαν, ἴσην εἶναι τῇ ἐντὸς τῇ ὑπὸ αεη. ἡ ἄρα πρὸς τῷ θ, ἴση ἐστὶ τῇ ὑπὸ δεγ, ἡ δὲ πρὸς τῷ θ, ἴση τῇ ὑπὸ θεα διὰ τὰ προειρημένα. ἡ ἄρα ὑπὸ θεα γωνία, ἴση ἐστὶ τῇ ὑπὸ δεγ. ὡς δὲ αἱ πρὸς τοῖς κέντροις γωνίαι, καὶ αἱ περιφέρειαι. ἡ ἄρα αν περιφέρεια, ἴση ἐστὶ τῇ γδ περιφέρειᾳ. ἔστι δὲ ϛ ἡ αβ, ὅλη τῇ βγ. τεταρτημορίου γὰρ ἑκατέρα. λοιπὴ ἄρα ἡ βδ, ἴση ἐστὶ τῇ βν, ὅπερ ἔδει δεῖξαι. Γάλιν ὑποκείσθω ἡ βν, ἴση τῇ βδ. λέγω ὅτι ἡ ὑπὸ εζν, ἴση ἐστὶ τῇ ὑπὸ δεη.



ἐπεὶ

ἐπεὶ γὰρ ἴσην ὑπόκειται ἡ ΑΒ τῇ ΒΓ, λοιπὴ ἄρα ἡ ΑΝ, ἴσην ὑπόκειται τῇ ΓΔ. ἡ ἄρα ὑπὸ ΑΓΝ γωνία, ἴσην ὑπόκειται τῇ ὑπὸ ΔΓΝ. ἔστι δὲ ἡ μὲν ὑπὸ ΜΝΓ, ἴσην τῇ ὑπὸ ΔΓΝ, ἡ δὲ ὑπὸ ΖΘΕ, ἴσην τῇ ὑπὸ ΝΓΑ. ἡ ἄρα ὑπὸ ΖΘΕ, ἴσην ὑπόκειται τῇ ὑπὸ ΜΝΓ. ἡ δὲ πρὸς ΖΘ ΘΕ ἐστιν ἴσην τῇ πρὸς ΖΘ Μ. ἡ ἄρα πρὸς τῷ Μ ἴσην τῇ πρὸς τῷ Θ. ἔστι δὲ καὶ ὡς ἡ ΕΘ πρὸς ΘΜ, ἡ ΕΖ πρὸς ΖΘ. καὶ ἑκατέρα τῶν ὑπὸ ΖΕΘ ΕΜΖ γωνιῶν ἐλαττόνων ὀρθῆς. ἰσογώνιον μὲν ἄρα ὑπόκειται, τὸ ΖΘΕ τρίγωνον, ΖΘ μήτε τριγώνῳ, ἡ δὲ ὑπὸ ΖΕΘ γωνία ἴσην τῇ ὑπὸ ΕΜΖ, ὅπερ ἔδει δεῖξαι.



Φανερὸν δὲ καὶ ὅτι ἐὰν καὶ αἱ τῶν εἰρημένων μεγεθῶν λόγοι ὁμοιοι ὑποτεθῶσιν, ἀ μόνον ὁμοίως τῇ κατ' ἐκκεντρον ὑποθέσει τά τε διαφορα καὶ αἱ προφέρειαι, ἴσα τε ἀϊσα ἔσαι, καὶ ὧν ἡ κατ' ἐπίκυκλον ὑποθήσεως, ἀλλὰ καὶ τὸν αὐτὸν πρὸς ἄλληλα λόγον ἕξει. καὶ διέδεικται διὰ τῶν προειρημένων. Οὕτω μὲν οὖν ταύτας ἀναγκη τὰς ὑποθέσεις, ὑποτεθῆναι τῇ τῶν ἀστέρων κινήσει. καὶ χωρὶς τούτων οὐκ ἐνι τὰ πρὸς αὐτοὺς φαινόμενα σώζειν. οὕτω δὲ πάντα ὁμοίως ἑκατέρα συμβαίνει, λάβῃ ὁποτέραν ὑποθώμεθα τῇ τῶν ἀστέρων κινήσει τῆς κατ' ἐπίκυκλον κινήσεως ὁμοίως εἰρηται τρόπον διωρισμένης, καὶ ἔτι τῶν λόγων τῶν εἰρημένων μεγεθῶν, ὁμοίων ὑποκειμένων, οὐδὲν διαλύσει πάντα ὁμοίως σώζεσθαι τὰ φαινόμενα καὶ οὐς ἀστέρας ὁμαλῶς καὶ τεταγμένως κινουμένους, ἀνωμάλους ὁμοίως κινεῖσθαι δοκεῖν. καὶ διείληπται ἱκανῶς περὶ τῶν καθ' ὁμαλίαν καὶ ἐγκύκλιον κίνησιν ὑποθέσεων, περὶ ὧν προέκειτο ἐν τῷ τρίτῳ κεφαλαίῳ διαλαβεῖν.

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΗΛΙΟΥ ΑΝΩΜΑΛΙΑΣ.

ΤΑΥΤΑ μὲν οὖν καθόλου περὶ τῶν ὑποθέσεων ἃς ὑποθῶμαι δεῖ καθάπερ εἴρηται τῇ τῶν ἀστέρων κινήσει, περὶ ὧν ἑκάστου κατὰ σὺν οἰκείους διαληψόμεθα τόπους. Νυνὶ δὲ ὁ λόγος αὐτῷ περὶ τοῦ ἡλίου καὶ τῆς κατ' αὐτὸν φαινομένης ἀνωμαλίας, ἥτις ὅτι μὲν γίνεται καὶ ὄντως, ἀπὸ τῶν φαινομένων, λαμβάνει. ὅθεν δὲ γίνεται καὶ ἀπὸ ποίας αἰτίας ἐν ἓξ τρίτῳ διείληχε κεφαλαίῳ καθόλου, περὶ μὲν καθόλου αἰτίας καὶ ἀνωμαλίας τῆς οὐρανίας κινήσεως διαλαβών. ὅσην δὲ τίς ὄντως ἐν ἓξ τετάρτῳ νυνὶ δεῖξαι βούλεται κεφαλαίῳ, τουτέστιν ὅσον ἡ φαινομένη κίνησις τῆς ὁμαλῆς κινήσεως διαφέρει. Τούτων δὴ προεκτεθειμένων. ἐπεὶ τοίνυν ὁ ἥλιος κατὰ σὺν ἄλλους ἀστέρας ὁμαλῶς κινούμενος φαίνεται ἀνωμάλως κινεῖσθαι, ἔτι τε μίαν καὶ ἁπλῶς ποιούμενοι τὴν ἀνωμαλίαν, ὥσπερ μιᾶς δεῖσθαι δοκούσης τῶν ἐκκειμένων ὑποθέσεων καὶ μὴ συναμφοτέρων, ὥσπερ ἡ σελήνη, ὡς ἐν τοῖς περὶ αὐτῆς ἡμῖν γενήσεται δῆλον. διό γε τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην χρόνον, μείζονα ποιεῖ τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, ἃ πάντα, ἐκ τῶν φαινομένων περὶ αὐτὸν γίνεται φανερά, ὡς μὲν ὁμαλῶς κινουμένῳ ἀνωμάλως, τὰς εἰρημένας ὑποθέσεις ὑποθῶμαι δεῖ, ὡς δὲ μίαν ποιουμένῳ ἀνωμαλίαν, οὐ συμπεπλεγμένας, ἀλλὰ τὴν ἑτέραν μόνον αὐτῶν. ὡς δὲ καὶ τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως, ἐπὶ τὴν μέσην χρόνον, μείζονα ποιουμένῳ τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, ἀναγκη, μὴ ἁπλῶς αὐτῷ τὴν κατ' ἐπίκυκλον ὑπόθεσιν ὑποκεῖσθαι, ἀλλ' ὃν εἴρηται τρόπον τὴν κατ' αὐτὴν κινήσεων διοριζομένων, τουτέστιν ὑποκειμένου τοῦ τὴν φαινταίαν ἴσῳ τῷ ἀεὶ τὸ ἐκκεντρον κινεῖσθαι τοῦ ἐπικύκλου. οὕτω γὰρ ἂν ὁ ἀπὸ τῆς ἐλαχίστης κινήσεως ἐπὶ τὴν μέσην χρόνος, μείζων γίνοιτο τοῦ ἀπὸ τῆς μέσης ἐπὶ τὴν μεγίστην, ὡς ἐν τοῖς προειρημένοις ἐδείχθη. ἐπεὶ δὲ οὐδὲ πρὸς τὰ φαινόμενα διαφέρει ὁποτέρας ὑποτιθεμένης τῆς κατ' ἐπίκυκλον ὡς εἴρηται κινήσεως διοριζομένης, ἔστι δὲ ἡ κατ' ἐκκεντρον ὑπόθεσις ἁπλουστέρα τῆς κατ' ἐπίκυκλον, ἃ τε μιᾶς κινήσεως ἐν ταύτῃ θεωρουμένης. τὰ δὲ ἁπλούστερα μᾶλλον πρέποντα τοῖς οὐρανίοις δοκεῖ, βέλτιον ἂν εἴη τὸν ἥλιον ἐπὶ ἐκκέντρου τῷ ταντὶ κύκλου ὑπολαμβάνειν δεῖν.

καὶ ὡς ὑπὲρ ἐκκέντρου κύκλου κινουμένου τῆς ἀνωμαλίαν ζητεῖν, καὶ τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον. Ὅτι δὲ πάντα τὰ προειρημένα ἀπὸ τῶν φαινομένων περὶ τὸν ἥλιον οἱ μαθηματικοὶ ἐθηράσαντο, φανερὸν ἡμῖν γενήσεται, ἀπὸ τοῦ θεωρήματος τοῦ ἐφεξῆς, ᾧ καὶ Ἵππαρχος ἐχρήσατο πρὸ τοῦ Πτολεμαίου. λαμβάνοντες γὰρ ἀπὸ τῶν προειρημένων ὀργάνων τὰς τροπὰς καὶ τὰς ἰσημερίας, καὶ τοὺς μεταξὺ χρόνους, τὰς μεταξὺ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων περιφερείας τοῦ ζωδιακοῦ διεδομένας εἶχον, ἀπὸ τῶν κανόνων τῆς τοῦ ἡλίου κινήσεως. ἐντεῦθεν δὲ τό, τε ἀπόγειον ἐλάμβανον καὶ τὸ περίγειον. τούτων δὲ διεδομένων, τῆς μέσην κίνησιν εἶχον. διοπτεύσαντες δηλονότι διὰ τοῦ ἐν τῷ πέμπτῳ ἀστρολάβου ὀργάνου, τὴν μεταξὺ τοῦ περιγείου καὶ ἀπογείου περιφέρειαν, καὶ τὸ τῆς διχοτομίας σημεῖον, περὶ ὃ ἡ μέση πάροδος τῶν ἀστέρων νοεῖται. ἀπὸ δὲ τούτων τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὑπὲρ τὴν μέσην χρόνον. καὶ τὸν ἀπὸ τῆς μέσης ὑπὲρ τὴν μεγίστην. ἐπεὶ δὲ καὶ ὑποκειμένης τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως μόνης πάντα ἑώρων σωζόμενα τὰ περὶ τὸν ἥλιον φαινόμενα, συνῆγον ἐντεῦθεν μίαν αὐτὸν ποιεῖσθαι ἀνωμαλίαν. ἤγουν ἀπὸ μιᾶς αἰτίας ἀνωμάλως κινεῖσθαι δοκεῖν. ὁ μὲν οὖν σκοπὸς ὡς εἴρηται τοῦ κεφαλαίου, ἡ τῆς ἀνωμαλίας τοῦ ἡλίου ζήτησις, καὶ τὸ λαμβάνειν τῆς ἑκάστοτε ζητουμένης ὁμαλῆς τοῦ ἡλίου κινήσεως τὴν διαφορὰν, ἢ τῆς ἀνωμάλου διαφέρει. τοῦτο δὲ οὐκ ἔνι λαβεῖν μὴ προτέρου τοῦ τῆς ἐκκεντρότητος εἰλημμένου, τουτέστιν ὃν ἔχει λόγον ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου πρὸς τὴν μεταξὺ τῶν κέντρων τοῦ τε ἐκκέντρου καὶ τοῦ ὁμοκέντρου, τοῦ ζωδιακῷ. ἀδύνατον γὰρ τούτου χωρὶς τῆς ἀνωμαλίαν δοθῆναι. οὐ γὰρ ὁποίου ἔτυχεν ὑποκειμένου τοῦ λόγου τῶν εἰρημένων μεγεθῶν, ἡ αὐτὴ ἔσται ἀνωμαλία, ἀλλὰ ἀναλογήσει τοῦ τοῦ λόγου μεγέθει. καὶ ὅσω ἂν μείζων ὁ λόγος εἴη, τοσούτω τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον ἔλαττον. ὅσω δὲ ἐλάττων ὁ λόγος, τοσούτω μεῖζον ἔσται τὸ διάφορον. καὶ ἔστιν αὐτόθεν φανερόν. Ἐκκείσθω γὰρ ἔκκεντρος μὲν κύκλος ὁ κβγ, περὶ κέντρον τὸ θ, καὶ διάμετρον τὴν αθγ. τὸ δὲ τοῦ ὁμοκέντρου κέντρον τὸ κ. καὶ διήχθω ἡ βκδ, πρὸς ὀρθὰς τῇ ακ. καὶ ἐπεζεύχθωσαν αἱ θβ θδ. καὶ εἰλήφθωσαν τυχόντα σημεῖα τὰ λ μ. καὶ ἔστω τὸ λ μεταξὺ τῶν κ καὶ θ σημείων. καὶ διήχθωσαν αἱ ελζ νμη πρὸς ὀρθὰς ταῖς αλ αμ. καὶ ἐπεζεύχθωσαν αἱ θε θζ θν θη. εἰ μὲν οὖν ὅμοιος ὑπόκειται ὁ τῆς ἐκκεντρότητος λόγος, τοῦ τῆς αθ πρὸς θκ, ἔσται τὸ μέγιστον διάφορον, ἴσον τῇ πρὸς τοῦ β γωνίᾳ. ἐὰν δὲ μείζων ὡς ὁ τῆς αθ πρὸς θλ. (τὸ γὰρ αὐτὸ πρὸς τὸ ἔλαττον μείζονα λόγον ἔχει ἤπερ πρὸς τὸ μεῖζον) ἔσται τὸ μέγιστον διάφορον, ἴσον τῇ πρὸς τοῦ ε γωνίᾳ. ἥτις ἐλάττων ἐστὶ τῆς πρὸς τοῦ β. ἐὰν δὲ ἐλάττων ᾖ ὁ τῆς ἐκκεντρότητος λόγος τοῦ τῆς αθ πρὸς θκ, ὡς ὁ τῆς αθ πρὸς θμ, μεῖζον ἔσται τὸ διάφορον. μείζων γὰρ ἡ πρὸς τοῦ ν τῆς πρὸς τῷ β. ὅτι δὲ ἡ μὲν πρὸς τοῦ ε ἐλάττων ἐστὶ τῆς πρὸς τῷ β, ἡ δὲ πρὸς τοῦ ν μείζων τῆς αὐτῆς, φανερόν. ἐπεὶ γὰρ αἱ πρὸς τῷ ε καὶ ζ μετὰ τῆς ὑπὸ εθζ, ἴσαι εἰσί, ταῖς πρὸς τοῦ β καὶ δ, μετὰ τῆς ὑπὸ βθδ, ὧν ἡ ὑπὸ εθζ μείζων ἐστὶ τῆς ὑπὸ βθδ. λοιπαὶ ἄρα αἱ πρὸς τοῦ β καὶ δ, μείζους εἰσὶ τῶν πρὸς τῷ ε καὶ ζ. ὡς δὲ τὰ διπλάσια καὶ τὰ ἡμίσεα. ἡ ἄρα πρὸς τῷ ε, ἐλάττων τῆς πρὸς τοῦ β. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ πρὸς τῷ β ἐλάττων τῆς πρὸς τῷ ν. διὰ τὰ αὐτὰ τοίνυν, ἀναγκαῖον ἦν τὸν λόγον τῆς ἐκκεντρότητος προδιαλῆφθαι. ἵνα τὸ διάφορον εὑρεθῇ, τὸ μέγιστον καὶ κατὰ μέρος ἀεὶ ζητούμενον, καὶ ἀπὸ τούτου ἡ μέση πάροδος, ὁ τόπος δηλονότι ἐν ᾧ ἡ μεγίστη γίνεται διαφορὰ τῆς ὁμαλῆς κινήσεως παρὰ τὴν ἀνώμαλον. ἐνταῦθα γὰρ τὸ μέγιστον διάφορον ὡς ἐν τοῖς προειρημένοις ἐδείχθη. ὥσπερ δὲ ἀεὶ ἔθος ἀστρονόμοις, καὶ νῦν πρὸς τὸ λαβεῖν τὴν ἐκκεντρότητα καὶ τὸ ἀπόγειον, τοῖς φαινομένοις ἐχρήσαντο καθάπερ ἀρχαῖς. πρότερον μὲν Ἵππαρχος, ὕστερον δὲ Πτολεμαῖος. εὑρόντες γὰρ ἀπὸ τῶν τηρήσεων τὸν μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας μέχρι θερινῆς τροπῆς χρόνον ἡμερῶν ηδς. τὸν δὲ ἀπὸ θερινῆς τροπῆς μέχρι μετοπωρινῆς ἰσημερίας ἡμερῶν ηβς, ἀπὸ τούτων διὰ γραμμικῶν δείξεων ἀποδεικνύουσι τὴν μεταξὺ τῶν προειρημένων κέντρων εὐθείαν κόμερος ἔγγιστα οὖσαν τῆς ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου. τὸ δ' ἀπόγειον αὐτοῦ προηγούμενον



μενον τῆ θερινῆς τροπῆς τοῦ καρκίνου, τμήμασιν κδ ς΄ ἐγγισα, οἵων ὅλη ὁ διὰ μέσων τῶν ζωδίων κύκλος τξ, τουτέστιν εἰς τὰ ἡγούμενα τῶν ζωδίων ἀπέχων τῆς θερινῆς τροπῆς κδ ς΄ μοίρας, ὥστε ἐπὶ τῶν τοῦ ἱππάρχου καιρῶν κη ὡδὶ τοῦ Πτολεμαίου, τῇ αὐτῷ ἀποστάσιν εἶναι τοῦ ἀπογείου ΙΩ τῆ θερινῆς ἀπέχειν τροπῆς. ὡς διατοῦτο, ἐπὶ ὅτι τῇ αὐτῷ ἀεὶ θέσιν ὁ ἐκκεντρος τοῦ ἡλίου κύκλος σωτηρεῖ πρὸς τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα, φανερὸν ἡμῖν γίνεται τοῦ ἡλίου κύκλος σωτηρεῖ πρὸς τὰ εἰρημένα σωστήρια δύο. εἰ γὰρ μὴ, τῇ αὐτῷ ἀεὶ θέσιν ὁ ἐκκεντρος τοῦ ἡλίου κύκλος πρὸς τὰ εἰρημένα σωστήρια σημεῖα ἀκίνητον ἔχων τὸ κέντρον, ἀλλὰ κινεῖτο, οὐκ ἂν εἴη ἴσον ἡ θερινὴς ἀπὸ τροπῆς.

Ἵνα δὲ ὅσαπερ ἐστὶν ἡμῖν χρήσιμα τὰ εἰρημένα, καταγεγράφθω ζωδιακὸς μιν, ὁ αβγδ, πόλος δὲ ὁ ε, καὶ διάμετρος τῶν αεδ. κέντρον δὲ τοῦ ἐκκέντρου τὸ ζ. ὁ δὲ πόλος αὐτοῦ κύκλος ὁ κέντρον τὸ ε, καὶ διάμετρον τὴν αεδ. κέντρον δὲ τοῦ ἐκκέντρου τὸ ζ. ὁ δὲ πόλος αὐτοῦ κύκλος ὁ αθμ. ὑποκείσθω δὲ τὸ ζ ΩΙ ἡ αδ διάμετρον. ἀπόγειον ἄρα ἔσται τὸ α. καὶ ὑποκείσθω τοῦ σ θερινοῦ τροπικοῦ, ἀφῃρήσθω αὐτοῦ τὸ ἀπόγειον τῆ ασ περιφέρειαν. εἰ μὲν οὖν ἀκίνητον ὑποτεθείη τὸ ζ, ἐπεὶ ἀκίνητόν ἐστι καὶ τὸ ε σημεῖον, καὶ ἡ διὰ τούτων ἄρα εὐθεῖα ἀκίνητος ἔσται καὶ ἡ εζα, καὶ τὸ α σημεῖον ἀκίνητον δὲ ὄντος καὶ τοῦ σ, καὶ αὐτὴ ἔσται τῶν σημείων ἀποχὴ ἡ ασ. εἰ δὲ τὸ ζ κινοῖτο κατὰ τὸ α σημεῖον ἀκινήτου δὲ ὄντος καὶ τοῦ σ, ἡ αὐτὴ ἔσται τῶν σημείων ἀποχὴ ἡ ασ. εἰ δὲ τὸ ζ κινοῖτο κατὰ τὸ β. τοῦ δὲ σ, οὐ τῇ ασ ἀφαιρεθείη, καὶ γένοιτο ΙΩ τῇ τὸ η ἡ βγ διάστασις, ἀπόγειον μὴ ἔσται

Ἔσω γὰρ ὀρθογώνιον τρίγωνον τὸ αβγ, ὀρθὴν ἔχον τὴν πρὸς τῷ β, καὶ τετμήσθω ἡ αγ δίχα κατὰ τὸ ε. λέγω ὅτι ὁ ἐγγραφῶ τοῦ ε καὶ διαστήματι τῷ εα κύκλος γραφόμενος, ἥξει καὶ διὰ τῶν τριῶν σημείων τῶν α β γ. εἰ γὰρ μή, ἢ οὐκ ἐπὶ τοῦ αβγ τυχεῖται, ἢ τεμεῖ τὸ τρίγωνον. οὐκ ἐκπιπτέτω πρῶτον. καὶ ἐκβεβλήσθω ἡ γβ ἐπὶ τὸ δ. καὶ ἐπεζεύχθω ἡ δα. ἡ ἄρα πρὸς τῷ δ γωνία, ὀρθὴ ὑπάρχει. ἴση ἄρα ἐστὶ τῇ ὑπὸ αβγ, ἡ ἐκτὸς τῇ ἐντὸς, ὅπερ ἀδύνατον. πάλιν τεμνέτω κατὰ τὸ θ, καὶ ἐπεζεύχθω ἡ θγ. ἐστιν ἄρα ἡ ὑπὸ αθγ γωνία ὀρθὴ οὖσα, ἴση τῇ ὑπὸ αβγ ὀρθῇ οὔσῃ, ὅπερ ἀδύνατον. ἡ γὰρ ἐκτὸς τῇ ἐντὸς καὶ ἀπεναντίον. Ἄλλως τε ἐπεζεύχθεισα ἡ εβ,



ἴση ἔσαι ἑκατέρᾳ τῶν αε εγ. προσαναπληρωθέντος γὰρ τοῦ βακγ παραλληλογράμμου, ἐκβληθεῖσα ἡ βε, ὡδὶ τοῦ κ τεμεῖται. εἰ γὰρ μὴ, ἤχθω ἄλλη τις ἀπὸ τοῦ β ἡ βζκ. ἐπεὶ τοίνυν παραλληλόγραμμόν ἐστιν τὸ ακβγ, ἡ ἄρα βα παραλληλος ἐστὶ τῇ κγ. γωνία δὲ ἡ ὑπὸ αγκ, γωνίᾳ τῇ ὑπὸ αγκ, ἴση ἐστὶ. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ αβκ ἴση ἐστὶ τῇ ὑπὸ αγκ. ἐπεὶ δὲ καὶ ἡ ὑπὸ αζβ, ἴση ἐστὶ τῇ ὑπὸ κζγ. τρίγωνον ἄρα τὸ ζκγ, τριγώνῳ τῷ ζβα, ἰσογώνιόν ἐστιν, ἔστιν ἄρα ὡς ἡ κγ πρὸς γζ, ἡ αβ πρὸς αζ. καὶ ψαλλαξ. ὡς ἡ γκ πρὸς αβ, ἡ αζ πρὸς ζγ. ἴση ἄρα ἡ αζ τῇ ζγ. μείζων ἄρα ἡ αε τῆς εγ. ὑπόκειται δὲ καὶ ἴση, ὅπερ ἀδύνατον. ἡ ἄρα βε ἐκβληθεῖσα οὐδὲ τὸ κ πεσεῖται. δὴ δὲ τὰ προδεδειγμένα ἔσαι ἡ βε, ἴση ἑκατέρᾳ τῶν αε εγ. προσεκβεβλήσθωσαν γὰρ οὕτω τὸ κ. ἐπεὶ τοίνυν ἡ βα ἴση ἐστὶ τῇ γκ, καὶ κοινὴ ἡ ακ, ἡ ὑπὸ βακ γωνία ἴση ἐστὶ τῇ ὑπὸ ακγ, καὶ βάσις ἡ ἄρα ἡ βκ, βάσει τῇ αγ ἐστὶν ἴση. καὶ τὸ τρίγωνον τῷ τριγώνῳ. γωνία ἡ ὑπὸ αβκ γωνίᾳ τῇ ὑπὸ αγκ, ἴση ἐστίν. ὧν ἡ ὑπὸ αβγ ὅλη, ὅλῃ τῇ ὑπὸ βγκ ἴσῃ, λοιπὴ ἄρα ἡ ὑπὸ εβγ λοιπῇ τῇ ὑπὸ εγβ, ἴση ἐστίν. ἡ ἄρα εβ, ἴση ἐστὶ τῇ εγ ἤγουν τῇ εα.



ὁ ἄρα ἐγγραφῶ τῷ ε καὶ διαστήματι ἑνὶ τῶν εβ εα εγ κύκλος γραφόμενος, ἥξει καὶ διὰ τῶν τριῶν σημείων τῶν α κὴ β καὶ γ. κὴ ποδὶ τὸ αβγ ὀρθογώνιον γραφήσεται κύκλος διάμετρον ἔχων τὴν ὑποτείνουσαν τὴν ὀρθὴν, ὅπερ ἔδει δεῖξαι. Δεδείχθω δὴ τὸ δεύτερον. καὶ ἔστω κύκλος ὁ αβγ, ποδὶ κέντρον τὸ ε. καὶ πρὸς αὐτῷ βεβηκέτω γωνία ὑπὸ τῶν αβ περιφερείας, ἡ ὑπὸ αεβ. λέγω ὅτι ὡς ἡ αβ περιφέρεια πρὸς ὅλον τὸν κύκλον τὸν αβγ περιφέρειαν οὕτως ἡ πρὸς τὸ ε γωνία, πρὸς τὰς τέτταρας ὀρθάς. διήχθω γὰρ ἡ βε ἐπὶ τὸ ζ. κὴ ἐπεζεύχθω ἡ αζ. ἔστιν ἄρα ὡς ἡ γα πρὸς βα, οὕτως ἡ ὑπὸ γεα γωνία πρὸς τὴν ὑπὸ βεα. καὶ συνθέντι ὡς ἡ γαβ πρὸς αβ, οὕτως αἱ ὑπὸ γεα, βεα, πρὸς τὴν ὑπὸ αεβ. καὶ ἀναπαλιν, ὡς ἡ αβ περιφέρεια πρὸς τὴν βαγ, ἡ ὑπὸ αεβ γωνία πρὸς τὰς ὑπὸ αεβ αεγ τὰς δύο ὀρθάς. ἀλλὰ μὴν καὶ ὡς τὸ βαγ ἡμικύκλιον πρὸς ὅλον τὸν κύκλον περιφέρειαν, οὕτως αἱ δύο ὀρθαὶ πρὸς τὰς δ ὀρθάς. διὶ ἴσον ἄρα ἐστὶν, ὡς ἡ αβ περιφέρεια πρὸς ὅλον τὸν κύκλον περιφέρειαν, οὕτως ἡ ὑπὸ αεβ γωνία πρὸς τὰς δ ὀρθάς, ὅπερ ἔδει δεῖξαι. Δεικτέον δὴ καὶ τὸ τρίτον. κὴ φανερὸν ἐκ τῆς ὑποκειμένης διαγραφῆς, ἐπεὶ ἡ ὑπὸ αεβ γωνία δύο μὲν ἐστὶ πρὸς τῷ ζ, ἔστιν ἄρα ὡς ἡ ὑπὸ αεβ πρὸς τὴν ὑπὸ αζβ, οὕτως αἱ δ ὀρθαὶ πρὸς δύο ὀρθάς. φανερὸν ἄρα ἐστὶν, ὡς ἡ ὑπὸ αεβ πρὸς τὰς δ ὀρθάς, οὕτως ἡ ὑπὸ αζβ πρὸς β ὀρθάς. ἔστι δὲ ἡ ὑπὸ αεβ πρὸς τὰς δ ὀρθάς, ὡς ἡ αβ περιφέρεια πρὸς ὅλον τὸν κύκλον, ἡ ὑποτείνουσα αὐτὴν πρὸς τὴν περιφέρειαν γωνία ἡ πρὸς τῷ ζ, πρὸς τὰς δύο ὀρθάς, ὅπερ ἔδει δεῖξαι. Δεικτέον δὴ καὶ τὸ τέταρτον. καὶ ἔστω τρίγωνον ὀρθογώνιον τὸ αβγ ὀρθὴν ἔχον τὴν πρὸς τῷ β γωνίαν. λέγω ὅτι διπλασίων ἐστὶ πρὸς τῷ α γωνίας, ἡ τῆς πρὸς τῷ ζ, διπλασίων δὲ καὶ τῆς πρὸς τῷ γ. περιγεγράφθω γὰρ περὶ τὸ αβγ ὀρθογώνιον ἡμικύκλιον τὸ αβγ. κὴ ἐπεὶ ἡ πρὸς τῷ α γωνία διπλασίων ἐστὶ τῆς ὑπὸ αζβ. διπλασίων ἄρα ἐστὶν ὁ ἐγγραφῶ τοῦ ζ κύκλος τοῦ ἐγγραφῶ τοῦ ε κύκλου. ἐστὶ δὲ καὶ ἡ ὑπὸ αβγ διπλασίων τῆς ὑπὸ αεβ. ἴσαι γὰρ ἑκατέρᾳ τῶν ὑπὸ αεβ βεγ. ἐστὶν ἄρα καὶ ἡ ὑπὸ αβγ γωνία διπλασίων τῆς ὑπὸ αεβ. ἐστὶ δὲ καὶ ἡ ὑπὸ αεβ διπλασίων τῆς ὑπὸ αγβ. καὶ ἡ ὑπὸ αβγ ἄρα διπλασίων ἐστὶ τῆς ὑπὸ αγβ. ἐστὶ δὲ καὶ ἡ ὑπὸ αβγ διπλασίων τῆς ὑπὸ αεβ. ἴσαι γὰρ ἑκατέρᾳ τῶν ὑπὸ αεβ βεγ. ἐστὶν ἄρα καὶ ἡ ὑπὸ αβγ γωνία διπλασίων τῆς ὑπὸ αεβ. ἐστὶ δὲ καὶ ἡ ὑπὸ αεβ διπλασίων τῆς ὑπὸ αγβ. καὶ ἡ ὑπὸ αβγ ἄρα διπλασίων ἐστὶ τῆς ὑπὸ αγβ.





ἐν κύκλῳ εὐθειῶν κανονίου δοθήσονται, οἵων ἡ ᾱγ ρκ. Πάλιν δεδόσθω ὁ τῆς ᾱβ πρὸς βγ λόγος. λέγω ὅτι δοθήσοντες καὶ αἱ ᾱγ γβ, οἵων ἡ ᾱγ ρκ. καὶ ἔτι καὶ αἱ πρὸς τῷ α καὶ γ γωνίαι. εἰλήφθωσαν δύο ἀριθμοὶ ἐν τῷ τῆς ᾱβ πρὸς βγ λόγῳ οἱ ε ζ, καὶ εἰλήφθωσαν οἱ ἀπ' αὐτῶν τετράγωνοι. καὶ ἔστωσαν οἱ κ λ. καὶ συναμφοτέρων εἰλήφθω ἡ ἐγχωχοῦσα τετραγωνικὴ πλευρά. καὶ ἔστω ἡ ν. καὶ γεγονέτω ὡς ἡ ν πρὸς ε, οὕτως ὁ ρκ πρὸς ἄλλον τινὰ τὸν μ. εἰ γοῦν ρκ ὑποθείμεθα τὸν τῆς ᾱγ ἀριθμὸν, ἔσται ἡ ᾱβ ἐν τῷ ἀριθμῷ τοῦ μ. καὶ δοθήσετε ἡ ᾱβ, οἵων ἡ ᾱγ ρκ. διὰ τὰ αὐτὰ καὶ ἡ βγ. δεδομένων δὲ τῶν εὐθειῶν, καὶ αἱ ἐπ' αὐτὰς περιφέρειαι δοθήσονται αἱ ᾱβ καὶ βγ, καὶ αἱ ὑποτείνουσαι γωνίαι, αἱ ὑπὸ βᾱγ βγα, δοθήσονται. ἔτι δὲ κἂν ἡ βα ἢ ἡ βγ μόνον δοθῇ, δοθήσεται μὲν ἡ ἐπ' αὐτῆς περιφέρεια. δοθήσεται δὲ καὶ ὑποτείνουσα ὀξεῖα τοῦ τριγώνου γωνία. Τούτων προδεδειγμένων, καταγεγράφθω τὸ θεώρημα. καὶ ἔστω διὰ μέσων τῶν ζωδίων κύκλος, ὁ αβγδ περὶ κέντρον τὸ ε. καὶ διήχθωσαν ἐν αὐτῷ διαμετροι πρὸς ὀρθὰς ἀλλήλαις διὰ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων ἥτε ᾱγ καὶ ἡ βδ. ὑποκείσθω δὲ τὸ μὲν α ἐαρινὸν σημεῖον, τὸ δὲ β θερινὸν. καὶ τὰ ἑξῆς ἀκολούθως, ἤγουν τὸ μὲν γ μεροπωρινὸν, τὸ δὲ δ χειμερινὸν τροπικὸν. ὅτι μὲν οὖν τὸ κέντρον τοῦ ἐκκέντρου κύκλου, μεταξὺ τῶν εα καὶ εβ εὐθειῶν πεσεῖτε, φανερόν. ἐπεὶ γὰρ ἐν ταῖς τξε ἡμέραις καὶ τετάρτω ἔγγιστα, ὁ ἥλιος διέρχετε τὴν ἑαυτοῦ κύκλον, καὶ ὑπόκειτε κινεῖσθαι ὁμαλῶς, τουτέστιν ἴσας ἐν ἴσῳ χρόνῳ περιφερείας, ἐν ἄρα τῷ ς χρόνῳ τὸ ς διελεύσετε τοῦ κύκλου, καὶ ἐν τῷ ἐλαττονι τοῦ ἡμίσεως, τὸ ἔλαττον ἢ ἥμισυ τοῦ κύκλου. ἐπεὶ τοίνυν τὴν ἀπὸ μεροπωρινῆς ἰσημερίας ὑπὸ ἐαρινὴν τοῦ κύκλου περιφέρειαν ὁ ἥλιος διέρχεται ἐν χρόνῳ ἐλάττονι τοῦ ἡμίσεως τοῦ ἐνιαυσίου, ἐλαττων ἄρα ἔσται ἡμικυκλίου. ἡ ἄρα αεγ, εἰς ἄνισα τέμνει τὸ ἐπίπεδον τοῦ ἐκκέντρου, καὶ τὸ μὲν ἔλαττον τοῦ ἡμικυκλίου ἔσται ὑπὸ τὰ δ μέρη, τὸ δὲ μεῖζον ὑπὸ τὰ β. τὸ ἄρα κέντρον τοῦ ἐκκέντρου, ἐν τῷ ἐπιπέδῳ τοῦ αβγ ἡμικυκλίου πεσεῖται. ἐπεὶ δὲ αἱ ἀπὸ ἐαρινῆς ἰσημερίας ὑπὸ θερινὴν τροπὴν ἡμέραι, ἤγουν ἀπὸ τοῦ α ὑπὸ τὸ β ηδ ς ἐφάνησαν, καὶ εἰσὶ μεῖζον μέρος ἢ τέταρτον τοῦ ἐνιαυσίου, ἡ ἄρα εβ οὐ τέμνει δίχα τῆς τοῦ ἐκκέντρου περιφέρειαν τὴν ἐν τῷ αβγ ἡμικυκλίῳ. ἀλλὰ μεῖζον μ, ἡ ἐν τῷ αβε τεταρτημόριον. ἔλαττον δὲ τὸ ἐν τῷ λοιπῷ. τὸ ἄρα κέντρον τοῦ ἐκκέντρου, μεταξὺ τῶν αε εβ εὐθειῶν πεσεῖται. εἰλήφθω δὴ καὶ ἔστω τὸ ζ. καὶ διήχθω μὲν ἡ δι' ἀμφοτέρων τῶν κέντρων καὶ τοῦ ἀπογείου διαμετρος ἡ εζη. κέντρῳ δὲ τῷ ζ, καὶ διαστήματι τυχόντι, γεγράφθω ὁ ἔκκεντρος τοῦ ἡλίου κύκλος ὁ θκλμ. καὶ διὰ τοῦ ζ ἤχθωσαν παράλληλοι τῇ μ ᾱγ ἡ νξο, τῇ δὲ βδ, ἡ πρς. καὶ ἔτι ἤχθωσαν κάθετοι ἀπὸ μ τοῦ θ τῇ νξο, ἡ θτυ, ἀπὸ δὲ τοῦ κ τῇ πρς, ἡ κφχ. ἐπεὶ τοίνυν ὁ ἥλιος τὴν θκμ κύκλον ὁμαλῶς διερχόμενος τῆς μ θκ περιφέρειαν διαπορεύετε ἐν ἡμέραις ηδ ς, τὴν δὲ κλ ἐν ἡμέραις ηβ ς. κινεῖτε δὲ ὁμαλῶς ἐν μὲν ταῖς ηδ ς ἡμέραις μοιρὰς ηγθ ἔγγιστα, οἵων ἐστὶν ὁ κύκλος τξ. ὡς ἔστι λαβεῖν ἀπὸ τοῦ τῆς ὁμαλῆς τοῦ ἡλίου κινήσεως κανονίου, ἐν δὲ ταῖς ηβ ς, μοιρὰς ηα ιά, εἴη ἂν τὸ μ θκλ τμῆμα μοιρῶν ρπδ κ. συναμφότερος δὲ τό, τε νθ καὶ τὸ λο, τῶν αὐτῶν εἰς τὸ νηπο ἡμικύκλιον δ κ. ἡ δὲ διπλῆ περιφέρεια τῆς θν ἤγουν ἡ θν τῶν αὐτῶν δ κ. ἴση γὰρ ἡ θν τῇ λο. ἐὰν γὰρ ἀγάγωμεν ἀπὸ τοῦ λ τῇ το κάθετον τῆς λσ, παράλληλος μὲν ἔσται, ἡ λσ τῇ θτ διὰ τὸ ὀρθὴν εἶναι τὴν ὑπὸ θτσ λστ ἑκατέραν. παραλλήλων δὲ οὐσῶν καὶ τῶν θλ τσ, παραλληλόγραμμον μὲν ἔσται τὸ τλ. ἴση δὲ ἔσται ἡ θτ τῇ λσ. ἐκβληθείσης δὲ τῆς λσ ὑπὸ τὸ ψ, ἴση μὲν ἔσται ἡ ψσ τῇ λσ. εὐθεῖα γάρ τις διὰ τοῦ κέντρου ἡ ξο εὐθεῖαν τινὰ μὴ διὰ τοῦ κέντρου τῆς λψ πρὸς ὀρθὰς τέμνει. καὶ διατοῦτο δίχα. καὶ ἐπεὶ διὰ τὰ αὐτὰ ἴση ἐστὶ καὶ ἡ θτ τῇ θν, καὶ ὅλη ἡ θυ εὐθεῖα ὅλη τῇ λψ ἴση ἔσται. καὶ ἡ μὲν θνυ περιφέρεια ὅλη τῇ λοψ, ἡ δὲ λο τῇ θν. ἡμίσεια γὰρ ἑκατέρα τῶν θν λο ἑκα-





τέρας τῶν θ̄ψ θ̄υ. Ⓒ ἔστιν αὐτόθεν φανερόν. ἐπεζευχθεισῶν γὰρ τῶν ν̄υ ν̄θ ἐυθειῶν, ἐπεὶ ἴση ἐστὶν ἡ ῡτ τῇ τ̄θ, καὶ κοινὴ ἡ τ̄ν, καὶ ὀρθὴ ἑκατέρα τῶν πρὸς τῷ τ̄ γωνιῶν, ἴση μ̄ ἔσται ἡ ν̄υ ἐυθεῖα τῇ ν̄θ, ἴση δὲ ἡ ν̄θ περιφέρεια τῇ ν̄υ περιφερείᾳ. διὰ τὰ αὐτὰ καὶ ἡ λ̄ο τῇ ο̄ψ. ἡ ἄρα θ̄υ περιφέρεια ἴση ἐστὶ ταῖς ν̄θ λ̄ο. ἔστιν ἄρα δ̄ κ́. Ⓒ ἡ ὑπ' αὐτὴν ἄρα ἐυθεῖα διοθεῖσα ἀπὸ τοῦ τῶν ἐν κύκλῳ ἐυθειῶν κανονίου, τοιούτων ἔσται δ̄ λβ́ ἔγγιστα, οἵων ἡ ἐκ τοῦ κέντρου διάμετρος ρ̄κ. ἡ δὲ ἡμίσεια αὐτῆς ἡ θ̄τ, τουτέστιν ἡ ε̄ξ (ἴση γὰρ ἡ θ̄τ τῇ ε̄ξ, πλευραὶ οὖσαι ἀπεναντίον παραλληλογράμμου) τῶν αὐτῶν ἔσται β̄ ιϛ́. πάλιν, ἐπεὶ τὸ θν̄πκ τμῆμα ὅλον μοιρῶν ἐστὶν λ̄ γ θ́, ἔστι δὲ Ⓒ τὸ θ̄ν μοιρῶν β̄ ί, ἡμίσεια γὰρ τοῦ θ̄υ οὔσης δ́ κ́, τὸ δὲ ν̄π τεταρτημόριον ὂν (ὀρθὴ γὰρ ἡ ὑπὸ ν̄ζπ) μοιρῶν ἐστὶν λ̄, Ⓒ λοιπὴ μὲν ἔσται ἡ π̄κ περιφέρεια μοιρῶν ο̄ νθ́. ἡ δὲ διπλῆ αὐτῆς ἡ κπ̄χ περιφέρεια μοιρᾶς ᾱ νή. ὥστε καὶ ἡ μὲν ὑπ' αὐτὴν ἐυθεῖα, τοιούτων β̄ δ́, οἵων ἐστὶν ἡ ἐκ τοῦ κέντρου διαμέτρος ρ̄κ, ἡ δ' ἡμίσεια αὐτῆς ἡ κ̄φ, τουτέστιν ἡ ζ̄ξ (ἴση γὰρ ἡ ζ̄ξ τῇ κ̄φ) διὰ τὰ προειρημένα, τμημάτων ᾱ β́. τῶν δ' αὐτῶν ἐδείχθη Ⓒ ἡ ε̄ξ ἐυθεῖα β̄ ιϛ́. καὶ ἐπεὶ ὀρθογώνιον τρίγωνον ἐστὶ τὸ ζξ̄ε, καὶ ἔστιν ὀρθὴ ἡ πρὸς τῷ ξ̄, τὸ ἄρα ἀπὸ τῆς ζ̄ε τετράγωνον, ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ζ̄ξ ξ̄ε. καὶ ἐπεὶ δέδοται ἑκατέρα τῶν ζ̄ξ ξ̄ε, δέδοται ἄρα καὶ τὰ ἀπ' αὐτῶν τετράγωνα, καὶ τὸ ἴσον αὐτοῖς τὸ ἀπὸ τῆς ζ̄ε. δέδοται ἄρα καὶ ἡ δυναμένη αὐτὸ ἡ ζ̄ε πόσων ἐστὶ μήκει, οἵων ἐστὶν ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ̄. δεδομένων δὲ τῶν μεγεθῶν, καὶ ὁ λόγος δέδοται. δέδοτο ἄρα ὁ λόγος ὃν ἔχει ἡ ἐκ τοῦ κέντρου τοῦ ἐκκέντρου πρὸς τὴν μεταξὺ τῶν κέντρων τετρακαιεικοσαπλασίων ἔγγιστα. ἔστι γὰρ ἡ τῶν μεταξὺ κέντρων, β̄ κθ́ ϛ́ ἔγγιστα οἵων ἐστὶν ἡ τοῦ κέντρου τοῦ ἐκκέντρου ξ́. Πάλιν ἐπεὶ οἵων ἡ ε̄ζ ἐδείχθη β̄ κθ́ ϛ́ ἔγγιστα, τοιούτων ἦν Ⓒ ἡ ζ̄ξ ἐυθεῖα ᾱ β́, καὶ οἵων ἄρα ἐστὶν ἡ ε̄ζ ὑποτείνουσα ρ̄κ, τοιούτων ἔσται καὶ ἡ μὲν ζ̄ξ ἐυθεῖα μ̄θ μϛ́ ἔγγιστα. ἔστι γὰρ ἀνάλογον ὡς β̄ κθ́ ϛ́ πρὸς ᾱ β́, οὕτως ρ̄κ πρὸς μ̄θ μϛ́ ἔγγιστα. γραφομένου δὲ περὶ τὸ ζξ̄ε ὀρθογώνιον κύκλου (ἐδείχθη γὰρ δυνατὸν ἔσται) ἡ ὑπὸ τῆς ζ̄ξ περιφέρεια τοιούτων ἔσται μ̄θ μϛ́ ἔγγιστα, οἵων ὁ κύκλος τ̄ξ. διοθήσεται γὰρ ἀπὸ τῶν κανονίων. καὶ διατοῦτο ἡ ὑποτείνουσα αὐτὴν γωνία πρὸς τῇ περιφέρειαν ἡ ὑπὸ ζ̄ε̄ξ τὴν αὐτὸν πρὸς τὰς δύο ὀρθὰς ἕξει λόγον, ὃν ἡ περιφέρεια πρὸς τὸν κύκλον, ὡς δεδεικται. Ⓒ ἔσται μ̄θ, οἵων αἱ δύο ὀρθαὶ τ̄ξ. ἔσται ἄρα καὶ οἵων αἱ δ̄ ὀρθαὶ τ̄ξ, τοιούτων κ̄δ λ́. ἐπεὶ δὲ ἡ ὑπὸ ξ̄ε̄ζ γωνία πρὸς τῷ κέντρῳ ἐστὶ τοῦ ζωδιακοῦ, καὶ ἔστιν οἵων αἱ δ̄ ὀρθαὶ κ̄δ λ́, καὶ ἡ ἐπ' αὐτῆς ὑποτείνουσα περιφέρεια τὸν αὐτὸν ἕξει λόγον πρὸς ὅλον τὸν κύκλον, ὃν αὕτη πρὸς τὰς δ̄ ὀρθάς. καὶ ἡ η̄β τοιούτων ἔσται κ̄δ λ́, οἵων ὁ διὰ μέσων τῶν ζωδίων κύκλος τ̄ξ. ἔστι δὲ τὸ μὲν η̄ ἀπόγειον, τὸ δὲ β̄ θερινὸν τροπικόν, καὶ εἰσὶ τὰ ἡγούμενα τῶν ζωδίων ἀπὸ τοῦ β̄ ὑπὸ τὸ ᾱ, τὸ ἄρα ἀπόγειον προηγεῖται τοῦ θερινοῦ τροπικοῦ μοιρῶν κ̄δ λ́. λοιπὸν δὲ, ἐπειδὴ τὸ μὲν ο̄σ τεταρτημόριον καὶ τὸ σ̄ν ἑκάτερον μοιρῶν ἐστὶν λ̄, ἔστι δὲ ἡ μὲν ο̄λ περιφέρεια αὐτή τε καὶ ἡ θ̄ν ἑκατέρα μοιρῶν β̄ ί, ἡ δὲ μ̄σ μοιρῶν ὃ νθ́, καὶ ἡ μὲν λ̄μ περιφέρεια μοιρῶν π̄ϛνά, ἡ δὲ μ̄θ μοιρῶν π̄η μθ́. ἀλλὰ τὰς μὲν π̄ϛ ν̄α μοιρὰς ὁ ἥλιος ὁμαλῶς διέρχεται ἐν ἡμέραις π̄η Ⓒ ἡ ἑξηκοστοῖς μιᾶς ἡμέρας, τὰς δὲ π̄η μθ́ μοιρὰς, ἐν ἡμέραις λ̄ καὶ ἡ ἔγγιστα ἑξηκοστοῖς. καὶ εὕρηται ἡμῖν τὰ προκείμενα συμφώνως τοῖς ὑπὸ τοῦ Ἱππάρχου εὑρημένοις. οὕτω μὲν οὖν ὅ τε λόγος τῆς ἐκκεντρότητος εὑρέθη, καὶ ὁ τόπος τοῦ ἀπογείου, ὅπερ προέκειτο ποιῆσαι. τούτων δὲ οὕτως ὑποκειμένων, Ⓒ τοσαύτης οὔσης τῆς πηλικότητος τοῦ λόγου τοῦ ἐκ τοῦ ἐκκέντρου, Ⓒ τῆς μεταξὺ τῶν κέντρων τούτου τε καὶ τοῦ ζωδιακοῦ, εὑρεῖν ἤδη δέον τὸν ἀριθμὸν, τῆς ἀεὶ ζητουμένης διαφορᾶς τῆς ὁμαλῆς κινήσεως παρὰ τὴν ἀνώμαλον, ὑπὲρ οὗ καὶ τὰ προειρημένα ἐδείχθη. καὶ πρῶτον τὴν μεγίστην διαφορὰν, καὶ ἔτι καθ' ὃ σημεῖον τοῦ ἐκκέντρου αὕτη συμβαίνει. Ἔστω δὴ ἔκκεντρος κύκλος ὁ αβ̄γ περὶ κέντρον τὸ δ̄, καὶ διαμέτρον τὴν ἀπὸ τοῦ ᾱ ἀπογείου τὴν αδ̄γ. ἐφ' ἧς ἔστω τὸ κέντρον τοῦ ὁμοκέντρου, τὸ ε̄. καὶ πρὸς ὀρθὰς γωνίας τῇ ᾱγ, ἤχθω ἡ ε̄β. καὶ ἐπεζεύχθω ἡ δ̄β. τὸ μὲν οὖν μέγιστον διάφορον ἡ πρὸς τῷ β̄ γωνία. δεῖ δὲ εὑρεῖν τὴν πρὸς τῷ β̄ γωνίαν ὅσων τε ἐστὶν οἵων αἱ δ̄ ὀρθαὶ τ̄ξ, καὶ ὅσας μοιρὰς ἀπέχει τοῦ ἀπογείου. ἔστι γὰρ ἐστὶ τὸ εὑρεῖν πρὸς τίσι σημεῖοις τοῦ ἐκκέντρου, τὸ τοιοῦτον συμβήσεται. ἐπεὶ τοίνυν οἵων ἐστὶν ἡ β̄δ ἐκ τοῦ κέντρου οὖσα ξ̄, τοιούτων ἡ δ̄ε ἡ μεταξὺ





ταξὺ τῶν κέντρων β̄ λ΄, καὶ οἵων ἄρα ἐστὶν ἡ β̄δ ρ̄κ, ἡ δ̄ε τῶν διπλασίων, δηλονότι μοιρῶν ε̄. ἀναλογον γὰρ. περιγραφέντος δὲ περὶ τὸ βε̄δ ὀρθογώνιον κύκλου, ὥστε διάμετρον γενέσθαι τὴν δ̄β, ἡ μὲν ὑπὸ τῆς δ̄ε εὐθείας περιφέρεια δοθεῖσα διὰ τοῦ κανονίου τῶν ἐν κύκλῳ εὐθειῶν, τοιούτων ἔσται δ̄ μϛ΄, οἵων ὁ κύκλος τ̄ξ, ἡ δὲ ὑποτείνουσα αὐτὴν πρὸς τῇ περιφερείᾳ γωνία ἡ πρὸς τῷ β̄, τὸν αὐτὸν ἔχουσα λόγον πρὸς τὰς δύο ὀρθὰς ὃν ἡ δ̄ε πρὸς ὅλον τὸν κύκλον, ἔσται οἵων μὲν αἱ β̄ ὀρθαὶ τ̄ξ, τοιούτων δ̄ μϛ΄, οἵων δ' αἱ δ̄ ὀρθαὶ τῶν ἡμίσεων β̄ κϛ΄. τῶν δ' αὐτῶν ἐστὶ καὶ ἡ μὲν ὑπὸ βε̄δ λ̄. ἡ δὲ ἴση ταῖς δυσὶν ἡ ὑπὸ αδ̄β λ̄β κϛ΄. καὶ ἐπεὶ πρὸς τοῖς κέντροις εἰσὶν, ἡ μὲν ὑπὸ βδ̄α τοῦ ἐκκέντρου, ἡ δὲ ὑπὸ βε̄α τοῦ ζωδιακοῦ, ἕξομεν τὸ μὲν πλεῖστον διαφορον μοιρῶν β̄ κϛ΄. τῶν δὲ περιφερειῶν πρὸς αἷς τοῦτο γίνεται τὴν μὲν τοῦ ἐκκέντρου ὁμαλὴν μοιρὰς λ̄β κϛ΄, τὴν δὲ τοῦ ὁμοκέντρου καὶ ὁμαλὴν, ταῖς τοῦ τεταρτημορίου μοιρὰς λ̄ ἀπεχούσας τοῦ ᾱ ἀπογείου. φανερὸν δὲ ἐκ τῶν προεφοδευμένων ὅτι κατὰ τὸ αὐτικείμενον τμῆμα οὗ πεσεῖται ἐκβληθεῖσα δηλονότι ἡ β̄ε, ἡ μὲν μέση πάροδος καὶ τὸ πλεῖστον διαφορον τῆς ἀνωμαλίας ἔσται, κατὰ τὰς σ̄ο μοιρὰς. ὑπὸ τοῦ ὁμοκέντρου δηλονότι ἀπὸ τοῦ ἀπογείου ὑπὸ τὰ ἑπόμενα ἐκβαλλομένου τοῦ ἀριθμοῦ, ἡ δ' ὁμαλὴ καὶ ὑπὸ τοῦ ἐκκέντρου κατὰ τὰς σ̄ξζ λζ΄. καὶ ἔσται λογισαμένοις φανερὸν. οὕτω μὲν οὖν ὑπὸ τῆς κατ' ἐκκεντρότητα ὑποθέσεως, ὅτε ἀριθμὸς εὕρηται τῆς μεγίστης διαφορᾶς τῆς ὁμαλῆς καὶ τῆς ἀνωμαλου, τουτέστιν ὅσον ἐστὶν ἡ ὑποτείνουσα αὐτὴν πρὸς τοῦ κέντρῳ τοῦ ἐκκέντρου γωνία, οἵων αἱ δ̄ ὀρθαὶ τ̄ξ, καὶ ὁ τῆς μεγίστης παρόδου τόπος, τουτέστι τῶν μεγίστων διαφόρων, καὶ ὅσων ἀπέχει τοῦ ἀπογείου ὑπὸ τὰ ἑπόμενα, ἑκάτερον τῶν κατ' αὐτὰ σημείων, ἐπεὶ δὲ πάντα πρόκειται ὁμοίως συμβαίνοντα δεικνύναι καθ' ἑκατέραν τῶν ὑποθέσεων, οὐ μόνον διὰ τῶν καθόλου ἀποδείξεων, ἀλλὰ καὶ διὰ τῶν ἀριθμῶν, ὡς αὐτὸς ἐπηγγείλατο ἐν τῷ δευτέρῳ κεφαλαίῳ εἰπὼν. ὅτι δὲ τούτων οὕτως ὑποκειμένων τὰ αὐτὰ περὶ ἑκατέραν τῶν ὑποθέσεων φαινόμενα συμβήσετε, διὰ βραχέων ἐφοδεύσομεν, διά τε τῶν λόγων αὐτῶν, καὶ μετὰ ταῦτα διὰ τῶν ἐφοδευμένων ἐν αὐτοῖς ὑπὸ τοῖς τοῦ ἡλίου ἀνωμαλίας ἀριθμῶν. διὰ ταῦτα ἀκριδείξας ἐν τοῖς προτέροις θεωρήμασι, τῶν λόγων τῶν εἰρημένων μεγεθῶν τῶν αὐτῶν ὑποκειμένων, ἴσων εἶναι τὸ μέγιστον διαφορον τὸ ὑπὸ τοῦ ἐκκέντρου τοῦ ὑπὸ τοῦ ἐπικύκλῳ μεγίστῳ διαφόρῳ, νῦν αὐτὸ τοῦτο δείκνυσι καὶ διὰ τῶν ἀριθμῶν, διδομένου πάλιν ὡς εἴρται, τοῦ τοὺς λόγους τῶν εἰρημένων μεγεθῶν τοὺς αὐτοὺς εἶναι καθ' ἑκατέραν τῶν ὑποθέσεων, καὶ φησίν. Ἔστω ὁ μὲν ὁμόκεντρος τοῦ διὰ μέσων τῶν ζωδίων κύκλος ὁ αβ̄γ, περὶ κέντρον τὸ δ̄, καὶ διάμετρον τὴν αδ̄γ. ὁ δὲ ἐπίκυκλος ὁ εζ̄η περὶ κέντρον τὸ ᾱ. καὶ ἤχθω ἀπὸ τοῦ δ̄ ἐφαπτομένου τοῦ ἐπικύκλου ἡ δζ̄β εὐθεῖα. καὶ ἐπεζεύχθω ἡ ᾱζ. γίνεται δὴ ὡσαύτως ἐν ὀρθογονίῳ τοῦ αδ̄ζ, τετρακαιεικοσαπλασίων, ἡ ᾱδ τοῦ ᾱζ. ὥστε καὶ οἵων ἐστὶν ἡ ᾱδ ὑποτείνουσα ρ̄κ, τοιούτων καὶ τὴν μὲν ᾱζ γίνεσθαι ε̄. τὴν δ' ἐπ' αὐτῆς περιφέρειαν, τοιούτων δ̄ μϛ΄, οἵων αἱ δύο ὀρθαὶ τ̄ξ. οἵων δ' αἱ δ̄ ὀρθαὶ τ̄ξ, τοιούτων β̄ κϛ΄. καὶ διατοῦτο ἔσται καὶ ἡ πρὸς τοῦ δ̄ γωνία β̄ κϛ΄, οἵων αἱ δ̄ ὀρθαὶ τ̄ξ. ἤγουν ἡ ᾱβ περιφέρεια τοιούτων ἔσται β̄ κϛ΄, οἵων ὁ κύκλος τ̄ξ. καὶ εὕρηται συμφώνως τῇ κατ' ἐκκεντρότητα ὑποθέσει. ἔτι δὲ ἡ ἀνώμαλος περιφέρεια ἥτις περιέχεται ὑπὸ τοῦ ᾱζδ γωνίας μοιρῶν λ̄, ἡ δὲ ὁμαλὴ, περιεχομένη δὲ ὑπὸ τῆς ὑπὸ εᾱζ γωνίας μοιρῶν λ̄β κϛ΄.



ΠΕΡΙ ΤΗ̂Σ ΕΙ̂Σ ΤᾺ ΚΑΤᾺ ΜΈΡΟΣ ΤΜΉματα τῆς ἀνωμαλίας ἐπισκέψεως.

Τὸ μὲν οὖν μέγιστον διάφορον τοσοῦτον ἐν ἑκατέρᾳ τῶν ὑποθέσεων, δεῖ δὲ ἤδη καὶ τὰ κατὰ μέρος μεθοδεῦσαι διαφορα, ἵνα καὶ τὰς κατὰ μέρος ἀνωμαλους κινήσεις ἑκάστοτε τῶν ὁμαλῶν δυνώμεθα διακρίνειν. τὸ γὰρ τὴν διαφορὰν τοῦ ὁμαλῆς κινήσεως καὶ τῆς ἀνωμαλου λαμβάνειν, τὴν ὁμαλὴν ἐστὶ διακρίνειν τῆς ἀνωμαλου. καὶ δεῖξαι πάλιν ἐφ' ἑκατέρας τῶν ὑποθέσεων, πῶς ἂν μιᾶς τῶν ἐκκειμένων

περιφερειῶν δοθέισης, τουτέστιν ἢ τῆς ὁμαλῆς ἢ τῆς ἀνωμάλου ἢ τῆς διαφορᾶς, λαμβάνοιμεν καὶ τὰς λοιπὰς. τούτου γὰρ δειχθέντος, γίνετε τὸ προκείμενον. καὶ ἡ ἀεὶ ζητουμένη ὁμαλὴ κίνησις λαμβάνεται, καὶ ἡ ἀνώμαλος τοῦ ἡλίου καὶ τὸ διάφορον. καὶ ἐντεῦθεν ἥτε ὁμαλὴ αὐτοῦ ἐποχὴ καὶ ἡ ἀκριβὴς ὡς ἐν τοῖς ἑξῆς εἰσόμεθα. Ἔστω δὴ πρῶτον μὲν ὁμόκεντρος τοῦ ζωδιακῷ κύκλος ὁ αβγ, περὶ κέντρου τὸ δ, καὶ διαμέτρου τὴν αδγ, ὁ δὲ ἔκκεντρος ὁ εζη, περὶ κέντρου τὸ θ, ἡ δὲ δι' ἀμφοτέρων τῶν κέντρων καὶ τοῦ ε ἀπογείου διάμετρος ἡ εαθδη. καὶ ἀποληφθείσης τῆς εζ περιφερείας, ἐπεζεύχθωσαν ἥτε ζδ καὶ ηθ, δεδόσθω δὲ πρῶτον ἡ εζ περιφέρεια μοιρῶν οὖσα λόγου χαρίν λ, καὶ ἐκβληθείσης τῆς ζθκ κάθετος ἐπ' αὐτὴν ἤχθω ἀπὸ τοῦ δ, ἡ δκ. ἐπεὶ τοίνυν ἡ εζ περιφέρεια ὑπόκειτε μοιρῶν λ, καὶ ἡ ὑπὸ εθζ ἄρα γωνία, τουτέστιν ἡ ὑπὸ δθκ, οἵων μὲν εἰσὶν αἱ δ ὀρθαὶ τξ, τοιούτων λ, οἵων δὲ αἱ δύο τξ, τοιούτων ξ. καὶ ἡ μὲν ὑπὸ τῆς δκ ἄρα περιφέρεια, τοιούτων ἐστὶν ξ, οἵων ἐστὶν ὁ περὶ τὸ δθκ ὀρθογώνιον κύκλος τξ, ἡ δὲ ὑπὸ τῆς κθ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρκ. καὶ αἱ ὑπ' αὐτὰς ἄρα εὐθεῖαι ἔσονται, ἡ μὲν δκ, τοιούτων ξ, οἵων ἐστὶν ἡ μὲν δθ ὑποτείνουσα ρκ, ἡ δὲ κθ τῶν αὐτῶν ργνέ. ὥστε



καὶ μεταλαβόντων τὸν λόγον, οἵων ἐστὶν ἡ μὲν δθ εὐθεῖα β λ, ἡ δὲ ζθ ἐκ τοῦ κέντρου ξ, τοιούτων καὶ ἡ μὲν δκ ἔσται α ιέ, ἡ δὲ θκ τῶν β ι, ἡ δὲ κθζ, ὅλη τῶν αὐτῶν ξβι. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν συντεθέντα, ποιεῖ τὰ ἀπὸ τῆς ζδ, ἔσται καὶ ἡ ζδ ὑποτείνουσα, τοιούτων ξβιά ἔγγιστα. καὶ οἵων ἄρα ἐστὶν ἡ ζδ ρκ, τοιούτων ἔσται καὶ ἡ μὲν δκ εὐθεῖα β κέ, ἡ δ' ἐπ' αὐτῆς περιφέρεια, τοιούτων β ιή, οἵων ἐστὶν ὁ περὶ τὸ ζδκ ὀρθογώνιον κύκλος τξ. ὥστε καὶ ἡ ὑπὸ δζκ γωνία, οἵων μὲν εἰσὶν αἱ δύο ὀρθαὶ τξ, τοιούτων ἐστὶ β ιή, οἵων δ' αἱ δ ὀρθαὶ τξ, τοιούτων α θ. τοσούτων ἄρα ἐστὶ τὸ παρὰ τὴν ἀνωμαλίαν τότε διάφορον. τῶν δ' αὐτῶν ἦν καὶ ἡ ὑπὸ εθζ γωνία λ. καὶ λοιπὴ ἄρα ἡ ὑπὸ αδβ γωνία, τουτέστιν ἡ αβ τοῦ ζωδιακοῦ περιφέρεια μοιρῶν ἐστὶν κη νά. ἐπεὶ γὰρ ἡ ὑπὸ ζθε γωνία ἴση ἐστὶ τῇ ὑπὸ δζθ ζδθ, καὶ δέδοτε ἡ ὑπὸ ζθε, δοθήσονται ἄρα καὶ αὐταὶ συναμφότεραι, ὧν ἡ πρὸς τοῦ ζ δέδοται. λοιπὴ ἄρα ἡ ὑπὸ αδβ δοθήσεται. ἐὰν γὰρ ἀποδεδομένου δεδομένου ἀφαιρεθῇ, τὸ λοιπὸν ἔσται δεδομένον. Ὅτι δὲ κἂν ἄλλη τις τῶν γωνιῶν ὑποτεθεῖ δεδομένη, ἢ ἀκριβὴς, ἢ τὸ διάφορον, καὶ αἱ λοιπαὶ δοθήσοντε φανερὸν αὐτόθεν ἔσται, καθέτου ἀχθείσης ὑπὸ τῆς αὐτῆς καταγραφῆς ἀπὸ τοῦ θ, ὑπὸ τὴν ζδ τῆς θλ. ἐάν τε γὰρ τὴν αβ τοῦ ζωδιακοῦ περιφέρειαν ὑποθώμεθα δεδομένην, τουτέστι τὴν ὑπὸ θδλ γωνίαν. διατοῦτο ἔσται καὶ ὁ τῆς δθ πρὸς θλ λόγος δεδομένος. δοθέισης γὰρ τῆς ὑπὸ λδθ γωνίας, οἵων αἱ τέσσαρες ὀρθαὶ τξ, καὶ οἵων αἱ β, γραφέντος περὶ τὸ δλθ ὀρθογώνιον κύκλου, δοθήσεται μὲν ἡ ὑπὸ τῆς λθ περιφέρεια, οἵων ἐστὶν ὁ κύκλος τξ. καὶ ταύτης δοθέισης καὶ ἡ ὑπ' αὐτὴν εὐθεῖα ἡ λθ δοθήσεται ἀπὸ τοῦ κανονίου τῶν ἐν κύκλῳ εὐθειῶν, ὅσων ἐστὶν, οἵων ἡ θδ ρη, καὶ οἵων ἡ θδ β λ. τοῦτο δὲ ἐστὶ τὸ δοθῆναι τὸν τῆς λθ πρὸς θδ λόγον. ἐπεὶ δὲ καὶ ὁ τῆς δθ πρὸς θζ δέδοται (ἔστι γὰρ ἡ δθ β λ, οἵων ἡ θζ ξ) δοθήσεται ἄρα καὶ ὁ τῆς λθ πρὸς θζ λόγος. καὶ δοθήσεται ἡ θλ οἵων ἡ ζθ ρκ. καὶ κύκλου ὁμοίως περὶ τὸ ζλθ ὀρθογώνιον περιγραφέντος, δοθήσετε ἡ μὲν ὑπὸ τῆς θλ περιφερείας οἵων ὁ κύκλος τξ. δοθήσεται δὲ καὶ ἡ πρὸς τοῦ ζ γωνία, οἵων αἱ δύο ὀρθαὶ τξ. καὶ διατοῦτο πόσων ἐστὶν οἵων αἱ τέσσαρες τξ. ἐπεὶ δὲ δέδοται καὶ ἡ ὑπὸ ζδθ, καὶ ἡ ἴση αὐτῆς ἡ ὑπὸ ζθε δοθήσεται, ἤγουν ἡ εζ τοῦ ἐκκέντρου περιφέρεια. δοθέισης ἄρα τῆς αβ, ἥτε εζ δέδοται, καὶ τὸ διάφορον. Ἐάν τε τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον δοθῇ μόνον ἡ πρὸς τοῦ ζ γωνία περὶ τὸ ζλθ ὀρθογώνιον κύκλου γραφέντος, δοθήσεται μὲν ὁ λόγος τῆς ὑπὸ τῆς θλ εὐθείας περιφερείας ὃν ἔχει πρὸς ὅλον τὸν κύκλον, τουτέστιν ὅσων ἐστὶν, οἵων ὁ κύκλος τξ, δοθήσεται ἡ θλ εὐθεῖα. δεδομένης δὲ ταύτης, δοθήσεται καὶ ὃν ἔχει λόγον πρὸς τὴν ζθ. καὶ δοθήσεται ὅσων ἐστὶν οἵων ἡ θδ ρκ. καὶ διατοῦτο ἡ ἐπ' αὐτῆς περιφέρεια, οἵων ὁ περὶ τὸ θλδ κύκλος τξ, καὶ ταύτης δοθέισης, ἔσται δεδομένος ὁ τῆς ὑπὸ λδθ γωνίας λόγος, ὃν ἔχει πρὸς τὰς δύο ὀρθάς. καὶ διατοῦτο ὃν ἔχει πρὸς τὰς δ. καὶ δοθήσεται ὅσων ἐστὶν, οἵων ὁ περὶ τὸ δλθ ὀρθωγώνιον κύκλος τξ. καὶ διατοῦτο δοθήσεται μὲν ἡ ὑπὸ λδθ γωνία ὅσων ἐστὶν

ὄσην οἵων αἱ λύο ὀρθαὶ τ ξ. λοιπὴ σε ται δὲ οἵων αἱ δ ὀρθαὶ τ ξ. καὶ διατοῦτο λοιπὴ σε ται καὶ ἡ αβ περιφέρεια ὅσων ὄσην οἵων ὁ αβγ κύκλος τ ξ. ἐπεὶ δὲ πάλιν διέλοιτο ἡ ὑπὸ ζδε, διέλοιτο δὲ ἡ πρὸς ζδ ζ, καὶ ἡ ἴση μὲν αὐταῖς γωνία ἡ ὑπὸ ζθε λοιπὴ σε ται. λοιπὴ σε ται δὲ καὶ ἡ εζ τοῦ ἐκκέντρου περιφέρεια ἡ ὁμαλὴ λήλονότι. οὕτω μὲν οὖν ὧν τοῦ ἐκκέντρου ἐλείχθη μιᾶς τῶν περιφερειῶν τῶν ἐρημένων λοιπὴν, δύνασθαι καὶ τὰς λοιπάς. διειχθήσεται δὴ τὰ αὐτὰ συμβαίνοντα καὶ ὡδὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως, τῶν λόγων τῶν ἐρημένων μεγεθῶν ὁμοίων ὑποκειμένων. Πάλιν ἔσω ὁ μὲν ὁμόκεντρος τοῦ κόσμου κύκλος ὁ αβγ, περὶ κέντρον τὸ δ, ἐπὶ διαμέτρου τῆ αδγ, ὁ δὲ κατὰ τὸν αὐτὸν λόγον ἐπίκυκλος οὗ λήλονοτι ἡ εκ τοῦ κέντρου πρὸς τὴν εκ τοῦ κέντρου τοῦ ὁμοκέντρου τὸν αὐτὸν ἔχει λόγον ὃν ἡ εκ τοῦ κέντρου τοῦ ἐκκέντρου πρὸς τὴν μεταξὺ τῶν κέντρων ὁ εζηθ, περὶ κέντρον τὸ α. καὶ ἀπολαφθείσης τῆς εζ περιφερείας, ἐπεζεύχθωσαν ἥτε δβζ καὶ ἡ ζα. ὑποκείσθω δὲ πάλιν ἡ εζ περιφέρεια τῶν αὐτῶν μοιρῶν λ. καὶ ἤχθω ἀπὸ τοῦ ζ κάθετος ὡς τὴν ατ ἡ ζγ. καὶ ἐπεὶ ἡ εζ περιφέρεια μοιρῶν ὄσων λ, εἰκὼν ὧν ἡ μὲν ὑπὸ εαζ γωνία, οἵων μὲν εἰσὶν αἱ δ ὀρθαὶ τ ξ, τοιούτων λ, οἵων δ' αἱ β ζ. ὥστε καὶ ἡ μὲν ὡς τῆς ζκ ὀυθείας περιφέρεια, τοιούτων ὄσην ξ, οἵων ὁ περὶ τὸ κ ζ ὀρθογώνιον κύκλος τ ξ, ἡ δὲ ὡδὶ τῆς κα, τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον ρκ. καὶ αἱ ὑπὸ αὐτὰς ἄρα ὀυθεῖαι ἔσονται ἡ μὲν ζκ, τοιούτων ξ, οἵων ἡ ζα ρκ. ἡ δὲ κα τῶν αὐτῶν ξγ νέ. ὥστε καὶ οἵων ὄσην ἡ μὲν αζ ὑποτείνουσα β λ, ἡ δὲ αδ ἐκ τοῦ κέντρου ξ, τοιούτων ἔσαι καὶ ἡ μὲν ζκ ὀυθεῖα, α ιε, ἡ δὲ κα τῶν αὐτῶν β ί, ἡ δὲ καδ ὅλη ξβ ί. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν σωτεθήντα, ἤγουν τὸ ἀπὸ τῆς καδ, καὶ τὸ ἀπὸ τῆς κζ ποιεῖ τὸ ἀπὸ τῆς ζδ, διέλοιτο ἄρα τὸ ἀπὸ τῆς ζδ. καὶ ἡ ζδ ἄρα μήκει λοιπὴ σε ται, τοιούτων ξβ ιά. οἵων ἡ ζκ ἐστὶ α ιε. καὶ οἵων ἄρα ὄσην ἡ δζ ὑποτείνουσα ρκ, τοιούτων ἔσαι καὶ ἡ μὲν ζκ ὀυθεῖα β κε. ἡ δὲ ἐπ' αὐτῆς περιφέρεια, τοιούτων β ίη, οἵων ὁ περὶ τὸ κδζ ὀρθογώνιον κύκλος τ ξ. ὥστε καὶ ἡ ὑπὸ ζδκ γωνία, οἵων μὲν εἰσὶν αἱ δύο ὀρθαὶ τ ξ, τοιούτων β ίη, οἵων δὲ αἱ δ, τοιούτων α θ. τοσοῦτον ἄρα ὄσην παρὰ τὴν ἀνωμαλίαν διάφορον τῆς αβ περιφερείας. τῶν δ' αὐτῶν ἐστὶν καὶ ἡ ὑπὸ εαζ γωνία λ, λοιπὴ ἄρα ἡ ὑπὸ αζδ, τουτέστιν ἡ φαινομένη τοῦ ζωδιακοῦ περιφέρεια, μοιρῶν ὄσην κη νά, σύμφωνος ταῖς ὡς τῆς ἐκκεντρότητος ἀποδεδειγμέναις πολικότησιν. ὁμοίως δὲ καὶ φθάσει ἐπὶ ἄλλην γωνίαν λοιπὴν, λοιπήσουσι καὶ αἱ λοιπαὶ, ἐαθέτε πολικότησιν. ὁμοίως δὲ καὶ φθάσει ἐπὶ ἄλλην γωνίαν λοιπὴν, λοιπήσουσι καὶ αἱ λοιπαὶ, ἐαθέτε πολικότησιν. ὁμοίως δὲ καὶ φθάσει ἐπὶ ἄλλην γωνίαν λοιπὴν, λοιπήσουσι καὶ αἱ λοιπαὶ, ἐαθέτε



πολικότησιν. ὁμοίως δὲ καὶ φθάσει ἐπὶ ἄλλην γωνίαν λοιπὴν, λοιπήσουσι καὶ αἱ λοιπαὶ, ἐαθέτε

ται δὲ ὁ τῆς ᾱδ πρὸς ᾱζ, δοθήσεται μὲν ὁ τῆς ᾱλ πρὸς ᾱζ. δοθήσεται δὲ καὶ ὁ λόγος τῆς ὑπὸ τῆς ᾱλ περιφερείας, ὃν ἔχει πρὸς τὸν περὶ τὸ ὀρθογώνιον κύκλον. δέδοται ἄρα καὶ ὁ λόγος τῆς πρὸς τῷ ζ γωνίας ὃν ἔχει πρὸς τὰς δύο ὀρθὰς, καὶ ὃν ἔχει πρὸς τὰς δ ὀρθὰς. δέδοτο ἄρα ὁ μέρος ὀξὺν ἡ πρὸς τῷ ζ γωνία τῶν τετάρτων ὀρθῶν, ἤγουν πόσων ὀξὺν, οἵων αἱ τέσσαρες ὀρθαὶ τξ. ταύτης δοθείσης, ἐπεὶ καὶ ἡ πρὸς τῷ δ δέδοται ὁ μέρος ὀξὺ τῶν τετάρτων ὀρθῶν, καὶ ἡ ὑπὸ ζαε γωνία δοθήσετο ὅσων ὀξὺν, οἵων αἱ τέσσαρες ὀρθαὶ τξ, ἴση οὖσα ταῖς πρὸς τῷ ζ καὶ δ γωνίαις δοθείσαις. δέδεικτο ἄρα καὶ ὠδὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως μιᾶς τῶν εἰρημένων περιφερειῶν δοθείσης, δεδομένας εἶναι καὶ τὰς λοιπὰς. Πάλιν ὑπὸ τῆς προκειμένης τοῦ ἐκκέντρου κύκλου καταγραφῆς ἀπειλήφθω ἀπὸ τοῦ η περιγείου τοῦ ἐκκέντρου ἡ ηζ περιφέρεια ὑποκειμένη τῶν αὐτῶν μοιρῶν λ. καὶ ἐπεζεύχθωσαν ἥτε δζβ καὶ ἡ ζθ. καὶ καθέτος ἤχθω ἀπὸ τοῦ δ ὑπὸ τὴν ζθ, ἡ δκ. καὶ ἐπεὶ ἡ ζη περιφέρεια μοιρῶν ὀξὺ λ, εἴη ἂν καὶ ἡ ὑπὸ ζθη, οἵων μὲν εἰσὶν αἱ τέσσαρες ὀρθαὶ τξ, τοιούτων λ, οἵων δε αἱ β ὀρθαὶ τοιούτων ξ. ὥστε καὶ ἡ μὲν ὑπὸ τῆς δκ εὐθείας περιφέρεια, τοιούτων ὀξὺν ξ, οἵων ὁ περὶ τὸ θδκ ὀρθογώνιον κύκλος τξ. ἡ δὲ ὠδὶ τῆς κθ τῶν λοιπῶν εἰς τὸ ἡμικύκλιον τμημάτων ρκ. καὶ αἱ ὑποτείνουσαι ἄρα αὐτὰς εὐθεῖαι, ἔσονται ἡ μὲν δκ τοιούτων ξ, οἵων ὀξὺν ἡ δθ διαμέτρου ρκ. ἡ δὲ κθ, τῶν αὐτῶν ργ νε. καὶ οἵων ἄρα ὀξὺν, ἡ μὲν δθ ὑποτείνουσα β λ, ἡ δὲ θζ ἐκ τοῦ κέντρου ξ, τοιούτων ὀξὺ καὶ ἡ μὲν δκ εὐθεῖα α ιε. ἡ δὲ θκ ὁμοίως β ι. ἡ δὲ κζ τῶν λοιπῶν νζ ν. καὶ ἐπεὶ τὰ ἀπ' αὐτῶν τετράγωνα, συντεθέντα ποιεῖ τὸ ἀπὸ τῆς δζ, ἔσται καὶ αὐτὴ μήκει, τοιούτων νζ νά ἔγγιστα, οἵων ὀξὺν ἡ δκ α ιε. καὶ οἵων ἄρα ὀξὺν ἡ δζ ὑποτείνουσα ρκ, τοιούτων καὶ ἡ μὲν δκ ἔσται β λδ λς, ἡ δὲ ἐπ' αὐτὴν περιφέρεια, τοιούτων β κζ, οἵων ὁ περὶ τὸ δζκ ὀρθογώνιον κύκλος τξ. ὥστε καὶ ἡ ὑπὸ δζκ γωνία, οἵων μὲν εἰσὶν αἱ β ὀρθαὶ τξ, τοιούτων ὀξὺ β κζ, οἵων δὲ αἱ δ, τοιούτων α ιδ ἔγγιστα. τοιούτων ἄρα ὀξὺ τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον. καὶ ἐπεὶ τῶν αὐτῶν ὑπόκειται καὶ ἡ ὑπὸ ζθη γωνία λ, ἔσται καὶ ἡ ὑπὸ βδγ, ὅλη, τουτέστιν ἡ γβ τοῦ ζωδιακοῦ περιφέρεια, μοιρῶν λα ιδ. κατὰ τὰ αὐτὰ δὴ καὶ ἐνθάδε ἐκβληθείσης τῆς βδ, καὶ καθέτου ἐπ' αὐτὴν ἀχθείσης τῆς θλ, ἐάν τε τὴν γβ τοῦ ζωδιακοῦ περιφέρειαν δῶμεν, τουτέστιν τὴν ὑπὸ θδλ γωνίαν, δοθήσετο μὲν διατοῦτο καὶ ὁ τῆς δθ πρὸς θλ λόγος. δεδομένου δὲ ἐξαρχῆς καὶ τοῦ τῆς θδ πρὸς θζ, δοθήσεται καὶ ὁ τῆς ζθ πρὸς θλ. τὰ γὰρ πρὸς τὸ αὐτὸ λόγον ἔχοντα δεδομένον, καὶ πρὸς ἄλληλα λόγον ἕξει δεδομένον. καὶ ὅπως τῆς ὑπὸ λδθ γωνίας δοθείσης, ὁ τῆς δθ πρὸς θλ λόγος δοθήσεται, φανερὸν ἐγένετο ἐκ τῶν προειρημένων. οὕτω δὲ τοῦ τῆς ζθ πρὸς θλ λόγου δοθέντος, ἕξομεν δεδομένας, τήν τε ὑπὸ θζδ γωνίαν, τουτέστι τὸ περὶ τὴν ἀνωμαλίαν διάφορον (διὰ τὸ ὡς πολλάκις εἴρητο περιγραφέντος περὶ τὸ λζθ ὀρθογώνιον κύκλου, δεδόσθαι μὲν τὴν ὑπὸ τῆς λθ περιφέρειαν ὁ μέρος ὀξὺ τοῦ κύκλου) καὶ τὴν πρὸς τῷ ζ γωνίαν, ὁ μέρος ὀξὺ τῶν δύο ὀρθῶν. καὶ διατοῦτο ὁ μέρος ὀξὺ τῶν τετάρτων. δεδομένης δὲ ταύτης τε τῆς πρὸς τῷ ζ γωνίας καὶ τῆς ὑπὸ βδγ, δοθήσετο ἡ ὑπὸ βθγ, ἤγουν ἡ γβ τοῦ ζωδιακοῦ περιφέρεια ὅσων ὀξὺν οἵων ὁ διὰ μέσων τξ. ἐάν τε τὸ παρὰ τὴν ἀνωμαλίαν διάφορον δοθῇ μόνον ἡ πρὸς τῷ ζ γωνία καὶ τὰ ἑξῆς. ἡ μὲν οὖν μέθοδος, δι' ἧς ἐνέστι μιᾶς τῶν εἰρημένων περιφερειῶν δοθείσης εἰλῆφθαι καὶ τὰς λοιπὰς, φανερὰ γέγονεν ἤδη διὰ τῶν ἀποδειχθέντων θεωρημάτων. καὶ γέγονε τὸ προτεθὲν ἐν τῷ τρίτῳ κεφαλαίῳ, εἰλημμένης δηλονότι τῆς ἀεὶ ζητουμένης διαφορᾶς τῶν κτ μέρος τοῦ ἡλίου κινήσεων τῶν ὁμαλῶν καὶ τῶν φαινομένων, ἤγουν τοῦ λόγου δοθέντος ὃν ἔχει ἡ περιέχουσα τὴν διαφορὰν περιφέρεια, πρὸς τὸν ζωδιακόν, ὡς διδομένης ἧς τινοσοῦν κινήσεως, ἢ τῆς ὁμαλῆς, ἢ τῆς φαινομένης, δεδόσθαι καὶ τὴν διαφο-





διαφορὰν καὶ τὴν ἑτέραν τῶν κινήσεων. ἵνα δὲ μὴ πρὸς τὴν εὕρεσιν τῶν διαφόρων κατα-
γραφαῖς ἀεὶ χρώμεθα καὶ ἐπιλογισμοῖς, ἀλλ' ἐξευχεροῦς εἴη λαμβάνειν, καὶ κανόνιον ἐξέθη-
κε, τάς τε κατὰ μέρος ὁμαλὰς κινήσεις περιέχον, καὶ τὰς παρὰ τὴν ἀνωμαλίαν διαφορὰς.
ποικίλλης δὴ διὰ τούτων τῶν θεωρημάτων. τὰ μὲν οὖν θεωρήματα πολλὰς καὶ διαφό-
ρους παρέχουσι συστήσασθαι κανονοποιΐας. εἰ μὲν γὰρ τοῖς πρώτοις ἀκολουθήσομεν θεωρή-
μασι, τὸ ἀπὸ τούτων γινόμενον ἡμῖν κανόνιον ἔσται, προκειμένους μὲν ἔχον τοὺς τῆς ἀνωμαλί-
ας ἀριθμοὺς, παρακειμένους δὲ τοὺς τῶν διαφορῶν. ἐν ἐκείνοις γὰρ διδομένης ἧς τινοσοῦν
ὁμαλῆς περιφερείας τὸ διάφορον ἐλαμβάνεται καὶ ἡ ἀκριβὴς. εἰ δὲ τοῖς δευτέροις, προκείσεται
μὲν ὁ τῆς ἀκριβοῦς κινήσεως ἀριθμὸς. περιεχόμενος δὲ ἔσται ὁ τῶν διαφόρων, ἐν αὐτοῖς γὰρ ἡ
μὲν ἀκριβὴς ἐδίδοτο. ἐζητεῖτο δὴ τὸ διάφορον καὶ ἡ ὁμαλὴ. εἰ δὲ τοῖς τρίτοις προκείμενα μὲν
ἔσται τὰ διάφορα, περιεχόμενοι δὲ οἱ τῆς ὁμαλῆς κινήσεως ἀριθμοί. οὕτω τοίνυν πολλαχῶς
δυναμένου συσταθῆναι τοῦ κανονίου, βέλτιστον εἶναι δοκεῖ, προκεῖσθαι μὲν τὸν ἀριθμὸν τῶν
μοιρῶν τῶν κατὰ μέρος ὁμαλῶν τοῦ ἡλίου κινήσεων, παρακεῖσθαι δὲ τὰς διαφορὰς, ὅτι τε
ἀκολουθόν ἐστι ταῖς ἐξαρχῆς ὑποθέσεσιν. ἔστι γὰρ ἡ ὁμαλὴ ἡμῖν δεδομένη διὰ τῶν κανονί-
ων τῆς ὁμαλῆς τοῦ ἡλίου κινήσεως. καὶ διατοῦτο δεῖ ἀκολούθως καὶ ἐν τῷ κανονίῳ προκεῖ-
σθαι. καὶ ἔτι ψηφοφορήσομεν εὐχερέστερον, τὴν γὰρ κίνησιν τὴν ὁμαλὴν τοῦ ἡλίου καὶ τὸν
κατ' αὐτὴν ἀριθμὸν δεδομένον ἔχοντες ἐν τῷ ἀεὶ ζητουμένῳ χρόνῳ, ληψόμεθα τὰ περὶ τὴν
ἀνωμαλίαν διάφορα εἰσαγαγόντες εἰς τὸ κανόνιον τῆς ἀνωμαλίας τὸν ληφθέντα ἀριθμὸν,
καὶ ἕξομεν εὐθὺς τῆς ἀκριβῆ κίνησιν τοῦ ἡλίου. προκειμένων δὴ τῶν τῆς ἀκριβείας ἀκριθμῶν ἀριθμῶν
ψηφοφορεῖν μὲν κατὰ τὴν θέσιν καὶ τάξιν τῶν κανονίων τῆς ὁμαλῆς τοῦ ἡλίου κίνησιν,
ἀδύνατον, τουτέστιν ἐὰν ὁ χρόνος δοθῇ καὶ δέῃ λαβεῖν τὴν ἀκριβῆ κίνησιν τοῦ ἡλίου. κατὰ
δὲ τὸ ἀναπαλιν, ἔσται δυνατὸν, τουτέστι δεδομένης τῆς ἀκριβοῦς κινήσεως λαβεῖν τήν τε
ὁμαλὴν καὶ τὸν χρόνον. εἰσάγοντες γὰρ τὸν ἀριθμὸν τῆς ἀκριβοῦς τοῦ ἡλίου κινήσεως τὸν
δοθέντα, εἰς τὸ τοιοῦτον κανόνιον, τὰς περιεχομένας μὲν ληψόμεθα παρὰ τὴν ὁμαλὴν δια-
φορὰς, εἶτα προτιθέντες ἢ ἀφαιροῦντες τῆς ἀκριβοῦς, ἕξομεν τὴν ὁμαλὴν. τὸν δὴ τῆς ὁμαλῆς
ἀριθμὸν εἰσαγαγόντες εἰς τὸ κανόνιον τῆς ὁμαλῆς τοῦ ἡλίου κινήσεως, ἕξομεν τὸν χρόνον. δια
τοῦτο κατὰ τὴν τάξιν τῶν κανονίων τῆς ὁμαλῆς τοῦ ἡλίου ψηφοφοροῦσιν, εὐχερέστερον γε-
νήσεται ψηφοφορεῖν κανονίῳ χρομένοις ἀκολούθως τοῖς πρώτοις τῶν θεωρημάτων, τουτέ
στιν ἃ δεδομένην μὴ εἶχον τῆς ὁμαλὴν περιφέρειαν, ζητούμενα δὲ τότε διάφορον, καὶ τῆς ἀκρι-
βῆ. καὶ ἔσται ἡμῖν τὸ τῆς τοῦ ἡλίου ἀνωμαλίας κανόνιον, προκειμένους μὴ ἔχον τοὺς τῆς ὁμαλῆς κινήσε-
ως ἀριθμοὺς, περιεχομένους δὴ τοὺς τῶν διαφορῶν, τούτων τε καὶ τῶν τῆς ἀκριβοῦς κινήσεως. διατοῦτο ἀκο
λουθήσαντες φησὶ τοῖς πρώτοις τῶν θεωρημάτων, ἐπελογισάμεθα διὰ τῶν γραμμῶν, ὡσαύτως
τοῖς ἀποδεδειγμένοις τὰς ἑκάστη τῶν ὁμαλῶν περιφερειῶν, ἐπιβαλλούσας τῆς ἀνωμαλίας διαφο
ρὰς. καθόλου δὴ τὰ μὴ πρὸς τοῖς ἀπογείοις τεταρτημόρια, καὶ ὑπὲρ τοῦ ἡλίου καὶ ὑπὲρ τῶν ἄλλων ἀστέρων,
διεῖλομεν εἰς τμήματα ιε, ὡς γίνεσθαι τῆς παράθεσιν αὐτῶν διὰ μοιρῶν ϛ. τὰ δὴ πρὸς τοῖς περιγέ
οις διὰ μοιρὰς γ, ὡς εἶναι τμήματα λ. ἐπειδήπερ μείζονες εἰσὶν αἱ πρὸς τοῖς περιγείοις διαφο-
ραὶ τῆς ὑπεροχῆς τῶν παρὰ τῆς ἀνωμαλίαν διαφόρων τῶν πρὸς τοῖς ἀπογείοις γινομένων. ἐὰν ἀπὸ
τοῦ ἀπογείου καὶ περιγείου ὑπὲρ τοῦ ἐκκέντρου, ἴσαι περιφέρειαι ἀπολημφθῶσιν, τῶν γινομένων κατ'
αὐτὰς διαφορῶν, μεῖζον ἔσται τῷ πρὸς τῷ περιγείῳ. καὶ δέδεικτο ἐν τοῖς προειρημένοις ἐν τῷ
δευτέρῳ κεφαλαίῳ. τάξομεν οὖν καὶ τὸ κανόνιον τῆς τοῦ ἡλίου ἀνωμαλίας, ὑπὲρ στίχους μὴ πάλιν
με, σελίδια δὲ γ. ὧν τὰ μὴ πρῶτα β, περιέχει τοὺς ἀριθμοὺς τῆς ὁμαλῆς κινήσεως τξ μοιρῶν. τὸ
μὴ πρῶτον τῆς ἀπὸ τοῦ ἀπογείου ὑπὲρ τὸ περίγειον εἰς τὰ ἑπόμενα, τὸ δὲ δεύτερον τὰς λειπούσας
τῶν τοῦ πρώτου σελιδίου ἀριθμῶν εἰς τὸν κύκλον. ὥστε τὰ δύο σελίδια τοὺς ἀριθμοὺς τῶν
δύο περιέχειν ἡμικυκλίων, ἑκάτερα ἑκατέρου, τῶν μὲν πρῶτον ιε στίχων περιεχόντων τὰ
τῷ ἀπογείῳ δύο τεταρτημόρια, τῶν δὲ λοιπῶν λ, τὰ πρὸς τῷ περιγείῳ. τὸ δὴ τρίτον τὰς
πρὸς ἑκάστω τῶν ὁμαλῶν ἀριθμῶν ἐπιβαλλούσας μοιρὰς τῆς προσθαφαιρέσεως τοῦ περὶ τὴν
ἀνωμαλίαν διαφόρου. προσθαφαιρέσεις δὲ τοὺς ἀριθμοὺς καλεῖ τῶν διαφορῶν, ὅτι ποτὲ
μὲν προστίθενται τῷ τῆς ὁμαλῆς ἀριθμῷ καὶ ἀποτελοῦσι τὸν τῆς φαινομένης, ποτὲ δὲ ἀπ'
αὐτῆς ἀφαιροῦνται. ἐπεὶ ποτὲ μὲν μείζων ἐστὶν ἡ ὁμαλὴ τῆς φαινομένης, ποτὲ δὲ ἐλάτ-
των, ὅπερ ὅπως συμβαίνει, προϊόντες εἰσόμεθα, ἐν τῇ περὶ τῆς σελήνιακῆς ἐποχῆς μεθό-
δῳ. τὸ μὲν οὖν κανόνιον τοιοῦτον. παραγκεῖνται δὲ τὰ αὐτὰ διάφορα ἀμφοτέροις τοῖς
πρὸς τῷ ἀπογείῳ τεταρτημορίοις, καὶ τοῖς πρὸς τῷ περιγείῳ, ἐπεὶ ἐὰν παρ' ἑκάτερα

τοῦ ἀπογείου ἢ περιγείου ἴσαι περιφέρειαι ἀπολαμβάνωσιν ὁμαλαὶ, ἴσαι γινήσονται αἱ διαφοραί. καὶ ἔστιν αὐτόθεν φανερόν. Καταγεγράφθω γὰρ ἐκκέντρου κύκλου τοῦ αβγ ὡς περὶ κέντρον τὸ ε, καὶ διάμετρον τὴν αεγ. καὶ ληφθέντος ἐπ' αὐτῆς τοῦ κέντρου τοῦ ὁμοκέντρου τοῦ δ, ὥστε ἀπόγειον μὲν εἶναι τὸ α, περίγειον δὲ τὸ γ, ἀπειλήφθωσαν παρ' ἑκάτερα τοῦ α, αἱ αβ αγ, ἀπὸ δὲ τοῦ γ, αἱ γθ γλ. καὶ ἐπεζεύχθωσαν αἱ εβ εγ βδ δγ, καὶ αἱ εθ ελ δλ δθ. λοιπὸν δὴ τὴν μὲν πρὸς τῷ β ἴσην τῇ πρὸς τῷ γ, τὴν δὲ πρὸς τῷ θ ἴσην τῇ πρὸς τῷ λ. ἐπεὶ γὰρ ἴσην ὑπόκειται τὴν ὑπὸ βεα τῇ ὑπὸ αεγ γωνίᾳ, διὰ τὸ τὴν αβ ἴσην εἶναι τῇ αγ, ἡ δὲ ἐφεξῆς ἄρα ἡ ὑπὸ βεδ πεδ, ἴσαι ἀλλήλαις εἰσὶ. δύο δὴ αἱ βε εδ δυσὶ ταῖς γε εδ ἴσαι εἰσὶ, καὶ αἱ ὑπ' αὐτῶν περιεχόμεναι γωνίαι, ἴσαι. βάσις μὲν ἄρα ἡ βδ βάσει τῇ γδ ἴση ἐστίν. ἡ δὲ πρὸς τῷ γ, ἴσῃ τῇ πρὸς τῷ β. πάλιν ἐπεὶ ἴση ἐστὶν ἡ θε τῇ ελ, καὶ κοινὴ ἡ εδ, καὶ αἱ περιεχόμεναι γωνίαι ἴσαι. ἴση γὰρ ἡ θγ τῇ γλ, βάσις μὲν ἡ δθ, βάσει τῇ δλ ἴση ἐστίν. ἡ δὲ πρὸς τῷ θ γωνία ἴση τῇ πρὸς τῷ λ, ὅπερ ἔδει δεῖξαι. ἔτι δὲ διὰ κεῖνο ἀκόλουθόν ἐστιν εἰπεῖν, ὅθεν τῷ μανονίῳ συμβαίνει, καὶ δεῖξαι διότι ὁ ἀπὸ τοῦ ἀπογείου ἐπὶ τὰ ἑξῆς ἐν ἑκάστῃ μοίρᾳ τῶν διαφορῶν ἀριθμὸς πρὸς τὸν ἑξῆς ἐλάττονα λόγον ἔχει, ἤπερ οὗτος πρὸς τὸν μετ' αὐτὸν, καὶ οὗτος πρὸς τὸν ἐφεξῆς ἐλάττονα ἤπερ ἐκεῖνος πρὸς τὸν ἑξῆς. καὶ ἀεὶ οὕτω μέχρι τοῦ μεγίστου διαφόρου. ὥστε ἐλάχιστον μὲν λόγον ἔσχεν ὁ πρὸς τῷ ἀπογείῳ ἀριθμὸς ἔχει πρὸς τὸν ἑξῆς. μέγιστον δὲ ὁ πρὸς τὸ μέγιστον διαφόρου ἔχει, ὃς ὅσην δύνεται πρὸς αὐτὸν, ὁ καὶ ὢν τῶν πρὸς τῷ περιγείῳ ἀριθμῶν τῆς διαφορᾶς ὁμοίως συμβαίνει, ἐλαχίστου γινομένου τοῦ πρὸς τῷ περιγείῳ λόγου τῶν διαφόρων, καὶ μεγίστου, πρὸς τῇ μέσῃ παρόδῳ, ὅπερ ἔσται λογισαμένοις φανερόν. ὁ μὲν γὰρ ὁ ιδ πρὸς τὸν δ κη, ὑπερδιπλάσιον ἔχει λόγον. ὁ δὲ ὁ κη πρὸς τὸν ὁ μβ, ὑφημιόλιον, ὃς μείζων ἐστὶ τοῦ ὑπερδιπλασίου. πάλιν ὁ ὁ μβ, πρὸς τὸν ὁ νς, μείζονα λόγον ἔχει, ἢ ὑφημιόλιον. ἔστι γὰρ ὁ μβ τοῦ ὁ νς ὑπερτέταρτος. καὶ ἀεὶ οὕτως ἔσαι μέχρι τῆς μέσης παρόδου. ὁμοίως ἐπί τε τοῦ πρὸς τῷ ἀπογείῳ τεταρτημορίου καὶ τοῦ πρὸς τῷ περιγείῳ. Καταγεγράφθω δὴ πρῶτον ἐκκέντρου κύκλος ὁ αβγ, περὶ κέντρον τὸ ε, καὶ διάμετρον τὴν αεγ, ἐφ' ἧς ληφθέντος τοῦ κέντρου τοῦ ζωδιακοῦ τοῦ δ, ὡς ἀπόγειον μὲν εἶναι τὸ α, περίγειον δὲ τὸ γ, ἀπειλήφθωσαν ἀπὸ τοῦ α ἀπογείου ἴσαι περιφέρειαι, αἱ αβ βζ ζθ θκ κο. καὶ ἐπεζεύχθωσαν αἱ εβ δβ εζ δζ εθ δθ εκ δκ εο δο. καὶ ὑποκείσθω δὲ ὁ θ πόλος τῆς μέσης παρόδου. λέγω ὅτι ἡ πρὸς τῷ β γωνία πρὸς τὴν πρὸς τῷ ζ ἐλάττονα λόγον ἔχει, ἤπερ ἡ πρὸς τῷ ζ, πρὸς τὴν πρὸς τῷ θ, καὶ ἐφεξῆς ὁμοίως. ὡς μέγιστον μὲν εἶναι τὸν τῆς πρὸς τῷ κ γωνίας, πρὸς τὴν πρὸς τῷ ο. ἐλάχιστον δὲ τὸν τῆς πρὸς τῷ β πρὸς τὴν πρὸς τῷ ζ λόγον. ἐπεὶ γὰρ αἱ ωρος τῇ τομῇ τῶν βδ ζε δυθείων τῷ λ γωνίαι ἴσαι εἰσὶ, λοιπαὶ ἄρα αἱ ὑπὸ λδζ λζδ, ἴσαι εἰσίν. ὧν ἡ ωρος τῷ ζ μείζων τῆς ωρος τῷ β. δέδεικται γὰρ τῶν διαφορῶν τὴν ἐγγιον τοῦ μεγίστου ἀεὶ ἀπώτερον μείζονα εἶναι. λοιπὴ ἄρα ἡ ὑπὸ βελ μείζων τῆς ὑπὸ λοζ. καὶ ὅσου τὴν ὑπερέξει, ὅσον ἡ πρὸς τῷ ζ, τὴν ωρος τοῦ β. ἐὰν γὰρ ἴσων μεγεθῶν αἰτίᾳ ἀφαιρεθῇ, ἡ τὰ ἀφαιρεθέντων διαφορὰ, ἴση ἔσαι τῇ τῶν λαταλειφθέντων. διὰ τὰ αὐτὰ δὴ ἡ ωρος τῷ θ τῆς ωρος τῷ ζ ὅσου τὴν ὑπερέξει ὅσον ἡ ὑπὸ ζεθ, τῆς ὑπὸ ζδθ. δέδεικται δὴ τῆς ὑπὸ ζεβ τῆς ὁμαλῶς, μείζονι ὑπερεχούσης τῆς ὑπὸ ζδβ τὴν φαινομένης, ἥπερ ἡ ὑπὸ ζεθ ὁμαλῶς τὴν ὑπὸ ζδθ τῆς φαινομένης. μείζονι ἄρα ὑπερέχει ἡ πρὸς τῷ ζ γωνία τῆς πρὸς τῷ β, ἥπερ ἡ πρὸς τῷ θ τῆς πρὸς τῷ ζ. ἔστι δὲ καὶ ἡ πρὸς τῷ θ μείζων τῆς πρὸς τῷ ζ. ἡ ἄρα ὑπὸ εζδ πρὸς τὴν ὑπὸ δβε μείζονα λόγον ἔχει, ἤπερ ἡ ὑπὸ εθδ, πρὸς τὴν ὑπὸ δζε. αὖθις ἄρα ἡ ὑπὸ εβδ πρὸς τὴν πρὸς τοῦ ζ, ἐλάττονα λόγον ἔχει, ἤπερ ἡ πρὸς τῷ ζ, πρὸς τὴν ὑπὸ εθδ. διὰ τὰ αὐτὰ δὴ καὶ ὑπὲρ τῶν ἑξῆς τὸ εἰρημένον γενήσεται φανερόν.

ὥστε

ὥστε μέγιστον μὲν εἶναι τὸν λόγον, ὃν ἔχει ἡ πρὸς τοῦ κ πρὸς τὸ μέγιστον διάφορον, ἐλάχιστον δὲ ὃν ἔχει ἡ πρὸς τοῦ β πρὸς τὴν ὑπὸ εζδ. ὁμοίως δὴ διειχθήσεται καὶ ὠδὶ τοῦ πρὸς τῷ περιγείῳ τεταρτημορίου, ὅπερ ἔδει δεῖξαι. Ἔστι δὲ καὶ αὐτὸ φανερὸν καὶ ὠδὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως. ἔστω γὰρ ἐπίκυκλος μὲν ὁ αβγδ, περὶ κέντρον τὸ δ, καὶ διάμετρον τὴν αδο, ἥτις ἐκβεβλήσθω ὠδὶ τὸ ε, καὶ κείσθω τὸ ε κέντρον τοῦ ὁμοκέντρου, καὶ ἀπειλήφθωσαν ἀπὸ τοῦ α ἀπογείου ἴσαι περιφέρειαι, αἱ αβ βγ γδ δκ κζ, καὶ ἐπεζεύχθωσαν αἱ εβ εγ εδ εκ εζ. φανερὸν δὴ κἂν ταῦθα ἔσται τὸ προκείμενον. καὶ ἡ μὲν ὑπὸ γεα πρὸς τὴν ὑπὸ βεα, μείζονα λόγον ἕξει ἤπερ ἡ ὑπὸ δεα, πρὸς τὴν ὑπὸ γεα, μείζονι γὰρ ὑπερέχει, ἡ ὑπὸ γεα τῆς ὑπὸ βεα, ἤπερ ἡ ὑπὸ δεα τῆς ὑπὸ γεα. δέδεικται γὰρ τὴν ὑπὸ γεβ, μείζονα εἶναι τῆς ὑπὸ δεγ. ὥστε καὶ ἀναπαλιν τὴν ὑπὸ βεα πρὸς τὴν ὑπὸ γεα, ἐλάττονα λόγον ἔχειν, ἤπερ ἡ ὑπὸ γεα, πρὸς τὴν ὑπὸ δεα. καὶ ὠδὶ τῶν ἑξῆς ὁμοίως, ὡς μέγιστον μὲν εἶναι τὸν πρὸς τῇ μέσῃ παρόδῳ τῶν διαφορῶν λόγον, ἐλάχιστον δὲ, τῶν πρὸς τοῦ ἀπογείῳ, ὅπερ ἔδει δεῖξαι.



Ἵνα δὲ μηδὲν ἄδηλον εἴη ἐν ταῖς ἀποδείξεσιν εἰλημμένον, δείξομεν ὅτι τὲ ἐὰν ἴσων μεγεθῶν ἄνισα ἀφαιρεθῇ τῶν καταλειπομένων, ἡ διαφορὰ ἴση ἔσται τῇ τῶν ἀφαιρεθέντων. καὶ ὅτι ἐὰν ᾖ τρία μεγέθη ἄνισα, καὶ τὸ μὲν πρῶτον μεῖζον ᾖ τοῦ δευτέρου, τὸ δὲ δεύτερον τοῦ τρίτου, ᾖ δὲ ἡ ὑπεροχὴ τοῦ δευτέρου πρὸς τὸ τρίτον μείζων ἢ ἡ τοῦ πρώτου πρὸς τὸ δεύτερον, μείζονα λόγον ἕξει τὸ δεύτερον πρὸς τὸ τρίτον, ἤπερ τὸ πρῶτον πρὸς τὸ δεύτερον. ἀμφοτέροις γὰρ ἐχρησάμεθα ἀποδεικνύντες, τὸ ὠδὶ τοῦ κανονίου συμβαῖνον, ἐπί τε τῆς κατ' ἐκκεντρότητα καὶ ὠδὶ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως. ἔστω πρῶτον β μεγέθη ἴσα τὰ αβ γε, ὧν ἄνισα ἀφηρήσθωσαν τὰ γδ αθ, μεῖζον δὲ ἔστω τὸ γδ τοῦ αθ, καὶ εἰλήφθω ἡ ὑπεροχὴ, καὶ ἔστω τὸ δκ. λέγω ὅτι τὸ θβ μεῖζον ἐστὶ τοῦ εδ, τοῦ κδ. εἰλήφθω γὰρ ἡ ὑπεροχὴ τῶν θβ δε, καὶ ἔστω τὸ θλ. ἐπεὶ τοίνυν ἴσον ἐστὶ τὸ αβ τῷ γε, ὧν τὸ αθ τῷ γκ, λοιπὸν ἄρα τὸ θβ ἴσον ἐστὶ τῷ κε, ὧν τὸ βλ τῷ εδ, λοιπὸν ἄρα τὸ θλ ἴσον ἐστὶ τῷ κδ. Πάλιν ἔστωσαν τρία μεγέθη ἄνισα τὰ αβ γδ εζ, καὶ εἰλήφθω ἡ διαφορὰ τῶν αβ γδ, καὶ ἔστω τὸ αθ. πάλιν τῶν γδ εζ, καὶ ἔστω τὸ γκ. καὶ μεῖζον ἔστω τὸ γκ τοῦ αθ. φανερὸν δὴ ὅτι τὸ αβ πρὸς βθ ἐλάττονα λόγον ἔχει, ἤπερ τὸ γδ πρὸς δκ εἰ γὰρ δυνατὸν, ἐχόντων πρῶτον τὸν αὐτὸν, ἐπεὶ τοίνυν ὡς τὸ αβ πρὸς βθ, τὸ γδ πρὸς δκ. διελόντι ἄρα, ἔσται ὡς τὸ αθ πρὸς θβ, τὸ γκ πρὸς κδ. ἐναλλὰξ ἄρα ἐστὶν ὡς τὸ θβ πρὸς κδ τὸ αθ πρὸς γκ. μεῖζον δὲ τὸ θβ τοῦ κδ, μεῖζον ἄρα καὶ τὸ αθ τοῦ γκ, ἀλλὰ καὶ ἔλαττον, ὅπερ ἀδύνατον. ὑποκείσθω πάλιν μείζων ὁ τοῦ αβ πρὸς βθ, ἤπερ ὁ τοῦ γδ πρὸς δκ. εἰ ἄρα τὸν αὐτὸν ἕξει λόγον τὸ αβ πρὸς ἄλλό τι τοῦ τῶν γδ δκ πρὸς μείζονα ἕξει τοῦ βθ. ἐχέτω πρὸς τὸ βλ. τὸ ἄρα λ, μεταξὺ τῶν αθ πεσεῖται. εἰ τοίνυν ὡς τὸ γδ πρὸς δκ, τὸ αβ πρὸς βλ ἔσται. καὶ διελόντι ὡς τὸ αλ πρὸς λβ τὸ γκ πρὸς κδ. καὶ ἐναλλὰξ, ὡς τὸ λβ πρὸς κδ, τὸ αλ πρὸς γκ. μεῖζον δὲ τὸ λβ τοῦ κδ. ἦν γὰρ τὸ βθ, μεῖζον τοῦ κδ, καὶ αλ ἄρα μεῖζον ἔσται τοῦ γκ. ἀλλὰ καὶ ἔλαττον ὑπόκειται τὸ αθ τοῦ γκ, ὅπερ ἀδύνατον. μείζων ἄρα ὁ τοῦ γδ πρὸς δκ λόγος, τοῦ αβ πρὸς βθ, ὅπερ ἔδει δεῖξαι. ἐπισυμβαίνει δὲ καὶ ἕτερα ταῖς διαφοραῖς, ὅτι αἱ ἔγγιον τῆς μεγίστης διαφορᾶς τῆς ἀπώτερον μείζονες, καὶ ἔτι τῶν παρ' ἑκάτερα τῆς





μεγίστης ἴσων διαφόρων, αἱ μεταξὺ τοῦ ἐκκέντρου περιφέρειαι οὐκ ἴσαι ἔσονται, ἀλλὰ μείζων ἡ πρὸς τῷ ἀπογείῳ. Ἐπεὶ ἴσων ὑποκειμένων τῶν παρ' ἑκάτερα τοῦ μεγίστου ὑπὸ τοῦ ἐκκέντρου περιφερειῶν, τῶν γινομένων διαφορῶν, μεῖζον ἔσται τὸ πρὸς τῷ ἀπογείῳ, ἅπαντα ἐν τῷ δευτέρῳ δέδεικται κεφαλαίῳ. εἰ δὲ μὴ κατὰ τὰς γραμμικὰς δείξεις καὶ ἀπὸ τῶν ἀριθμῶν τῶν ἀπὸ τοῦ κανόνος λαμβάνετο τὸ ἀκριβὲς, ὡς ἔστιν ἐν οἷς δοκεῖν διαφόρως ἔχειν, οὐ δεῖ θαυμάζειν. οὐ γὰρ κατὰ οὐ κανόνας ἐπιλογισμοὺς τῶν ἐγγὺς ἀεὶ γινομένους, οὐ πάνυ τῶν ἀκριβείας ἔχεσθαι συμβαίνει. Ἵνα δὲ μὴ μόνον, διδομένης τῆς ὁμαλῆς κινήσεως, διὰ τοῦ παρόντος κανονίου καὶ τὴν ἀκριβῆ λαμβάνωμεν, ἀλλὰ καὶ τὸ ἀνάπαλιν, διδομένης τῆς ἀκριβοῦς λαμβάνωμεν τὴν ὁμαλὴν (δεῖ γὰρ ἡμῖν καὶ τούτου πρὸς τὴν μέθοδον τῆς τοῦ ἡλίου ψηφοφορίας) ὅταν διδομένου τοῦ τόπου τοῦ ἡλίου τοῦ ἀκριβοῦς, δέῃ τὸν χρόνον λαβεῖν, καθ' ὃν ἐνταῦθα γέγονεν, ἐπελογισάμεθα οὐ ἐν τοῖς δευτέροις θεωρήμασιν ἀριθμοὺς, ἐν οἷς διδομένου τοῦ τῆς ἀκριβοῦς κινήσεως ἀριθμοῦ, ἥτε ὁμαλὴ ἐδίδοτο καὶ τὸ διάφορον. καὶ συνέστη τὸ κανόνιον. ὠδὶ στίχους μὲν ιε, σελίδια δὲ ε, ὧν τὰ μὲν πρῶτα τρία περιέξει οὐ ἀριθμοὺς τῆς ἀκριβοῦς κινήσεως τοῦ ἡλίου οὐ ὠδὶ τοῦ ζωδιακοῦ. τὸν μὲν πρῶτον, τὸ ἀπὸ τοῦ ἀπογείου εἰς τὰ ἑπόμενα τεταρτημόρια, τὸ δὲ δεύτερον, οὐ λείποντας τῶν τοῦ πρώτου σελιδίου ἀριθμῶν εἰς τὸν κύκλον ὅλον τὰς τξ μοιρὰς. τὸ δὲ τρίτον, οὐ λείποντας τῶν τοῦ πρώτου σελιδίου ἀριθμῶν εἰς τὸ ἀπὸ τοῦ ἀπογείου εἰς τὰ ἑπόμενα ἡμικύκλια, τὰς ρπ μοιρὰς. ὥστε οὐ ἑξῆς περιεχομένους ἀριθμοὺς τῶν διαφόρων οὐ αὐτοὺς κεῖσθαι, τοῖς τε ἀπὸ τοῦ ἀπογείου τεταρτημορίου ἀριθμοῖς εἰς τὰ ἑπόμενα, Ἐπὶ τοῖς ἀπὸ τοῦ ἀπογείου εἰς τὰ ἡγούμενα τοῖς ἴσοις, Ἐπὶ αὖθις τοῖς ἀπὸ τοῦ περιγείου εἰς τὰ ἑπόμενα τοῦ τεταρτημορίου ἀριθμοῖς, Ἐπὶ ἀπὸ τοῦ περιγείου εἰς τὰ ἡγούμενα. ἐάν τε γὰρ παρ' ἑκάτερα τοῦ ἀπογείου ἴσαι περιφέρειαι ἀπολειφθῶσιν ὑπὸ τοῦ ζωδιακοῦ, ἴσα ἔσται τὰ διάφορα. ἐάν τε ἀπὸ τοῦ ἀπογείου καὶ περιγείου, ὁμοίως ἴσα τὰ διάφορα. Ἐπὶ ὅπως, ἐν τοῖς προειρημένοις ἐδείχθη τῷ Πτολεμαίῳ. τὰ δὲ λοιπὰ δύο, οὐ ἀριθμοὺς τῶν διαφορῶν. ὅτι δὲ Ἐὰν παρ' ἑκάτερα τοῦ ἀπογείου ἢ περιγείου ἴσαι περιφέρειαι ἀπολειφθῶσιν ἴσα ἔσται τὰ διάφορα, φανερόν. καταγεγράφθω γὰρ ὁμόκεντρος τῷ ζωδιακῷ κύκλος, ὁ αβγ περὶ κέντρον τὸ ε. Ἐπὶ διάμετρον τῆς αεγ. ἐφ' ἧς εἰλήφθω τὸ κέντρον τοῦ ἐκκέντρου. καὶ ἔστω τὸ δ. Ἐπὶ ἀπολειφθεισῶν ἴσων περιφερειῶν παρ' ἑκάτερα τοῦ α τῶν αβ αη, Ἐπὶ ἔτι παρ' ἑκάτερα τοῦ γ τῶν γζ γθ, ἐπεζεύχθωσαν αἱ εβ εη εθ. Ἐπὶ γεγράφθω περὶ τὸ δ κέντρον τοῦ ἐκκέντρου ὁ ακλ κύκλος. καὶ ἐπεζεύχθωσαν αἱ δκ δμ δλ δν. φανερὸν μὲν οὖν ὅτι τὰ γινόμενα διάφορα παρὰ τῆς ἀνωμαλίαν, ἐν ταῖς αβ αη γζ γθ περιφερείαις, αἱ πρὸς τοῖς κ μ λ ν γωνίαις εἰσί. δεικτέον δὴ τῆς μὲν πρὸς τῷ κ, ἴσην τῇ πρὸς τῷ μ. τῆς δὲ πρὸς τῷ λ, ἴσην τῇ πρὸς τῷ ν. ἐπεὶ γὰρ ἴσῃ ἐστὶν ἡ κδ τῇ μδ, ἄλλῃ δέ τις ἡ δε. ἔστιν ἄρα ὡς ἡ κδ, πρὸς δε, ἡ μδ πρὸς δε, ἔστι δὲ Ἐπὶ γωνία ἡ ὑπὸ κεδ. ἴσῃ τῇ ὑπὸ μεδ, αἱ δὲ πρὸς τῷ κ καὶ μ γωνίαι, ἑκατέρα ἐλάττων ὀρθῆς. εἰ γὰρ ὀρθὴ, ἐκτὸς ἂν ἔπιπτον τοῦ κύκλου, αἱ με κε εὐθεῖαι. ὁμοίως δὲ εἰ καὶ μείζονες ἦσαν ὀρθῶν, τρίγωνον ἄρα τὸ κεδ τριγώνῳ τῷ μεδ, ἰσογώνιον ἐστὶν. ἡ ἄρα πρὸς τῷ κ, ἴσῃ τῇ πρὸς τῷ μ. πάλιν ἐπεὶ ἴσῃ ἐστὶν ἡ νδ τῇ δλ, καὶ αἱ ὑπὸ τῶν νε εδ λε εδ περιεχόμεναι γωνίαι, ἴσαι διὰ τὸ τὰς ἐφεξῆς εἶναι. ἴσῃ γὰρ ἡ ζγ τῇ γθ διὰ τὰ εἰρημένα, τρίγωνον μὲν τὸ δεν τριγώνῳ τῷ δελ, ἰσογώνιον ἐστὶ. γωνία δὲ ἡ πρὸς τῷ λ, ἴσῃ τῇ πρὸς τῷ ν, ὅπερ ἔδει δεῖξαι. περὶ μὲν οὖν τῶν κινήσεων τῶν ἡλιακῶν, τῶν τε ὁμαλῶν Ἐπὶ τῶν ἀνωμάλων, καὶ ἔτι τῶν διαφορῶν, καὶ τοῦ ὅπως ἂν γένοιτο λαμβάνειν ἑκατέραν, τῆς ἑτέρας τῶν κινήσεων διδομένης, ἱκανῶς διείληπται.



ἀριθμοὶ κοινοὶ ὧν τὸ ζωδιακοῦ προσθαφαίρεσις.				
ς	τνδ	ροδ	ō	ιε
ιβ	τμη	ρξη	ō	κθ
ιη	τμβ	ρξβ	ō	μγ
κδ	τλς	ρνς	ō	νη
λ	τλ	ρν	α	ια
λς	τκδ	ρμδ	α	κς
μβ	τιη	ρλη	α	λε
μη	τιβ	ρλβ	α	μς
νδ	τς	ρκς	α	νδ
ξ	τ	ρκ	β	ς
ξς	σϟδ	ριδ	β	ιβ
οβ	σπη	ρη	β	ιη
οη	σπβ	ρβ	β	κα
πδ	σος	ϟς	β	κβ
ϟ	σο	ϟ	β	κγ

ἀριθμ. κοιν. ὧν τὸ ἐκκὲν προσθαφαίρεσις.			
ς	τνδ	ō	ιδ
ιβ	τμη	ō	κη
ιη	τμβ	ō	μβ
κδ	τλς	ō	νς
λ	τλ	α	θ
λς	τκδ	α	κα
μβ	τιη	α	λβ
μη	τιβ	α	μγ
νδ	τς	α	νγ
ξ	τ	β	α
ξς	σϟδ	β	η
οβ	σπη	β	ιδ
οη	σπδ	β	ιη
πδ	σος	β	κα
ϟ	σο	β	κγ
ϟγ	σξζ	β	κγ
ϟς	σξδ	β	κγ
ϟθ	σξα	β	κβ
ρβ	σνη	β	κα
ρε	σνε	β	κ
ρη	σνβ	β	ιη
ρια	σμθ	β	ις
ριδ	σμς	β	ιγ
ριζ	σμγ	α	ι
ρκ	σμ	α	ς
ρκγ	σλζ	α	β
ρκς	σλδ	α	νη
ρκθ	σλα	α	νδ
ρλβ	σκη	α	μθ
ρλε	σκε	α	μδ
ρλη	σκβ	α	λθ
ρμα	σιθ	α	λγ
ρμδ	σις	α	κζ
ρμζ	σιγ	α	κα
ρν	σι	ō	ιδ
ρνγ	σζ	ō	ζ
ρνς	σδ	ō	ō
ρνθ	σα	ō	νγ
ρξβ	ρϟη	ō	μς
ρξε	ρϟε	ō	λθ
ρξη	ρϟβ	ō	λβ
ροα	ρϖθ	ō	νδ
ροδ	ρπς	ō	ις
ροζ	ρπγ	ō	η
ρπ	ρπ	ō	ō

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΤΗΝ ΜΕΣΗΝ ΤΟΥ ἡλίου πάροδον ἐποχῆς.



παραλλήλων περιφερείας ἐν ἴσῳ χρόνῳ διέρχετο τὰ σημεῖα. ἡ ἄρα αγ τοῦ ἰσημερινοῦ περιφέρεια ἡμικυκλίου οὖσα, τῇ ζκ τοῦ ἡμικυκλίου τοῦ ζωδιακοῦ συμμεσουρανήσει. ὁμοίως δὴ ἔσται δῆλον καὶ ὠδὶ πάσης θέσεως τοῦ ζωδιακοῦ. ταύτῃ τοίνυν τῇ διαφορᾷ τοῖς η ι χρόνοις διαφέρουσι τὰ ὁμαλὰ τῶν ἀνωμάλων. τὰ ἀνώμαλα δὲ πρὸς ἄλληλα τοῖς διπλασίοις χρόνοις, τουτέστι ις γο ἤγουν μιᾷ ὥρᾳ καὶ θω. τὸ δὲ τοσοῦτον ὡς μὲν ἡλίου καὶ τῶν ἄλλων παρορώμενον, οὐδενὶ ἂν ἴσως αἰσθητῷ καταβάπτοι, ὡς δὲ τοῦ σελήνης διὰ τὸ τοῦ κινήσεως αὐτῆς τάχος, ἀξιόλογον ἂν ἤδη τὴν διαφορὰν ἀπεργάζοιτο. καὶ μέχρι τριῶν πέμπτων μιᾶς. ὁ μὲν γὰρ ἥλιος ἐν τοῖς ις γο χρόνοις γ ἔγγιστα ἑξηκοστὰ κινεῖτο, ἡ δὲ σελήνη λς. ἃ καὶ γ πέμπτα μιᾶς μοιρᾶς εἰσίν. Ἵνα οὖν καὶ τὰ καθ' ὁποίαν δήποτε διάστασιν διδόμενα νυχθήμερα, λέγω δὴ ἀπὸ μεσημβρίας ἢ μεσονυκτίου ὡς μεσημβρίαν, ἢ μεσονύκτιον καιρικὰ δηλονότι, εἰς ὁμαλὰ νυχθήμερα καθάπαξ ἀναλύωμεν, σκεψώμεθα κατά τε τὴν προτέραν ἐποχὴν καὶ τὴν ὑστέραν. εἰπὼν ὅσα δέον ἦν περὶ τοῦ ἀνισότητος τῶν νυχθημέρων, ἵνα ἀκριβῶς εἰδῶμεν τὸν ἡλιακὸν τόπον εὑρίσκειν, ὅπερ ἦν καὶ τοῦ κεφαλαίῳ σκοπὸς, μέθοδον παραδίδωσι δι' ἧς τὰ διδόμενα καιρικὰ νυχθήμερα πρὸς ὁμαλὰ γένοιτ' ἂν ἀναλύσειν, καὶ τὸ ἀνάπαλιν τὰ ὁμαλὰ, εἰς καιρικά. ἐπεὶ γὰρ ἐν τῇ τοῦ ἡλίου ψηφοφορίᾳ ἀεὶ ζητοῦμεν τὴν ὁμαλὴν κίνησιν αὐτοῦ, ἣν ἐκινήθη ἐν τοῖς μεθ' ὅλα ἔτη εὑρημένοις καιρικοῖς νυχθημέροις, τὰ δὲ ἐν τοῖς κανόσι νυχθήμερα, ὁμαλὰ εἰσίν, εἰ τὰ εὑρημένα καιρικὰ νυχθήμερα πρὸς ὁμαλὰ ἀναλύειν ἔχοιμεν, καὶ τὴν κατ' αὐτὰ κίνησιν ἀκριβῶς εὑρήσομεν τοῦ ἡλίου, καὶ διαστοῦντες καὶ τὸν τόπον αὐτοῦ. καὶ σκεψώμεθα φησί, κατά τε τὴν προτέραν ἐποχὴν καὶ τὴν ὑστέραν, τουτέστι τοῦ ἀρχῆς τῶν δοθέντων νυχθημέρων, καὶ τοῦ τέλους κατὰ ποίαν μοῖραν τοῦ ζωδιακοῦ ἐστὶν ὁ ἥλιος ὁμαλῶς τε κινούμενος καὶ ἀνωμάλως, καὶ λαβόντες τὰς ἐποχὰς, ἔπειτα τὴν ἀπὸ τῆς ἀνωμάλου ἐποχῆς ὡς τὴν ἀνώμαλον διάστασιν τὰς μεταξὺ τῶν ἐποχῶν τῶν ἀκριβῶν μοιρὰς, εἰσενέγκωμεν εἰς τὸ κανόνιον τῶν ἐπ' ὀρθῆς τοῦ σφαίρας ἀναφορῶν, καὶ σκεψώμεθα πόσοις χρόνοις συμμεσουρανοῦσι τοῦ ἰσημερινοῦ, αἱ τοῦ ἀνωμάλου διαστάσεως ὡς ἔφαμεν μοιραί. καὶ λαβόντες τὴν ὑπεροχὴν τῶν τε εὑρεθέντων καὶ τῶν τοῦ ὁμαλῆς διαστάσεως μοιρῶν, ἐπιλογισάμενοί τε τὸ περιεχόμενον μέγεθος ὥρας ἰσημερινῆς ὑπὸ τοῦ εὑρεθείσης διαφορᾶς δηλονότι, ἤγουν πόσον μέρος ἐστὶν ὥρας ἰσημερινῆς, ὥραν γὰρ εἶναι ἀδύνατον. διὰ τὸ δεδεῖχθαι τὴν μεγίστην τῶν ὁμαλῶν πρὸς τὰ ἀνώμαλα διαφορὰν. καὶ ἀμφοτέρων τῶν ἀνωμαλιῶν συμπλακεισῶν μείζωνα η χρόνων καὶ ιη ἑξηκοστῶν. τὸ γοῦν εὑρεθὲν ἀπὸ τῆς ὑπεροχῆς μέρος ὥρας ἰσημερινῆς, πλείονος μὲν εὑρισκομένου τοῦ τῶν χρόνων ἀριθμοῦ τῆς ὁμαλῆς διαστάσεως, προσθήσομεν τοῦ διδομένῳ τῶν νυχθημέρων πλήθει. ἐλάττονος δὲ, ἀφελοῦμεν ἀπ' αὐτοῦ, καὶ τὸν γενόμενον χρόνον, ἕξομεν τὸν εἰς τὰ ὁμαλὰ νυχθήμερα διακεκριμένον. ᾧ καὶ χρησόμεθα μάλιστα πρὸς τὰς ἐπισυναγωγὰς τῶν ἐν τοῖς κανόσι τοῦ σελήνης μέσων κινήσεων. διὰ τὸ ἀξιόλογον ἐνταῦθα γίνεσθαι τὴν διαφορὰν διὰ τὸ τοῦ κινήσεως αὐτῆς τάχος, ὡς ἐν τοῖς περὶ σελήνης ἔσται φανερόν. εὐκατανόητον δ' αὐτόθεν ὅτι καὶ ἀπὸ, τοῦ τῶν ὁμαλῶν νυχθημέρων ὑποστάσεως, τὰ καιρικὰ καὶ ἁπλῶς θεωρούμενα λαμβάνετο, τοῦ προειρημένης τῶν ὠριαίων χρόνων προσθαφαιρέσεως ἀνάπαλιν γινομένης. Ἔστω γὰρ ὡς τοῦ αὐτοῦ χρόνου καιρικὰ μὲν νυχθήμερα, τὰ αβ βγ γδ, ὁμαλὰ δὲ τὰ περιεχόμενα ὑπὸ τοῦ δζ. ἴση δὲ ἔστω ἡ αδ τῇ δζ. καὶ δεδόσθω ἥτε προτέρα ἀκριβὴς ἐποχὴ, καὶ ἡ ὑστέρα ἡ μεταξὺ δηλονότι περιφέρεια, καὶ ὁ ἀριθμὸς τῶν καιρικῶν νυχθημέρων. δεῖ δὴ λαβεῖν τὸν ἀριθμὸν τῶν ὁμαλῶν. ἔστωσαν δὲ πρῶτον οἱ συμμεσουρονοῦντες ταῖς μοιραῖς τοῦ ζωδιακοῦ χρόνοι, μείζους τοῦ ὁμαλῆς διαστάσεως. ἐπεὶ τοίνυν ἄλλα μὲν ἴσα τὰ ἀνώμαλα νυχθήμερα τοῖς ὁμαλοῖς, περὶ δὲ τοὺς χρόνους μόνον τῶν συμμεσουρανήσεων τῶν ἡλιακῶν ἐπικινημάτων ἐγγίνετο σφίσιν ἡ διαφορὰ, διαστοῦντες τὴν τῶν συμμεσουρανήσεων ζητήσομεν διαφορὰν, τῶν τε





ὁμαλῶν καὶ ἀνωμάλων τοῦ ἡλίου ὡς κινημάτων, τῶν μὲν ὁ τῆς συμμεσουρανήσεως χρόνος, ἴσος ἐστὶ ταῖς ὁμαλαῖς τῆς κινήσεως μοιραῖς, ὁ δὲ τῶν ἀνωμάλων, ὁ ἀπὸ τῶν κανονίων τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορῶν εἰλημμένος. ἐπεὶ τοίνυν οἱ τοῖς ἀνωμάλοις ἐπικινήμασι συμμεσουρανοῦντες χρόνοι μείζους ὑπόκειντες εἶναι τῶν συμμεσουρανούντων τοῖς ὁμαλοῖς, τουτέστι τῶν



ὁμαλῶν τοῦ ἡλίου ἐπικινημάτων, φανερὸν ὅτι τῶν κατὰ ταύτην τῆς διάστασιν τῶν μοιρῶν γινομένων νυχθημερῶν μείζονα τὰ καιρικά. τὰ ἄρα τοσαῦτα τῷ πλήθει ὁμαλὰ, ἐλάττονα ἔσοντες τῷ μεγέθει τῶν ᾱβ β̄γ γ̄δ. ἡ αὐτὴ γὰρ τοῦ χρόνου διάστασις. καὶ πάλιν τὰ ᾱβ β̄γ γ̄δ καιρικὰ τῶν τοσούτων τῷ μεγέθει ὁμαλῶν, ἐλάττονα ἔσοντες τῷ πλήθει. καὶ ἔσται τὰ ὠδὶ τῆς ζητουμένης διαστάσεως ὁμαλὰ νυχθήμερα τοσαῦτα τὲ τὸ πλῆθος, ὅσα τὰ ᾱβ β̄γ γ̄δ, καὶ ἔτι μέρος τι ὥρας ἰσημερινῆς. ἔστω δὴ τὸ λζ, καὶ λοιπὴ δὴ ἡ δλ διηρήσθω εἰς τὰ ὁμαλὰ νυχθήμερα ἴσα ὄντα τῷ πλήθει τοῖς καιρικοῖς τὰ δθ θκ κλ, ὧν μείζονα ἔσται τὰ ᾱβ β̄γ γ̄δ τῷ λζ χρόνῳ. ἴση γὰρ ὑπόκειτες ἡ αδ τῇ δζ. ᾧ ἄρα διαφέρουσι τὰ ᾱβ β̄γ γ̄δ καιρικὰ νυχθήμερα τῶν τοσούτων ὁμαλῶν νυχθημέρων, δηλονότι τῇ εὑρεθείσῃ παρὰ τὰς μεσουρανήσεις διαφορᾷ, τούτῳ διαφέρουσι καὶ τὰ ὁμαλὰ νυχθήμερα τῶν ἀνωμάλων τῷ πλήθει. ἐὰν τοίνυν ἔχοντες τὸν ἀριθμὸν τῶν καιρικῶν νυχθημέρων, καὶ ᾧ διαφέρει πρὸς τὸν ἀριθμὸν τῶν ὁμαλῶν λαβόντες προσθῶμεν τῷ τῶν καιρικῶν ἀριθμῷ ἐλάττονι ὄντι τοῦ τῶν ὁμαλῶν, ἕξομεν τὸν ἀριθμὸν τῶν ὁμαλῶν. ὁμοίως δὲ καὶ ἐὰν μείζονος ὄντος τοῦ τῶν καιρικῶν ἀριθμοῦ ἀφέλωμεν ἀπ' αὐτοῦ τῆς εἰρημένην διαφορὰν. ἀπὸ τούτου δὲ φανερὸν καὶ τὸ αὐτίστροφον, καὶ διατί δεδομένων τῶν ὁμαλῶν εἰ βουλοίμεθα πρὸς καιρικὰ ἀναλύειν, μείζονος ὄντος τοῦ τῶν χρόνων ἀριθμοῦ τῆς ὁμαλῆς διαστάσεως, ἀφελοῦμεν ἀπὸ τῶν ὁμαλῶν τῆς παρὰ τὰς συμμεσουρανήσεις διαφορὰν, ἐλάττονος δὲ προσθήσομεν. τούτου δὴ χάριν καὶ τὸ ἀπὸ ὑδροχόου μέσου μέχρι χηλῶν τμῆμα, ἀφαιρετικὸν ὀνομάζει. τῶν γὰρ κατὰ ταύτην τὴν διάστασιν ὁμαλῶν εἰς ἀνώμαλα ἀναλυομένων νυχθήμερα, ἀφαιρεῖν ἀναγκη, τὴν τῶν συμμεσουρανούντων χρόνον ὑπεροχὴν. μείζων γὰρ ὁ τοῦ κυμμεσουρανοῦντος χρόνου τοῦ τοιούτῳ τμήματι ἀριθμὸς τῆς ὁμαλῆς διαστάσεως. τῶν γὰρ ἀπὸ ὑδροχόου μέσου μέχρι χηλῶν σν̄ε μοιρῶν τοῦ ζωδιακοῦ τῶν ἀκριβῶν, αἱ μὲν τῆς ὁμαλῆς διαστάσεως μοῖραι ὑπερέχουσι γ̄ λζ, ὁ δὲ τῶν συμμεσουρανήσεων ἀριθμὸς δ̄ μά. ἐπεὶ δὲ ἀκριβῶς εἰδέναι προσήκει καὶ τὴν κατὰ τὴν ἀρχὴν τῆς Ναβονασαρου Βασιλείας τοῦ ἡλίου ἐποχὴν (πρὸς ταύτην γὰρ τὰς τῶν ἐποχῶν συστάσεις ἀναβιβαζομεν) φησίν, ἐπεῖχε μέντοι κατὰ τὴν ἡμετέραν ἐποχὴν ὁ ἥλιος τουτέστι τοῦ πρώτου ἔτει Ναβονασαρου, κατ' Αἰγυπτίους θὼθ πρώτῃ τῆς μεσημβρίας, ὁμαλῶς μὲν κινούμενος ὡς μικρῷ πρόσθεν ἀπεδείξαμεν ἰχθύων μοιρὰν ο̄ μέ, ἀνωμάλως δὲ γ̄ μοιρὰν καὶ ἡ ἔγγιστα ἑξηκοστὰ τῶν ἰχθύων. ἐὰν γὰρ τοῖς σξε ιε τῆς ἀποχῆς, προσθῶμεν τὸ παρὰ τὴν ἀνωμαλίαν διαφορον, τὰ β̄ κγ, καὶ τὰ λοιπὰ ἀπὸ τοῦ ἀπογείου τοῦ ἐκκέντρου ἀφήσωμεν, ἕξομεν ἀκριβῆ ἥλιον ἐπέχοντα μοιρὰς γ̄ καὶ ἔγγιστα ἑξηκοστὰ τῶν ἰχθύων.

Τέλος τοῦ τρίτου.

ΘΕΩΝΟΣ ΑΛΕ

ΞΑΝΔΡΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΤΕ-
ταρτον τῆς συνταξεως.

ἈΠΟ ΠΟΙΩΝ ΔΕΙ ΤΗΡΗΣΕΩΝ ΤΑ ΠΕΡΙ
τὴν σελήνην ἐξετάζειν.



Ιεξελθὼν ὁ Πτολεμαῖος ἐν τῷ τρίτῳ Βιβλίῳ ὅσα αὐτὶς θεωρήσειε συμβαίνοντα περὶ τὴν τοῦ ἡλίου κίνησιν, λέγω δὴ ὅτι ὁ ἐνιαύσιος αὐτοῦ χρόνος, ὃν ὠρίζετο εἶναι ἐν ᾧ ὁ ἥλιος ἀρξάμενος κινεῖσθαι εἰς τὰ ἑπόμενα εἰς τὸ αὐτὸ παραγίνεται, ὃς καὶ ἡμερῶν ἐστὶ τξε ιδ μ, ἀφ' οὗ χρόνου καὶ τὰς ὁμαλὰς αὐτοῦ κινήσεις ἐπιλογισάμενος, κανονικῶς ἐξέθετο. καὶ περὶ τῶν καθ' ὁμαλὴν ἐγκύκλιον κίνησιν δύο ἁπλῶν ὑποθέσεων, τῆς τε κατ' ἔκκεντρον καλουμένης, καὶ τῆς κατ' ἐπίκυκλον, καὶ περὶ τοῦ λόγου τῆς ἐκκεντρότητος αὐτῶν τοῦ τῶν ξ πρὸς τὰ β λ κατειλημένης, καὶ τῆς ἀποχῆς τοῦ ἀπογείου περὶ ὃ τὰ ἐλάχιστα φαίνεται κινούμενος, καὶ τὰς τῶν διδύμων μοιρὰς ε λ, τυγχανούσης, τοῦ δὲ περιγείου περὶ ὃ πάλιν τὰ μέγιστα φαίνεται κινούμενος καὶ τῆς διαμέτρου τοῦ ἀπογείου στάσιν, τῶν δὲ μέσων αὐτοῦ παρόδων καὶ τὰς τούτων τεταρτημοριαίας διαστάσεις, καθ' ἃς καὶ ἡ μεγίστη ἀνωμαλία τούτῳ κατάληπται μοιρῶν β κγ, καὶ περὶ τῆς πρὸς τὰ καὶ μέρος τμήματα τῶν ἀνωμαλιῶν κανονοποιΐας, καὶ τῆς καὶ τὸ πρῶτον ἔτος Ναβονασάρου θὼθ πρώτη τῆς μεσημβρίας ὁμαλῆς αὐτοῦ ἐποχῆς καὶ τῆς τῶν ἰχθύων πρώτης μοιρᾶς ἑξηκοστὰ μέ, κατειλημμένης, καὶ ἔτι περὶ τῆς ὁμαλῆς καὶ ἀνωμάλου αὐτοῦ ψηφοφορίας, καὶ τῆς ἀνισότητος τῶν νυχθημέρων, ἑξῆς ἐν τούτῳ τῷ Βιβλίῳ τετάρτῳ τυγχάνοντι, καὶ τῆς ἀκόλουθον τῆς ἐν τῷ πρώτῳ Βιβλίῳ ἐκτεθειμένης αὐτῷ περὶ τῆς τάξεως τῶν θεωρημάτων ἀπαριθμήσεως, καὶ ἔτι τῆς ἐν ἀρχῇ τοῦ τρίτου Βιβλίου τὴν περὶ σελήνης λόγον ποιεῖται, καὶ φησί. προσήκει μὴ ἁπλῶς τὰς αὐτῆς παρατηρήσεις παραλαμβάνειν πρὸς τὰς καθολικωτέρας τῶν κινήσεων αὐτῆς ἐπισκέψεις, καθάπερ οἱ παλαιοὶ παχυμερεστέραις κατεχρήσαντο, ἀπὸ τῶν πρὸς τοὺς ἀπλανεῖς ἀστέρας τοὺς τοιούτους ἐπιλογισμοὺς ποιησάμενοι, ἀλλὰ πρὸς μὲν τὰς καθόλου καταλήψεις, ἐκείναις μάλιστα προσέχειν τῶν ἀκριβείξεων, ὅσαι μὴ μόνον ἐκ τοῦ πλείονος χρόνου, ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν καὶ τὰς σεληνιακὰς ἐκλείψεις τηρήσεων λαμβάνοντες. εἰσὶ δὲ καθολικώτεραι μὲν αὐτῆς καταλήψεις, ἥ τε τοῦ χρόνου τῶν ἀκρατάστα κικῶν κινήσεων, ἀφ' οὗ καὶ αἱ ὁμαλαὶ αὐτῆς πάροδοι καταλαμβάνοντες, καὶ ὁ τῆς ἐκκεντρότητος λόγος, ἀφ' οὗ πάλιν καὶ τὰ μεγέθη τῶν καὶ μέρος περὶ τῆς ἀνωμαλίαν διαφόρων ἐφοδεύεται, καὶ ἔτι ἡ εἰς τὸ πρῶτον ἔτος Ναβονασάρου, θὼθ πρώτη μεσημβρίας ἐποχὴ τοῦ τε ἀπογείου καὶ αὐτῆς τῆς σελήνης. καὶ μέρος δὲ ὡς ὅταν ἐπιζητῶμεν τὰς ἑκάστοτε αὐτῆς ἀκριβεῖς παρόδους πρὸς τῆς κατάληψιν τῆς παρὰ τὴν ἀνωμαλίαν διαφορᾶς, καὶ τὰς φαινομένας πρὸς τῆς τῆς παραλλάξεως κατάληψιν, καὶ ἔτι τῆς πηλικότητα τῆς τοῦ ἐπικύκλου αὐτῆς προσνεύσεως, ἢ καὶ τῆς διὰ τοῦ παραλλακτικοῦ ὀργάνου γινομένην παρατήρησιν, πρὸς τῆς κατάληψιν τῆς τε παραλλάξεως καὶ τῆς ἀκρὸς τοῦ καὶ κορυφὴν τῆς σελήνης ἀκρατασάσεως, καὶ ἔτι τῆς μεγίστης αὐτῆς καὶ πλάτος παραχωρήσεως, καὶ ὅσα ἄλλα ἐν τοῖς ἐφεξῆς ἐφ' ὧν χωρὶς ἐκλείψεων τὰς παρατηρήσεις ποιεῖται. ἀκρὸς τούτων γὰρ καὶ τὰ λοιπὰ τῶν καὶ μέρος ἐφοδεύεται. πρὸς οὖν τὰς εἰρημένας καθολικωτέρας τῆς σελήνης καταλήψεις, χρὴ φησὶν μὴ μόνον τὰς ἀκρὸς πλείονος διαστάσεως χρόνου τηρήσεις παραλαμβάνειν, καθάπερ ὑπὸ τῶν τοῦ ἡλίου περιοδικῶν ἀκρατασάσεων ἐδηλοῦμεν, ὅτι καθόλου χρὴ τὰς τῶν περιοδικῶν ἤτοι ὁμαλῶν κινήσεων καταλήψεις, ἀκρὸς τῶν διὰ πλείονος χρόνου τηρήσεων ἐφοδεύειν, ἀλλ' ἔτι καὶ τὰς ἀκρὸς τῶν σεληνιακῶν ἐκλείψεων λαμβανομένας. διὰ μόνων γὰρ τῶν τοιούτων ἀκριβῶς ἂν οἱ τόποι τῆς σελήνης καταλαμβάνοιντο καὶ τὸν μέσον χρόνον τῆς ἐκλείψεως, τουτέστι καὶ τὴν μεγίστην ἐπισκότησιν. διὰ τὸ καὶ τὸν τοιοῦτον χρόνον ἔγγιστα ἀκριβῶς τὸ τῆς σελήνης κέντρον ὑπὸ τοῦ ἡλίου διαμετρεῖσθαι, ὡς ἐν τῷ ἕκτῳ Βιβλίῳ δείκνυσιν καὶ ἡμεῖς δὲ μικρὸν προϊόντες, βραχειᾷν τινα,

ὑπόμνησιν τοῦ τοιούτου τῆς πρὸς τὸ παρὸν σαφηνείας ἕνεκεν ποιησόμεθα. καὶ διατοῦτο δὲ ὑδρίου ὡροσκοπίου τὸν εἰρημένον χρόνον τῆς ἐκλείψεως καταλαμβανόμενοι, καὶ ἐκ τούτου τῆς τοῦ ἡλίου ἐποχὴν ἐπιλογιζόμενοι συναποδεδειγμένην ἕξομεν καὶ τὴν τῆς σελήνης κατὰ τὴν διάμετρον τῷ ἡλίῳ στάσιν τυγχάνουσαν. τῶν ἄλλων ὅσαι, ἤτοι διὰ τῶν πρὸς τοὺς ἀπλανεῖς ἀστέρας παρόδων, ἢ διὰ τῶν ὀργάνων, ἢ διὰ τῶν τοῦ ἡλίου ἐκλείψεων θεωροῦνται, πολὺ διαψευσθῆναι δυναμένων, διὰ τὰς παραλλάξεις τῆς σελήνης, τῶν ἀκριβῶν ἐποχῶν αὐτῆς, διὰ τούτων τῶν εἰρημένων τριῶν τρόπων διαψευσθῆναι δυναμένων διὰ τὰς παραλλάξεις αὐτῆς, μόνον δὲ διὰ τῶν εἰρημένων σεληνιακῶν ἐκλείψεων ὑγιῶς καταληφθῆναι δυναμένων. εἶτα διδάσκων ὃν τρόπον αἱ διὰ τῶν εἰρημένων τριῶν τρόπων τηρήσεις διαμαρτάνουσι περὶ τὰς παραλλάξεις περὶ τῆς ἐποχὴν αὐτῆς, μόνον δὲ κατὰ τοὺς μέσους χρόνους τῶν ἐκλείψεων αὐτῆς ἐφοδεύοντες φησί. τοῦ γὰρ ἀκρήματος οὗ ἀφέστηκεν ἡ σφαῖρα τῆς σελήνης ἀκὸ τοῦ κέντρου τῆς γῆς μὴ ὄντος τηλικούτου, ἡλίκον ἐστὶ καὶ τὸ μέχρι τοῦ κατὰ τὸν ζωδιακὸν κύκλου, ὥστε σημείου λόγον ἔχειν τὴν γῆν, καὶ πρὸς τὸ τῆς σελήνης ἀπόστημα, ἀλλὰ πολλῷ περιγειοτέρου τυγχάνοντος, ὡς καὶ ἐν μεγέθει αὐτὴν καταλαμβάνεσθαι, συμβήσεται τοὺς ὁρῶντας μηκέτι ἀπὸ τοῦ κέντρου τῆς γῆς καὶ τοῦ ζωδιακοῦ θεωροῦντας τῆς σελήνην, ἐφ' οὗ καὶ ἀκριβεῖς ἐποχαὶ ἡμῖν λαμβάνοντες, διὰ τὸ τὰς ἀπὸ τούτου πρὸς τὸν ζωδιακὸν λαμβανομένας παρόδους τῶν ἀστέρων τὸν αὐτὸν λόγον ἔχειν, ταῖς πρὸς τοῦ αὐτῷ κέντρῳ γινομένης γωνίαις, ἀλλ' ἀπό τινος ἐπιφανείας τῆς γῆς διαμαρτάνειν τῆς ἀκριβοῦς αὐτῆς ἐποχῆς. Ἵνα δὲ κατάδηλα ἡμῖν γένηται τὰ εἰρημένα, ἔστωσαν ὑποδείγματος ἕνεκεν τρεῖς μέγιστοι κύκλοι οἱ ᾱβ γδ εζ, περὶ τὸ αὐτὸ κέντρον τῆς γῆς τὸ η, ἐν ἑνὶ τοῦ διὰ τοῦ κατὰ κορυφὴν τινὸς οἰκήσεως καὶ τοῦ κέντρου τῆς γῆς ἐπιπέδῳ, ἐφ' οὗ καὶ πρότερον τὰς παραλλάξεις καταλαμβάνομεν, καὶ ἀπὸ τούτων τὰς πρὸς τὸν ζωδιακὸν, κατά τε μῆκος καὶ πλάτος, καὶ ὁ μὲν ᾱβ ἐν τῇ τῆς γῆς σφαίρᾳ, ὁ δὲ γδ ἐν τινὶ τῶν κατὰ τῆς σελήνην ἀποστημάτων, ὁ δὲ εζ πρὸς ὃν ἡ γῆ σημείου λόγον ἔχει. καὶ ὑποκείσθω ἡ σελήνη κατὰ τὸ δ, οἴκησις δὲ πρὸς τοῦ α, ὡς ἐν μεγέθει δηλαδὴ τῆς γῆς τυγχανούσης πρὸς τὸ τῆς σελήνης ἀπόστημα. ἀκὸ δὲ τῆς κατὰ τὸ α οἰκήσεως διήχθω ὐθὶ τὸ κατὰ κορυφὴν εὐθεῖα ἡ αγε, καὶ ἐκβεβλήσθω ὑπὸ τὸ η, δῆλον γὰρ ὡς ὑπὸ τὸ κέντρον πεσεῖται, διὰ τὸ τῆς αε πρὸς ὀρθὰς εἶναι τῇ διὰ τοῦ α ἐφαπτομένῃ τοῦ αβ κύκλου παραλλήλῳ τυγχανούσῃ τῇ κοινῇ τομῇ τοῦ τε ὁρίζοντος καὶ τοῦ εζ κύκλου. καὶ ἐπιζευχθεῖσαι αἱ ηδ αδ, διήχθωσαν ὑπὸ τὰ ζ θ. ἔσται ἄρα ἡ μὲν ἀκριβὴς καὶ πρὸς τὸ κέντρον τῆς γῆς λαμβανομένη, τῆς σελήνης ἐποχὴ κατὰ τὸ ζ, ἡ δὲ ἀκὸ τῆς οἰκήσεως καὶ φαινομένη, κατὰ τὸ θ. διαφορὰ δὲ ἔσται τῆς ἀκριβοῦς ἐποχῆς περὶ τῆς φαινομένην ἡ καὶ φαμὲν παράλλαξιν, ἡ ζθ. ἐὰν δὴ νοήσωμεν τοὺς κύκλους ἐν τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ. καὶ γράψωμεν ἐν τῇ τοῦ ἡλίου σφαίρᾳ τὸν οπρ κύκλον, ἐφ' οὗ ὁ ἥλιος κινεῖται, καὶ ὑποθώμεθα αὐτὸν κατὰ τὸ π, καὶ ἐπιζεύξωμεν τῆς ηπσ, δῆλον ὡς ὅτι ὑπὸ τῆς αὐτῆς εὐθείας τυγχάνων, τῆς ἀκὸ τῆς ὄψεως ὑπὸ τῆς σελήνην, ἐκλείπων φανήσεται. καὶ ἔσται ἡ μὲν φαινομένη ἐποχὴ τοῦ ἡλίου καὶ τῆς σελήνης κατὰ τὸ θ, ἡ δὲ ἀκριβὴς, τοῦ μὲν ἡλίου κατὰ τὸ σ, τῆς δὲ σελήνης κατὰ τὸ ζ. καὶ διαμαρτήσομεν κατὰ τῆς ἀκριβῆ ἐποχὴν τῶν φώτων τυγχανόντων, κατὰ τὸ ζ καὶ κατὰ σ. συμβαίνει οὖν τῆς σελήνης, ὑπὸ τοῦ γ κατὰ κορυφὴν τυγχανούσης, μηκέτι τῆς εἰρημένην διαφορὰν ἐκ τῶν παραλλάξεων παρακολουθεῖν, ἀλλὰ τῆς αὐτὴν γίνεσθαι τὴν φαινομένην αὐτῆς ἐποχὴν τῇ ἀκριβεῖ. ὑποκείσθω γὰρ ὐθὶ τοῦ γ κατὰ κορυφὴν. ἐπεὶ οὖν ἀκριβῆ ἐποχὴν φαμὲν εἶναι, τῆς ἀκὸ τοῦ κέντρου τῆς γῆς ὐθὶ τὴν σελήνην ἐκβαλλομένην, φαινομένην δὲ τῆς ἀκὸ τῆς ὄψεως ὑπὸ τῆς σελήνην, καὶ πίπτει ἡ ἀκὸ τοῦ κέντρου τῆς γῆς ὑπὸ τῆς σελήνην ἐκβαλλομένη κατὰ τὸ ε, ἀλλὰ καὶ ἡ ἀκὸ τῆς ὄψεως ὐθὶ τῆς σελήνην ὡσαύτως κατὰ τὸ ε, ὅταν ἄρα κατὰ κορυφὴν τινὸς οἰκήσεως ᾖ ἡ σελήνη, τῆς αὐτῆς ποιεῖται φαινομένην ἐποχὴν τῇ ἀκριβεῖ. Ὅταν δὲ ἀκρενευκυῖα ᾖ ὅπως δήποτε τοῦ κατὰ κορυφὴν σημείου, διαφόρους τε τὰς κλίσεις τῶν προκειμένων εὐθειῶν ἀκτελεῖσθαι, καὶ διὰ τοῦτο τῆς φαινομένην αὐτῆς πάροδον, μὴ τῆς αὐτῆς γίνεσθαι τῇ ἀκριβεῖ, πρὸς ἄλλας καὶ ἄλλας θέσεις τῆς ὄψεως καταβιβαζομένης, τῶν διὰ τοῦ κέντρου τῆς γῆς ἀφοριζομένων ἀναλόγως ταῖς πηλικότησι



τῶν

τῶν ὑπὸ τῶν ἐγκλίσεων γινομένων γωνιῶν. ἐκτεθείσης γὰρ τῆς αὐτῆς καταγραφῆς, ἐὰν ὑποθώμεθα καθ' ἑτέραν τόπον τῆ σελήνην ὡς κατὰ τὸ κ ἀκρονυκτίαν τὴν κατὰ λοξοφλὴ τὴν γκ περιφέρειαν, καὶ ἐπιζεύξαντες πάλιν τὰς γκ ακ ἐκβάλωμεν ἐπὶ τὰ λ ξ, ἔσαι ὁμοίως ἡ μὲν ἀκεμβὰς ἐποχὴ αὐτῆς, καὶ πρὸς τὸ λφ-



τρον τῆς γῆς λαμβανομένην κατὰ τὸ λ, ἡ δὲ ἀπὸ τῆς ὄψεως καὶ φαινομένην, ἡ κατὰ τὸ ξ. παραλλαξις δὲ ὡσαύτως ἡ λξ. λέγω ὅτι ἡ σελήνης ἀφισαμένης ἀπὸ τοῦ ε κατὰ λοξοφλὴ, διάφοροί τε αἱ κλίσεις τῶν εἰρημένων ὑθειῶν ἀποτελοῦσι, καὶ τέσιν αἱ ὑπὸ ηδα ηκα γωνίαι, καὶ αἱ εἰρημέναι παραλλάξεις τοτέσιν αἱ ζθ λξ περιφέρειαι, καὶ μείζονος αἱ πλησιαίτερον τοῦ ὁρίζοντος ἡ πλείονα ἀπέχουσαι τοῦ κατὰ λοξοφλὴ. ὑποκείσθω γὰρ ἡ ακξ ὑθεῖα πρὸς ὀρθὰς τῇ εγαγ, ἵνα ἡ ακξ γὼ ὁρίζοντος ἡ ἐπιπέδου, καὶ διήχθω ἡ ὑπὸ τοῦ ρ, καὶ ἐπεζεύχθωσαν αἱ γρ δρ. καὶ ἐπεὶ ἴση ὑθὶς ἡ δγ, τῇ γρ, ἴση δὲ καὶ γωνία ἡ ὑπὸ ηδρ τῇ ὑπὸ ηρδ, ἀλλ' ἡ ὑπὸ αδρ τῆ ὑπὸ αρδ, μείζων ὀθὶς (ἐπεὶ ἡ πλευρὰ ἡ αρ τῆ αδ μείζων ὀθὶς) λοιπὴ ἄρα ἡ ὑπὸ ηρα λοιπῆς τῆς ὑπὸ ηδα μείζων ὀθὶς. ἴση δὲ ἡ ὑπὸ ηρα τῇ ὑπὸ ηκα. καὶ ἡ ὑπὸ ηκα ἄρα μείζων ὀθὶς τῆς ὑπὸ ηδα. λέγω ὅτι καὶ ἡ λξ τῆς παραλαμβανομένης περιφερείας, μείζων ὀθὶς τῆς ζθ ὁμοίας περιφερείας. ἐπεζεύχθωσαν γὰρ αἱ ξγ θγ. ἐπεὶ οὖν μείζων ὀθὶς ἡ ὑπὸ ηκα γωνία τῆς ὑπὸ ηδα, λοιπὴ ἄρα ἡ ὑπὸ ηκξ λοιπῆς τῆς ὑπὸ ηδθ ἐλάττων ὀθὶ. συνεστάτω τῇ ὑπὸ ηκξ, ἴση ἡ ὑπὸ ηδγ, καὶ ἐπεζεύχθω ἡ γτ. ἐπεὶ οὖν δύο τρίγωνα ὀθὶ τὰ ηκξ ηδτ, μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα τὴν ὑπὸ ηκξ τῇ ὑπὸ ηδτ, καὶ τὰς πρὸς τῷ η πλευρὰς ἀνάλογον, τὴν ἡ λοιπῶν τῶν πρὸς τοῖς ξ, τ γωνιῶν ἑκατέραν ἅμα ἐλάσσονα ὀρθῆς, διὰ τὸ ἡ μείζονι τμήματι αὐτὰς τυγχάνειν, ἰσογώνια ἔσαι τὰ τρίγωνα. ἴση ἄρα ἡ ὑπὸ ξγκ γωνία τῇ ὑπὸ τγδ. μείζων ἄρα ἡ ὑπὸ ξγκ τῆς ὑπὸ θγδ. ὥστε καὶ περιφέρεια ἡ ξλ μείζων ἔσαι τῆς θζ. ὡσαύτως δὲ λαμβανομένων τῶν γ, δ ὑποθώμεθα τὴ σελήνην, μείζων ἔσαι ἡ πρὸς τῷ δ ἀπώτερον τοῦ κατὰ λοξοφλὴ τῆς τε κλίσεως τῶν ὑθειῶν εἰρημένη γωνία, καὶ ἡ τῆς παραλαμβανομένης περιφερείας τὸ ἐγγύτερον τοῦ ἡ λοξοφλὶ. ἡ ἄρα σελήνης τὸ κατὰ λοξοφλὶ ἀφισαμένης, διάφοροί τε αἱ κλίσεις τῶν προκειμένων ὑθειῶν ἀποτελοῦσι, καὶ ἔτι αἱ παραλλάξεις αὐτῆς, καὶ μείζους ἀεὶ αἱ ἀπώτερον τοῦ κατὰ λοξοφλὶ, μέχρι τοῦ ὁρίζοντος τῶν ἐγγύτερον, ἀναλόγως, τουτέσιν ἀκολούθως ταῖς ἀπὸ τοῦ πρώτου σημείου ἀποστάσεσι. Διόπερ συμβέβηκεν ὑπὸ μὲν τῶν ἡλιακῶν ἐκλείψεων τὸ τῆς σεληνιακῆς τὸ ὑποδρομὴς καὶ ἐπιπροσθήσεως γινομένων, ἥτις ἐμπίπτουσα εἰς τὸν ἀπὸ τῆς ὄψεως ἡμῶν ὑπὸ τὸν ἥλιον λῶνον, ποιεῖται τὴ μέχρι ἡ πρώτης λύσεως ἐπισκότησιν. Μὴ θαυμάσῃ τοίνυν τὰς ὡσαύτως μήτε τοῖς μεγέθεσι μήτε τοῖς χρόνοις ἀποτελεῖσθαι. διὰ τὰς οὖν φησι τὰς εἰρημένας παραλλάξεις παρακολουθεῖ τῶν ἡλιακῶν ἐκλείψεων γινομένων τὸ τῶν τῆς σελήνης ἐπιπροσθήσεων, ἥτις ἐμπίπτουσα εἰς τὸν ἀπὸ τῆς ὄψεως ἡμῶν λῶνον, ὑπὸ τὸν ἥλιον, ποιεῖται τὸν μέχρι τῆς παραλύσεως ἐπισκότησιν, μὴ θαυμάσῃ τοίνυν τὰς μήτε τοῖς μεγέθεσι τῶν ἐπισκοτήσεων, μήτε τοῖς χρόνοις ὡσαύτως ἀποτελεῖσθαι, μήτε πᾶσαν ὁμοίως διὰ τὰς εἰρημένας παραλλάξεις ἐπισκοτούσης τῆς σελήνης, μὴ δὲ κατὰ τῶν αὐτῶν μερῶν τοῦ ἡλίου φαινομένας. ἀλλ' οἷς μὲν κατὰ βορειοτέρου μέρους αὐτῆς ἐπισκοτούσης, οἷς δὲ κατὰ νοτιωτέρου, οἷς δ' ἄλλων τινῶν. ἵνα δὲ πάλιν φανερὰ ἡμῖν γένηται τὰ λεγόμενα, νενοήσθω ἡ τῆς σφαίρας ἡ αβγ, πόλος δὲ ὁ η, διήκτω δὲ διὰ τῶν ε ζ ἡμικύκλια τὰ ηεα ηζβ. ἔστω ὁ ἥλιος κατὰ τὸ ε, ζῳδιακὸς δὲ ὁ ζηθκλ. διὰ τοῦ δὲ ἁπλοῦ ἢ ὅτι τῆς γῆς σημείου λόγον ἔχουσης πρὸς τὸ ἀπόσημα τῆς τοῦ ἡλίου σφαίρας, διὰ τὸ ἐλάχιστα κατεπαμβάνεσθαι τὰς τούτου παραλλάξεις (ἐπεὶ καὶ οἱ γνωμονικοὺς, τοιούτους ὑποθέσεσι καταχρωμένους, συμφωνεῖν τοῖς φαινομένοις) κατὰ τὸ ε τυγχάνων ὁ ἥλιος, φαινέσθω τοῦ ρδσ ἀπὸ τῆς ὄψεως λῶνον ὀφθήσεται, κατὰ τὸ αὐτοῦ τμήματος τοῦ ζῳδιακοῦ τοῦ θ τυγχάνων. ὅταν οὖν ἡ σελήνη εἰς τὸν ρδσ ἀπὸ τῆς ὄψεως λῶνον ἐμπίπτουσα ὑπὸ τὸ μ πέραν ᾖ,

θεωρηθήσεται ἀπὸ τῶν ὧν τῆς Γ οἰκήσεως οἰκούντων ὑπὸ τὸν νξ ἀπὸ δ ὄψεως ἰώνου ἐπὶ σκοτοῦσαν ὅλῳ τῷ ἡλίῳ, διὰ τὸ ὑπὸ τῶν αὐτῶν ἀκτινῶν αὐτοῦ περιλαμβάνεσθαι, τῆς σελήνης ἤδη τοῦ θ θεωρουμένης, ἀπὸ δὲ τῶν πρὸς τῇ Α οἰκήσει θεωρηθήσεται ὑπὸ τὸν νξ ἰώνου λόγου γενέσθαι. ἐπεὶ οὐ κατὰ τῶν ν ξ ἐφαπτόντες ἀλλὰ θεῖαι διὰ ἐπισκοτοῦσαι τῷ ἀπολαμβανομένῳ τοῦ ἡλίου μέρει ὑπὸ τῆς ΑΚ ἀκτῖνος, ὧν τοῦ Λ φαινομένη. τοῖς δὲ πρὸς τῷ Β οἰκοῦσι θεωρηθήσεται ὑπὸ τὸν νβξ ἰώνου, κατὰ τοῦ Γ φαινομένη, μηδόλως ἐπιπροδοῦσα ταῖς τοῦ ἡλίου προσλάμψασιν. ὁμοίως δὲ καὶ εἰς τὰ ἑπόμενα διανοεῖσθαι τοὺς τῆς σελήνης, λέξομεν καὶ τὸν αὐτὸν χρόνον διαφόρως αὐτῷ ἐπιπροδοῦσαν τῷ ἡλίῳ. δῆλον δὲ ὅτι ΑΩ ὡς ὧν ἐστὶν ἐν τῷ καταγραφῇ γινόντων, ἐὰν ἀπὸ τῶν Ο Π οἰκήσεων οἷς ἀπὸ τῆς ὄψεως ἰώνοις τῆς σελήνης περιλάβωμεν, κατὰ ἑτέρων καὶ ἑτέρων μερῶν τοῦ ἡλίου γίνεσθαι, ἀλλὰ γοῦν τὰς τοιαύτας αἰτίας παρατεῖνται τὰς ἡλιακὰς ἐκλείψεις περιλαμβάνειν πρὸς τὰς καταλήψεις τῶν ἀκριβῶν, καὶ πρὸς τὸ μέγεθος τῆς γῆς λαμβανομένων ἐποχῶν. ἐπισημότερας κατὰ τὸν ἐπισκοτήσεως χρόνον, οὐχὶ ΑΩ τῇ αὐτῷ ἀκριβῆ τῷ ἡλίῳ ἐποχῇ ἐπέχει ΑΩ ἡ σελήνη. ἔτι δὲ διὰ τὰς εἰρημένας παραλλάξεις τῆς ἀκριβοῦς αὐτῆς ἐποχῆς ἐκπιπτούσης καὶ αἱ πρὸς τοὺς ἀπλανεῖς αὐτῆς ἀστέρας φαινόμεναι σωσοληκαὶ ἐποχαί, διαμαρτήσονται τῆς ἀκριβοῦς. ὁμοίως δὲ καὶ αἱ διὰ τῶν τηρήσεων τῶν διὰ τῶν ἀστρολάβων ὀργάνων, πρὸς ὧν γε τῷ παρόντι βιβλίῳ διαλαμβάνει. ὧδε δὲ τῶν σεληνιακῶν ἐκλείψεων μηκέτι μηδεμίαν ποιεῖσθαι διαφορὰν ἐκ τῶν παραλαμβανομένων ἐπακολουθεῖν, τὸ γινομένου πρὸς τῆς σελήνης ἐκλειπτικοῦ πάθους μὴ συμπαραλαμβάνοντος τῆς τῶν ὁρώντων ὄψιν εἰς τὴν αἰτίαν τοῦ συμπτώματος. Φανεροῦ οὖν ἡμῖν γεγενημένου ἐκ τῶν διεσταλμένων, ὅτι οὐχ οἷόν τε ὅτι τὴν ἀκριβῆ τῆς σελήνης ἐποχὴν θεωρεῖν ὧν τῆς ἡλιακῆς ἐκλείψεως διὰ τὰς εἰρημένας παραλλάξεις, ἀλλὰ πάντοτε αὖθις τῆς ὧν τοῦ κατὰ μεσουρανίαν θέσεως ἡ ὄψις τῆς ἀκριβοῦς αὐτῆς ἐποχῆς διαμαρτάνει, δῆλον ὡς ὅτι ὧν τῶν σεληνιακῶν ἐκλείψεων οὐ τῇ ὄψει τὴν ἐποχὴν τῆς σελήνης παραλαμβάνοντος γε τῆς μέσου χρόνου τῆς ἐκλείψεως καθ' ὃν ΑΩ ἡ ἀκριβὴ συζυγία ἔγγιστα τυγχάνει, ἀλλ' ἀπὸ τῶν κατὰ διαμετρον τῆς ἡλίου καθόλου ὑποθέσεων αὐτὴν καταλαμβάνοντος, οὐ διαπίπτομεν τῆς ἀκριβοῦς, οὕτως δ' ἂν ἡμῖν γένοιτο καὶ τοῦτο πῶς τὸ παρὸν ὡς γε ὑποδείγματι δῆλον. ἔσωσαν γὰρ πάλιν Γ μέγιστοι κύκλοι πρὸς τὸν αὐτὸν κέντρον τῆς γῆς γε τῆς τοῦ ζωδιακοῦ ἐπιπέδου, οἱ ΑΒΓΔ ἐζηθ ΚΛ. καὶ ὁ μὲν ΑΒΓΔ κατὰ τὸ τοῦ ἡλίου ἀπόσημα, ὁ δὲ ΚΛ κατὰ τὸ τῆς σελήνης, ὁ δὲ ἐζηθ κατὰ τῆς γῆς. καὶ ὑποκείσθω ἡ σελήνη κατὰ τὸ Λ. ἡ δὲ ΑΔ τοῦ κέντρου τῆς γῆς καὶ αὐτῆς εὐθεῖα ἡ ΒΔ. ὅταν αρα ὁ ἥλιος κατὰ τὸ Δ γένηται, ἀποτελεῖ ἡ γῆ κατὰ τὴν διαμετρον αὐτοῦ σκιὰν ἰωνοειδῆ σκιάν, καταυγαζομένην ὑπὸ τοῦ ἡλίου διὰ τὸ μείζονα αὐτῆς τὸν ἥλιον καταλαμβάνεσθαι, καὶ ὧν τοῦ μέσου εἶδος τὴν γῆν, καὶ ἀκολούθως τῷ φωτίζοντι τὴν σκιὰν συμπεπλέχθαι ὡς τὴν ἐμὴν, καὶ σκιάσει τὴν σελήνην κατὰ τοῦ Λ τυγχάνουσαν, τουτέστιν ὧν τῆς κατὰ τὸ Β ἀκριβοῦς ἐποχῆς. λαμβάνοντος οὖν ὑφηγητοῦ ὑποκειμένου τὸν χρόνον καθ' ὃν ἡ μεγίστη ἐπισκότησις ἀποτελεῖται, εὑρήσομεν τὴν κατ' αὐτὸν τοῦ ἡλίου ἀκριβῆ ἐποχὴν, ἧς κατὰ τὴν διαμετρον λαβόντος, ἐξόμεν καὶ τὴν κατὰ τὸ Β τῆς σελήνης ἀκριβῆ ἐποχὴν, καὶ δῆλον ὡς ὅτι οὐχὶ τῇ ὄψει αὐτὴν παρειλήφαμεν, ὅπως ἂν τῆς ὄψεως κατὰ τὸ Ε ὧν τοῦ φαίνε-





φαίνεται παραλλάττουσα τῇ βν, ἀλλ' ἀπὸ τῆς κατὰ διάμετρον, τότε τοῦ ἡλίου στάσεως, καὶ οὐδὲν ἐκ τῶν παραλαμβανομένων ἐνταῦθα γέγονεν ἡμῖν διάφορον. τὸ δὲ λεγόμενον περὶ τὴν σελήνην ἐκλειπτικὴν παθὸς, ἡ γῆ ταύτῃ ἐμποιεῖ. ἀΐδιος γὰρ οὖσα καὶ τῆς τῶν θείων κεκοινωνικῆς φύσεως, καὶ πάντῃ ἀπηλλαγμένη τῶν ἐν γενέσει καὶ φθορὰ παθῶν, οὔτε ἀλλοίωσιν οὔτε μείωσιν ὑπομένει. ἀλλὰ τὸ ἴδιον αὐτῆς φῶς ἀμυδρότερον τυγχάνον, καὶ μὴ δυνάμενον πῶς ταῖς ὄψεσιν ἡμῶν προσπεσεῖν, μεταλαμβάνον ἀπὸ τοῦ ἡλίου ἕτερον φῶς, φαίνεται λαμπρότερον, ὡς καταυγαζειν καὶ τὴν γῆν καὶ τὸν ἀέρα. ὅταν οὖν ἡ γῆ ἐπισκοτήσῃ ταῖς τοῦ ἡλίου προσλάμψεσι, τότε μὴ μετέχουσα τοῦ ἡλιακοῦ φωτὸς, ἀλλ' ἐπισκιαζομένη ὑπὸ τοῦ κώνου τῆς σκιᾶς, ἔτι πάλιν ἀμυδροτέρα γίνεται. οὔτε μέντοι καταυγομένη ἀλλοιοῦται, οὔτε ἀποστερουμένη τοῦ ἡλιακοῦ φωτὸς. ἀλλ' ἄφθαρτος οὖσα, τὸ αὐτὸ καὶ ἴδιον αὐτῆς πάντοτε χρῶμα καὶ μέγεθος συντηρεῖ. τὸ δὲ φωτιζομένην αὐτὴν ἔντισι τῶν πανσελήνων μηκέτι κατὰ τὸ εἰωθὸς φωτίζεσθαι, ἀλλ' ἐπισκοτίζεσθαι, παθὸς ἐκάλεσαν. διὰ τὸ δοκεῖν ἀλλοιοῦσθαι αὐτὴν περὶ τῆς ἐνέργειαν. φωτιζομένη γὰρ ἡ σελήνη πάντοτε ὑπὸ τῆς ἡλιακῆς προσλαμψεως ἐπειδὰν κατὰ διαμετρον αὐτῷ γένηται, τὸν μὲν ἄλλον χρόνον φαίνεται ἡμῶν ὅλη πεφωτισμένη. διὰ τὸ πᾶν τὸ προσλαμπόμενον αὐτῆς ἡμισφαίριον, ἅμα καὶ ἡμῖν τότε προσνεύειν, καὶ τὰ ἑξῆς. Ἔχει μὲν ἡ σελήνη καὶ ἀφ' ἑαυτῆς φῶς, ἀμυδρότερον δὲ καθὼς εἴπομεν, καταυγαζομένη δὲ ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων, φαίνεται ἡμῶν οὕτω πεφωτισμένη. φωτίζεται δὲ αὐτῆς πάντοτε ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων μεῖζον ἡμισφαιρίου, διὰ τὸ μείζονα αὐτῆς εἶναι τὸν ἥλιον. καὶ διατοῦτο οὐχ ὑπὸ τοῦ ἐν αὐτῇ μεγίστου κύκλου διορίζεται τότε σκιερὸν αὐτῆς καὶ τὸ λαμπρὸν, ἀλλὰ ὑπὸ ἐλάττονος. δέδεικται γὰρ ταῦτα καὶ Ἀριστάρχῳ καὶ Εὐκλείδῃ. ἐν ταῖς οὖν συνοδικαῖς συζυγίαις κατὰ τῶν αὐτῶν τμημάτων τοῦ ζωδιακοῦ τῶν ἡλίῳ τῆς σελήνης τυγχανούσης, πᾶν τὸ προσλαμπόμενον αὐτῆς μέρος ἄνω τῶν ἡλίῳ προσνεύει. καὶ τὸ ἕτερον καὶ ἀφώτιστον πρὸς ἡμᾶς. ὅταν δὲ ἀποστῇ τῆς συνόδου, τότε τοῦ ἡλίου εἰς τὰ πλάγια αὐτῆς γινομένου, καὶ τὸ προσλαμπόμενον ἀκολούθως εἰς τὰ πλάγια προσνεῦσαν, μέρος τι μηνοειδὲς ποιεῖ ταῖς ὄψεσιν ἡμῶν προσπεσεῖν, καὶ τοῦτο ποτὲ μὲν μετὰ δύο δρόμους, τουτέστι μετὰ νυχθήμερον, ποτὲ δὲ καὶ μετὰ τρεῖς. εἶτα πάλιν ποτὲ μὲν ἑβδομαία τυγχάνουσα, ποτὲ δὲ ὀγδοαία, διχότομος φαίνεται, τεταρτημόριον ἔγγιστα τοῦ ἡλίου ἀποστᾶσα. εἶτα μετὰ τὴν διχότομον ἔτι τοῦ ἡλίου πλεῖον ἀφιστάμενη, καὶ μεῖζον τὸ φωτιζόμενον τῇ ὄψει προσνεύειν ποιοῦσα, φαίνεται ἡμῖν ἀμφίκυρτος, τουτέστι μείζων ἡμικυκλίου. εἶτα πάλιν ποτὲ μὲν εἴσω τῆς πεντεκαιδέκατος, ποτὲ δὲ ὕστερον κατὰ τῆς διάμετρον τῷ ἡλίῳ στάσιν γινομένη, καὶ τῆς ὄψεως ἡμῶν τότε μεταξὺ τῶν φώτων πιπτούσης, πᾶν τὸ προσλαμπόμενον αὐτῆς ἔγγιστα ἡμισφαίριον φαίνεται ἡμῖν. ὅταν δὲ συμβῇ διαμετρουμένην αὐτὴν ὑπὸ τοῦ ἡλίου εἰς τὸν τῆς σκιᾶς τῆς γῆς κῶνον ἐμπεσεῖν, διὰ τὸ καὶ αὐτὸν κατὰ τὴν διαμετρον τοῦ ἡλίου στάσιν πάντοτε τυγχάνειν, τότε γίνεται ἀφώτιστος, ἀναλόγως τῇ τῆς ἐμπτώσεως πηλικότησι, τουτέστιν ἀκολούθως τῷ ἀπολαμβανομένῳ αὐτῆς ὑπὸ τοῦ κώνου τῆς σκιᾶς μέρει. συμβαίνει δὲ τὰς εἰρημένας φάσεις αὐτῆς, βράδιον καὶ τάχιον ἀποτελεῖσθαι, διὰ τὸ καὶ τὰς πρὸς τὸν ἥλιον ἀποστάσεις ἀφ' ὧν αὗται ἀπετελοῦντο, κατὰ δύο τρόπους ποτὲ μὲν μείζονι ποτὲ δὲ ἐλάττονι χρόνῳ γίνεσθαι παρακολουθεῖν, ἕνα μὲν ἐκ τῆς ἀνωμαλίας, ἕτερον δὲ ἐκ τοῦ πλάτους. καὶ ἐκ μὲν τῆς ἀνωμαλίας, διὰ τὸ ποτὲ μὲν κατὰ τῶν ἀπογείων τοῦ ἐπικύκλου αὐτὴν προδεύουσαν καὶ ἀφαιρετικὴν τυγχάνουσαν, ἐλάττονα φαίνεσθαι, τῆς εἰς τὰ ἑπόμενα τῶν ζωδίων μετάβασιν ποιουμένην. καὶ διαιοῦτο βράδιον αὐτὴν ποιεῖσθαι τῆς ἀπὸ τοῦ ἡλίου ὑποχώρησιν. πῆ δὲ πάλιν κατὰ τῶν περιγειοτέρων τοῦ κύκλου τυγχάνουσαν, καὶ προσθετικὴν γινομένην, ταχεῖαν τῆς εἰς τὰ ἑπόμενα κίνησιν φαίνεσθαι ποιουμένην. καὶ διαιοῦτο πάλιν τάχιον αὐτὴν τῆς ἀπὸ τοῦ ἡλίου ἀποχώρησιν ποιεῖσθαι. ἐκ δὲ τοῦ πλάτους, διὰ τὸ πῆ μὲν αὐτὴν ἐν τῇ συνόδῳ βορειοτέραν ἢ νοτιωτέραν τοῦ ζωδιακοῦ τυγχάνουσαν, ἔχειν ἤδη τῆς ἐκ τοῦ πλάτους πρὸς τὸν ἥλιον διάστασιν. καὶ ἐν βραχυτέρῳ χρόνῳ ὀλιγόν τι τῆς κατὰ μῆκος ἀποστάσεως προσλαμβάνουσαν τῆς ἀπὸ τοῦ ἡλίου οἰκείαν τῆς φάσεως ἀποχώρησιν ποιεῖσθαι. καὶ διαιοῦτο τάχιον αὐτὴν φαίνεσθαι τῆς φάσιν ποιουμένην. πῆ δὲ πάλιν ὅταν ἢ μηδόλως κατὰ πλάτος ἀπεχούσης αὐτῆς, ἢ ἐξελάττονος διαστάσεως τοῦ πλάτους συμβαίνει τῆς συνόδου γίνεσθαι, τότε μείζονα ἐκ τοῦ μήκους προσλαμβάνουσαν, βράδιον τῆς πρὸς τὸν ἥλιον οἰκείαν τῆς φάσεως ἀποχώρησιν φαίνεται ποιουμένη δηλαδὴ καὶ τῆς φάσιν. ὅταν δὲ συμβαίνει βορειοτάτην ἢ νοτιωτάτην αὐτῆς ὑπάρχουσαν καὶ προσθετικὴν τυγχάνειν, τότε δηλονότι ταχεῖαν ὡς ἐνὶ μάλιστα τὴν ἀπὸ τοῦ ἡλίου ἀπόστασιν ποιουμένη, ταχεῖαν


β
ν
η
γ
ζ
λ
α
ε
μ
δ


β
η
θ
κ
ε
ζ
λ
δ

ἐπεὶ καὶ ἐν νυκτὶ μόνον τὸ τοιοῦτον σύμπτωμα φαίνεται ὁμοίως ἐπιπροσθεῖν ποιοῦν τὸν γινόμενον ἐν αὐτῷ ὑπὸ τῆς τομῆς τοῦ διὰ τῆς σελήνης ἐπιπέδου τῆς σκιᾶς κύκλον, τῷ ἀπολαμβανομένῳ αὐτῆς ἐν τῷ κώνῳ. ἐὰν γὰρ νοήσωμεν τῆς τῆς γῆς σφαῖραν περὶ κέντρον τὸ α, τὸν δὲ τῆς σκιᾶς κῶνον ὑπὲρ γῆς τὸν βγδ, οἰκήσεις δὲ κατὰ τὰ ζ ε η, τῆς δὲ σελήνην κατὰ μὴ τῆς ἀρχὴν τῆς ἐμπτώσεως περὶ τὸ θ κέντρον, κατὰ δὲ τὸν μέσον χρόνον περὶ τὸ κ, κατὰ δὴ τὸ τέλος τῆς ἀνακαθάρσεως περὶ τὸ λ, ὁμοίως καὶ κατὰ ταυτὸν ὀφθήσεται ταῖς ἀπὸ τῶν ζ ε η, ὄψεσι, μόνον δὲ κατὰ τοὺς χρόνους τῶν ἀπὸ ἀνατολῶν ἢ μεσημβρίας λαμβανομένων ὡρῶν διοίσει κατὰ κλίμα ἡ ἔκλειψις, διὰ τὸ τοῖς μὲν ἀνατολικωτέροις ὕστερον καὶ κατὰ τὸν αὐτὸν χρόνον, τοῖς μὲν, πρὸς ἀνατολὴν φαίνεσθαι τῆς ἔκλειψιν, τοῖς δὲ ὑπὸ τοῦ μεσημβρινοῦ, τοῖς δὴ πάλιν πρὸς ταῖς δυσμαῖς, καὶ εἰς τοὺς μεταξὺ τόπους. διὰ ταῦτα δὴ πρὸς τὴν καθόλου ἐπίσκεψιν τῶν ἀκριβῶν τόπων τῆς σελήνης ἀλλ' οὐ τῶν φαινομένων ὀφειλόντων παραλαμβάνεσθαι, δέδεικται ἡμῖν ὅτι εἴποτε τῇ ὄψει τῆς ἐποχὴν τῆς σελήνης λαμβάνομεν, διαμαρτάνομεν τῆς ἀληθείας, διὰ τὰς εἰρημένας παραλλάξεις. μόνον δὴ ἀκριβῶς τῆς εἰρημένην ἐποχὴν αὐτῆς δυνάμεθα εὑρίσκειν ἐκ τῶν κατὰ τῆς μεγίστην ἐπισκότησιν αὐτῆς χρόνων. καὶ τοίνυν ἀναγκαίου ὄντος πρὸς τὰς εἰρημένας καὶ καθόλου αὐτῆς καταλήψεις τὸν ἀκριβῆ τόπον αὐτῆς καταλαμβάνεσθαι, ἐπειδή περ καὶ τὸ τεταγμένον καὶ τὸ ὅμοιον ὡς τὸ ἀκριβὲς, διὰ τὸ πανταχοῦ τὰς αὐτὰς ἀκριβεῖς καταλαμβάνεσθαι πρὸς τὰ τοῦ ζωδιακοῦ μέρη, ἀναγκαῖον εἶναι προεκτεθεῖσθαι τῶν ἀτάκτων καὶ ἀνομοίων ὡς τῶν φαινομένων. διὰ τὸ πάλιν τὰς παραλλάξεις διαφόρους κατὰ κλίμα ἀποτελεῖσθαι. ταύταις μὲν οὖν ταῖς τηρήσεσι μὴ δεῖν συγχρῆσθαι, ὅσαι διὰ τῶν ὄψεων τὴν ἐποχὴν αὐτῆς καταλαμβάνεσθαι παρασκευάζουσι, μόναις δὲ ταῖς διὰ τῶν ἐκλείψεων αὐτῆς. ἐπειδή περ πρὸς τὰς τοιαύτας ἐπισκέψεις, οὐδὲν πρὸς τὴν τῶν ἐποχῶν αὐτῆς κατάληψιν ἡ ὄψις συμβάλλεται, ὡς μικρῷ πρόσθεν ἀπεδείξαμεν. ἀλλ' ὁ δ' ἂν τμῆμα τοῦ διὰ μέσων τῶν ζωδίων ὁ ἥλιος ἐπέχων εὑρίσκεται κατὰ τὸν μέσον χρόνον τῆς ἐκλείψεως, τουτέστι κατὰ τῆς μεγίστην ἐπισκότησιν, ἐν ᾧ τὸ τῆς σελήνης κέντρον ὑπὸ τοῦ ἡλίου ὡς ἐνὶ μάλιστα ἀκριβῶς διαμετρεῖται, τὸ δὲ ὡς ἐνὶ μάλιστα ἀκριβῶς, ἀντὶ τοῦ ὡς ἐνὶ μάλιστα πρὸς αἴσθησιν ἀκριβῆ. ἀνεπαισθήτου ἄγαν γινομένης τῆς περὶ τῆς διαμέτρου στάσιν παραλλαγῆς, ὡς ἐν τῷ ἕκτῳ βιβλίῳ δείκνυσι, τούτου δῆλον οὗ ἐπέχει ὁ ἥλιος τμήματος τὸ κατὰ διάμετρον ἐφέξει. καὶ τὸ τῆς σελήνης κέντρον πρὸς ἀκρίβειαν, ὑπακουομένου τοῦ ὡς ἐνὶ μάλιστα πρὸς αἴσθησιν, κατὰ τὸν αὐτὸν μέσον χρόνον τῆς ἐκλείψεως. Ὅτι δὲ αἱ παραλλάξεις τῆς σελήνης διάφοροι κατὰ κλίμα καταλαμβάνονται, δῆλον μὲν ἐκ τοῦ ἤδη δεδεῖχθαι, ὅτι τοῦ κατὰ κορυφὴν ἀφισταμένη διαφόρως, διαφόρους καὶ τὰς παραλλάξεις ποιεῖται. ὥστε ἐν τῷ αὐτῷ τόπῳ τυγχάνουσα καὶ ἀδιαφόρως ἀφεστῶσα τοῦ κατὰ κορυφὴν, ὑπὸ τῶν διαφόρων οἰκήσεων, ἀνίσους τοῖς ἐν αὐταῖς οἰκοῦσι ποιήσεται τὰς παραλλάξεις, ἀναλόγως ταῖς ἀπὸ τοῦ κατὰ κορυφὴν ἀποστάσεσι μείζονα ποιοῦσα ἐφ' ὧν πλεῖον ἀφέστηκεν. ἵνα δὲ καὶ διὰ τῶν γραμμῶν ὑπ' ὄψιν ἡμῖν γένηται τὸ τοιοῦτον, ἐκκείσθω ἡ καταγραφὴ τῶν εἰρημένων τριῶν κύκλων, περὶ κέντρον τὸ α, καὶ ἔστωσαν οἰκήσεις κατὰ τὰ β γ σημεῖα καὶ διὰ τῶν κατὰ κορυφὴν αὐτῶν, ἤχθωσαν αἱ αβδ αγε. καὶ ὑποκείσθω ἡ σελήνη κατὰ τὸ ζ, καὶ ἐπεζεύχθωσαν αἱ αζη βζθ γζκ. ἔσται ἄρα ἡ μὴ ἀκριβὴς αὐτῆς πάροδος κατὰ τὸ η, ἡ δὲ φαινομένη ἡ μὲν τῆς β οἰκήσεως κατὰ τὸ θ, παράλλαξις δὲ ἡ ηθ. ὑπὸ δὴ τῆς γ οἰκήσεως κατὰ τὸ κ, παράλλαξις δὲ ἡ ηκ. καὶ μείζων ἔσται ὡς ἔφαμεν ἡ παράλλαξις ἐκείνης τῆς οἰκήσεως, ἐφ' ἧς καὶ πλεῖον ἀπέχει τοῦ κατὰ κορυφὴν ἡ σελήνη. Ὅτι δὲ καὶ κατὰ τὴν διαμέτρου τῷ ἡλίῳ στάσιν πρὸς αἴσθησιν ἡ μεγίστη ἐπισκότησις τῆς σελήνης ἀποτελεῖται, ἐν ᾗ καὶ ὁ μέσος χρόνος ἐκλείψεως θεωρεῖται, δείξομεν οὕτως. ἔστω ἐν τῷ αὐτῷ ἐπιπέδῳ τοῦ διὰ μέσων, ὁμόκεντρος κύκλος ὁ αβγδ. ἐφ' οὗ λόγου ἕνεκεν, τοῦ ἡλίου κέντρον κινούμενον, ὁ δὲ λοξὸς πρὸς αὐτὸν περὶ ὃν ἔφαμεν τὸ τῆς σελήνης κέντρον κινεῖσθαι, ὁ εβζδ. καὶ νοείσθω πάλιν ἀπὸ τοῦ κώνου τῆς σκιᾶς κύκλος ἀποτεμνόμενος, ὑπὸ τοῦ διὰ τῆς σελήνης ἐπιπέδου, ὡς ὁ περὶ κέντρον τὸ η, κατὰ διάμετρον δηλαδὴ ἔχων πάντοτε τὸ τοῦ ἡλίου κέντρον. καὶ καταλαβοῦσα αὐτὸν ἡ



σελήνη διὰ τὸ δείκνυσθαι αὐτὴν, τρισκαιδεκαπλάσιον ἔγγιστα κινεῖσθαι τοῦ κώνου, ἐπεὶ καὶ τοῦ ἡλίου, ἐμπίπτουσα εἰς αὐτὸν πρότερον, ἔξωθεν ἐφαπτέσθω αὐτοῦ κατὰ τὸ ε̄ τυγχάνουσα ἀκριβῶς, καὶ γεγράφθω διὰ μὲν τῶν ε̄η μεγίστου κύκλου περιφέρεια ἡ ε̄η, διὰ δὲ τοῦ ε̄ κέντρου τῆς σελήνης τοῦ αβ̄γδ καὶ ἐν τοῦ αὐτῷ ἐπιπέδῳ τοῦ διὰ μέσων τῶν ζωδίων πρὸς ὀρθὰς μεγίστου κύκλου περιφέρεια ἡ ε̄α, πρὸς ἣν αἱ κατὰ μῆκος ἐποχαὶ τῶν ἀστέρων πάντων λαμβάνοντο. ἔσται ἄρα ἡ ἀκριβὴς αὐτῆς ἐποχὴ καὶ πρὸς τὸν ζωδιακὸν λαμβανομένη κατὰ τὸ ᾱ. μετακινείσθω δὴ πάλιν ἡ σελήνη κατὰ τὸ θ̄, καὶ ἐπισκοτείσθω ὑπὸ τοῦ κώνου τῆς σκιᾶς, καὶ ἔστω ὁ διὰ τῶν θ̄ η̄ κέντρων τῆς σελήνης καὶ τῆς σκιᾶς γραφόμενος μέγιστος κύκλος ὡς ὁ θ̄η πρὸς ὀρθὰς τοῦ αβ̄γδ ὁμοκέντρῳ, καὶ ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὄντι τοῦ ζωδιακοῦ, ὥστε τῆς ἀκριβῆ τῆς σελήνην ἐποχὴν πρὸς τοῦ η̄ τυχάνειν τῆς αὐτὴν γινομένην τῷ κέντρῳ τῆς σκιᾶς δηλαδὴ, καὶ κατὰ διάμετρον τοῦ ἡλίῳ. ἔτι δὲ κατακινηθεῖσα ἡ σελήνη καὶ ἀνακαθαρθεῖσα, ἔξωθεν ἁπτέσθω τοῦ κώνου τῆς σκιᾶς κατὰ τοῦ κ̄ ἀκριβῶς τυγχάνουσα, ἀφ' οὗ πάλιν πρὸς ὀρθὰς γραφείσης τῆς κ̄λ περιφερείας τῷ αβ̄γδ ὁμοκέντρῳ, ἔσται ἡ ὑπὸ τοῦ ζωδιακοῦ κατὰ μῆκος αὐτῆς ἐποχὴ ὑπὸ τοῦ λ̄. καὶ ἐπεὶ δείνυται ἐν τοῖς περὶ τῶν ἐκλείψεων ἐν τοῦ ἕκτῳ βιβλίῳ, ὅτι ὁ ἀπὸ τοῦ η̄ κέντρου τῆς σκιᾶς ὑπὸ τὸν λοξὸν τῆς σελήνης πρὸς ὀρθὰς γραφόμενος μέγιστος κύκλος ὡς ὁ η̄μ, ἀδιάφορον ποιεῖ τὸ μ̄ σημεῖον τῷ θ̄, καὶ ὅτι ὑπὸ τοῦ μ̄ γινομένου τοῦ κέντρου τῆς σελήνης, ἡ μεγίστη ἐπισκότησις καταλαμβάνεται τῆς ἐκλείψεως, διὰ τὸ ἐλαχίστην γίνεσθαι τῆς η̄μ περιφέρειαν πασῶν τῶν ἀπὸ τοῦ η̄ ὑπὸ τῆς ε̄κ περιφέρειαν, τουτέστι πασῶν τῶν τὰ κέντρα ἐπιζευγνυουσῶν, καὶ διατοῦτο ὑπὸ ταύτης τὸ πλεῖστον μέρος ἀπολαμβάνεσθαι τῆς σεληνιακῆς διαμέτρου ὑπὸ τῆς σκιᾶς τῶν κατὰ τὰς ἄλλας παρόδους τῆς ἐκλείψεως. καὶ ὅτι κατὰ μὲν τοῦ θ̄ οὖσα κατὰ διάμετρον τοῦ ἡλίῳ ἐστὶν, κατὰ δὲ τοῦ μ̄ τῆς μεγίστην ἐπισκότησιν ποιεῖται, καὶ ἀδιαφορεῖ τὸ θ̄ τοῦ μ̄, δῆλον ὡς ὅτι ἐν τῇ κατὰ διάμετρον ἔγγιστα στάσει τοῦ ἡλίου, ἡ μεγίστη ἐπισκότησις τῆς σελήνης ἀποτελεῖται. ἔτι δὲ δείκνυσι καὶ διὰ τῶν γραμμῶν ἐν τῷ ἕκτῳ βιβλίῳ, ὅτι ὁ ἀπὸ τῆς ἀρχῆς τῆς ἐκλείψεως μέχρι τῆς μεγίστης ἐπισκοτήσεως χρόνος, ὁ αὐτός ἐστιν ἔγγιστα τῷ ἀπὸ τῆς μεγίστης ἐπισκοτήσεως ὑπὸ τὴν ἀνακάθαρσιν. ὥστε καὶ τὸν μέσον χρόνον τῆς ἐκλείψεως, ἐν τῇ μεγίστῃ ἐκλείψει ἀποτελεῖσθαι. καὶ ταῦτα μὲν ἡμῖν οὕτως τῆς πρὸς τὸ παρὸν σαφηνείας ἕνεκα παρείληπται. διὸ οὐδὲ τὰς ἐπικινήσεις τῶν φώτων ἐπελογισάμεθα. ἀκριβέστερον δὲ περὶ ἑκάστου τούτων, ἐν τοῖς περὶ τῶν ἐκλείψεων διαληψόμεθα.



ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΟΔΙΚΩΝ ΧΡΟΝΩΝ ΤΗΣ ΣΕΛΗΝΗΣ

Ἀφ' οἵων μὲν οὖν τηρήσεων τὰ περὶ τῆς σελήνην ὀφείλοντα καθόλου λαμβάνεσθαι προσήκει σκοπεῖν, διὰ τούτων κατὰ τὸ τυπῶδες ἡμῖν προεκτεθείσθω, καὶ τὰ ἑξῆς. Ὅτι μὲν οὖν ἀπὸ τῶν κατὰ τοὺς μέσους χρόνους τῶν κατὰ τὰς σελήνιακὰς ἐκλείψεις τηρήσεων τὰς τῶν ὁμαλῶν αὐτῆς κινήσεων καταλήψεις τοῦ τε μήκους καὶ τῆς ἀνωμαλίας καὶ τοῦ πλάτους καθολικωτέρας ὡς ἔφαμεν τυγχανούσας προσήκει σκοπεῖν, διὰ τῶν εἰρημένων, ὡς ἐν κεφαλαίοις ἡμῖν προεκτεθείσθω. καθ' ὃν δὲ τρόπον οἱ παλαιοὶ ταῖς τῶν τοιούτων ἀποδείξεων ἐπιβολαῖς ἐχρήσαντο, καθ' ὃν καὶ ὁ Πτολεμαῖος συμφώνως ταῖς ἐκ τῶν φαινομένων καταλήψεσι τὴν διάκρισιν εὐχρηστότερον πεποίητο, πειρασόμεθα ἤδη διεξελθεῖν. ἐπεὶ τοίνυν ἀνωμάλως μὲν ἡ σελήνη φαίνεται κινουμένη, καὶ τὰ ἑξῆς. Ἐπεὶ τοίνυν ἐκ τῶν διὰ τῶν ὀργάνων παρατηρήσεων, ὧν ἑξῆς τήν τε κατασκευὴν καὶ τῆς θέσιν ἔτι τε καὶ τῆς χρῆσιν ἐκτίθεται, ἡ σελήνη μᾶλλον τε καὶ ἧττον φαίνεται κατὰ μῆκος καὶ πλάτος κινουμένη, καὶ μὴ ἰσοχρονίως, μήτε τὸν διὰ μέσων τῶν ζωδίων κύκλον ἀεὶ διερχομένη, τουτέστι κατὰ μῆκος ἀποκαθισταμένη, καθάπερ τὸν ἥλιον καταλαμβανόμεθα πάντοτε

τὴν τοιαύτην ἀποκατάστασιν ποιούμενον ἐν ἡμέραις τξε ιδ μη. μήτε τὴν ὑπὸ τοῦ λοξοῦ πρὸς τὸν διὰ μέσων κίνησιν ἐφ' οὗ τὸ κέντρον αὐτῆς κινούμενον τὰς πρὸς τὸν διὰ μέσων ἀποστάσεις ποιεῖται, καθάπερ ὑπὸ τῆς ἐπάνω καταγραφῆς ἐδηλοῦμεν, ἐν ἴσῳ χρόνῳ ἀποκαθισταμένην, ἥν τινα καὶ φησὶ πλάτους ἀποκατάστασιν. αὕτη δὲ γίνεται ὅταν ἢ ἀπὸ τῶν βορειοτάτων ὑπὸ τὰ βορειότατα παραγίνεται, ἢ ἀπὸ τῶν νοτιωτάτων ὑπὸ τὰ νοτιώτατα, ἢ ὅλως ἀπὸ τοῦ αὐτοῦ πλάτους ὑπὸ τὸ αὐτὸ, ὅταν ἡ σελήνη ὑπὸ τὰ αὐτὰ μέρη τυγχάνῃ τοῦ αὐτοῦ συνδέσμου. ἵνα δὲ καὶ ὑπὸ καταγραφῆς φανερὰ γένηται τὰ εἰρημένα, ἔστω ὁ μὲν αὐτῶν διὰ μέσων κύκλος ὁ αβγδ, ὁ δὲ λοξὸς τῆς σελήνης, ὁ εβζδ, καὶ βόρειον μὲν ἔστω τὸ δεβ ἡμικύκλιον, νότιον δὲ τὸ βζδ. καὶ βορειότατον μὲν σημεῖον τὸ μ, νοτιώτατον δὲ τὸ ν. καταβιβάζων δὲ σύνδεσμος ὁ β. διὰ τὸ ἀπὸ τοῦ μ βορειοτάτου ὡς ὑπὸ τὸ β εἰς τὰ ἑπόμενα αὐτὴν κινουμένην ἀνιέναι ὑπὸ τὸ δ γινομένην, καὶ ἀπὸ τινων σημείων τῶν ε θ ζ λ, ἴσον ἀπεχόντων τοῦ β δ συνδέσμων, πρὸς ὀρθὰς γεγράφθωσαν τῷ αβγδ, αἱ εα θη γζ λκ, ἴσαι δηλονότι τυγχάνουσαι. διὰ τὸ τὰ συσταθέντα τρίπλευρα τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχειν, καὶ μίαν πλευρὰν, μιᾷ πλευρᾷ, καὶ πάντα πᾶσιν, ὡς Μενέλαος ἐν σφαιρικοῖς. καὶ διατοῦτο ὅταν ἀπὸ τοῦ ε ἡ σελήνη ὑπὸ τὸ θ παραγένητε, τὸ μὲν αὐτὸ πλάτος ἀπὸ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου ἀποστήσεται, οὐκέτι δὲ καὶ ἀποκατάστασιν πρὸς τὸν εβζδ ποιήσεται. ὁμοίως δὲ κἂν κατὰ τοῦ ζ, ἢ λ γένηται. ὅταν δὲ ὑπὸ τὸ ἐξαρχῆς σημεῖον τὸ ε παραγένηται ὅ ἐστιν ὑπὸ τὰ ἑπόμενα τοῦ δ συνδέσμου, τότε καὶ ὑπὸ τὸ αὐτὸ πλάτος ἐληλυθυῖα ἔσται. καὶ ἀποκατάστασιν τοῦ τοιούτου κύκλου ποιησαμένη ὑπὸ τὰ αὐτὰ μέρη τοῦ αὐτοῦ συνδέσμου ὡς ἔφαμεν τῆς αὐτὴν ἀπὸ τοῦ διὰ μέσων ἀπόστασιν ποιουμένη. παρακολουθεῖ δὲ τῆς πρὸς τὸν τοιοῦτον κύκλον τοῦ πλάτους ἀποκατάστασιν ἀποτελεῖσθαι, ὅταν ὑπὸ τοῦ βεδ βορειοτέρου ἡμικυκλίου προστιθεῖσα τῇ ἀκριβῇ κατὰ πλάτος ἀποστάσει, πρῶτον καὶ δεύτερον ὑπὸ τὸ αὐτὸ ἀκριβὲς πλάτος παραγένητε, ὡς κατὰ τὸ ε ὑπὸ τὰ ἑπόμενα τοῦ ἀναβιβάζοντος συνδέσμου. διὰ τὸ μειζόνων οὐσῶν τῶν ἀπὸ τοῦ δ συνδέσμου εἰς τὰ ἑπόμενα κατὰ πλάτος ἀποστάσεων, μέχρι τοῦ μ βορειοτάτου προστιθέναι τῆς σελήνην τῷ πλάτει. ὅταν δὲ ἀφαιροῦσα πάλιν πρῶτον καὶ δεύτερον ὑπὸ τὸ αὐτὸ πλάτος παραγένητε, λόγου ἕνεκεν ὡς κατὰ τὸ θ, ἔσται εἰς τὰ προηγούμενα τοῦ καταβιβάζοντος συνδέσμου τῆς ἀποκατάστασιν ποιησαμένη. διὰ τὸ τὰς ἀπὸ τοῦ μ κατὰ πλάτος ἀποστάσεις ὡς ὑπὸ τὸν δεύτερον συνδέσμον ἑξῆς ἀλλήλων ἐλάττον εἶναι. ὅταν δὲ ὑπὸ τοῦ βζδ νοτιωτέρου ἡμικυκλίου παροδεύῃ ἡ σελήνη, ἐὰν μὲν πάλιν καὶ πρῶτον καὶ δεύτερον προστιθεῖσα ὑπὸ τὸ αὐτὸ πλάτος παραγένητε, καὶ λόγου ἕνεκεν ὡς ὑπὸ τοῦ ζ, ἔσται πάλιν ὑπὸ τοῦ ζ τῆς ἀποκατάστασιν ποιησαμένη ὑπὸ τὰ ἑπόμενα τοῦ β καταβιβάζοντος συνδέσμου. ὅταν δὲ ἀφαιροῦσα ὑπὸ τὸ αὐτὸ πλάτος παραγένητε, ἔσται ὁμοίως τῆς ἀποκατάστασιν ποιησαμένη ὑπὸ τὸ λ, εἰς τὰ προηγούμενα τοῦ δ ἀναβιβάζοντος συνδέσμου. δῆλον δὲ ὅτι καὶ ἐὰν ἀπὸ τοῦ μ βορειοτάτου ὑπὸ τὸ αὐτὸ παραγένητε, ἢ ἀπὸ τοῦ ν νοτιωτάτου, καὶ ἀπὸ τοῦ αὐτοῦ πλάτους ὑπὸ τὸ αὐτὸ ἔσται ἐληλυθυῖα, καὶ ἀποκατάστασιν ὑπὸ τοῦ εβζδ λοξοῦ κύκλου ποιησαμένη. καὶ περὶ μὲν τῶν πλατικῶν ἀποκαταστάσεων, τοσαῦτα. ἑξῆς δὲ καὶ περὶ τῶν τῆς ἀνωμαλίας ἀποκαταστάσεων διαληψόμεθα, ἥτις ἀποτελεῖται, ὅταν ἀπὸ τινος σημείου τοῦ ἐπικύκλου ἡ σελήνη ὑπὸ τὸ αὐτὸ παραγένητε, ὅπερ θεωρεῖται ὅταν ἀπὸ τῶν κινημάτων ὑπὸ τὰ αὐτὰ παραγένητε. οἷον ὡς ὅταν ἀπὸ μεγίστων ὑπὸ μεγίστα, ἢ ἀπὸ ἐλαχίστων





ὦν ἐλάχιστα, ἢ ἀφ' οἵων δήποτε ὦν τὰ αὐτά. οὕτω γὰρ ἂν μόνως ἀπό τινος σημείου τοῦ ἐπι-
κύκλου ὑπὸ τὸ αὐτὸ παραγινομένη, ἀποκατάστασιν τῆς ἀνωμαλίας ποιήσεται. διὰ τὸ ἐκ τῆς
ὑπὸ τοῦ ἐπικύκλου τοῦ ἀστέρος κινήσεως τὴν παρὰ τῆς ἀνωμαλίαν κατὰ μῆκος πάροδον τῆς
ἀνωμάλου διαφορὰν τῆς αὐτὴν ἀποτελεῖσθαι, καθάπερ ὑπὸ τῆς κατ' ἐπίκυκλον τοῦ ἡλίου
ὑποθέσεως ἀπεδείκνυμεν. ἵνα δὲ ἡμῖν φανερὰ γένηται τὰ λεγόμενα, ἐκκείσθω ἡ εἰρημένη
ἐν τῷ τρίτῳ βιβλίῳ κατ' ἐπίκυκλον μία τῶν ἁπλῶν ὑποθέσεων. καὶ ἔστω μὲν ὁμόκεντρος
τῷ κόσμῳ κύκλος ὁ αβγδ, περὶ κέντρον τὸ ε. ὁ δὲ ἐπ' αὐτοῦ φερόμενος ἐπίκυκλος, ὁ βζθκ,
περὶ κέντρον τὸ α, ἡ δὲ διὰ τῶν κέντρων διάμετρος, ἡ ζαεγ. ὑποκείσθω δὲ πάλιν καθάπερ
ὦν τοῦ ἡλίου ἐλέγομεν, τὸ μὲν α κέντρον τοῦ ἐπικύκλου εἰς τὰ ἑπόμενα κινούμενον, ὁμα-
λῶς ὡς ἀπὸ τοῦ α ὦν τὸ β. καὶ δηλαδὴ φέρον τὸν ἐπίκυκλον, ἡ δὲ σελήνη ὑπὸ τοῦ ἐπικύ-
κλου τῆς εἰς τὰ προηγούμενα μετάβασιν ποιουμένη, τουτέστιν ὡς ἀπὸ τοῦ ζ ὦν τὸ κ, καὶ τὸ
θ. ἐπειδήπερ καὶ αὐτὴ κατὰ τὸ ἀπόγειον τὴν ἐλαχίστην πάροδον φαίνεται ποιουμένη, τοῦ
ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὑπὸ τὴν μέσην χρόνου, μείζονος καταλαμβανομένου τοῦ ἀπὸ τῆς μέ-
σης ὦν τῆς μεγίστην. καὶ ὑποκείσθω κατὰ τὸ η. ἔστω δὲ καὶ ζωδιακὸς ὁ μνξ, καὶ ἐπιζευχθεῖσα ἡ εη,
ἐκβεβλήσθω ὦν τὸ μ. ἔσται δὴ ἡ ἀκριβὴς αὐτῆς ἐποχὴ ὦν τοῦ μ. λέγω ὅτι ὅταν μὴ ὑπὸ τοῦ ηζκ
τμήματος τυγχάνῃ ἡ σελήνη, ἐλάττονα τῆς ὁμαλῆς κινήσεως φανήσετε κινουμένη, καὶ ἐλά-
χιστα. ὅταν κατὰ τὸ ζ, ὅταν δὲ ὦν τοῦ κθη τμήματος, μείζονα, καὶ μέγιστα ὅταν κατὰ τὸ θ,
ὅταν δὲ περὶ τὰ η κ μέσα, τουτέστι τὰ αὐτὰ τῇ ὁμαλῇ τοῦ ἐπικύκλου παρόδῳ. ἐὰν γὰρ νο-
ήσωμεν ὑπὸ τοῦ ἐπικύκλου ὁμαλῶς εἰς τὰ ἑπόμενα κινουμένην τῆς σελήνην ἐπί τινος τμή-
ματος τοῦ ἐπικύκλου μένουσαν, δῆλον ὡς ὅτι τοσοῦτον φανήσεται μετακινουμένη εἰς τὰ
ἑπόμενα τῶν ζωδίων, ὅσον καὶ ὁ ἐπίκυκλος μετεκινήθη. τουτέστιν ὅσῃ τίς ἐστιν καὶ ἡ ὁμαλὴ αὐ-
τῆς κίνησις. τῆς γὰρ τοῦ ἐπικύκλου κίνησιν ἐλέγομεν εἶναι τῆς ὁμαλὴν τοῦ ἀστέρος κατὰ μῆκος
πάροδον. ἐὰν δὲ ἐν ὅσῳ ὁ ἐπίκυκλος κινεῖτε ἐν τοσούτῳ καὶ ἡ σελήνη ὦν τοῦ ἐπικύκλου ὡς
ἀπὸ τοῦ η εἰς τὰ προηγούμενα κινηθεῖσα ὦν τὸ λ παραγένητε, ἐπιζευχθείσης τῆς ελ καὶ ἐκβλη-
θείσης ὑπὸ τὸ ν, δῆλον ὡς ὅτι ἐλάττονα τῆς ὁμαλότητος τουτέστι τῆς τοῦ ἐπικύκλου μεταβά-
σεως φανήσετε κινηθεῖσα. διὰ τὸ ὦν τὰ ἐναντία αὐτοῦ ἐπικύκλου αὐτὴν τότε μετακεκινῆ-
σθαι, καὶ τοσούτῳ ἐλάττονα, ἡλίκη ἐστὶν ἡ ὑπὸ μεν γωνία, τουτέστιν ἡ μν περιφέρεια. καὶ δῆλον
ὡς ὅτι ἡ ἐλάττωσις ἤτοι ἀφαίρεσις τῆς ἀκριβοῦς κινήσεως, γεγένηται ἐκ τῆς ὦν τοῦ ἐπικύκλου
αὐτῆς μεταβάσεως. τῶν οὖν τοιούτων κατὰ μέρος ἀφαιρετικῶν διαφορῶν μεγίστης κατα-
λαμβανομένης τῆς πρὸς τῷ ζ ἀπογειοτάτῳ τῆς σελήνης θέσεως, καθάπερ ἐν τῷ τρίτῳ
βιβλίῳ ὦν τῆς τοῦ ἡλίου ἀνωμαλίας ἀπεδείκνυμεν διὰ τῶν γραμμῶν, ἵνα μὴ ταυτολογοῦν-
τοῦ μηκύνωμεν τὸν ὑπομνηματισμόν, ἐλάχισται ἔσονται αἱ κατὰ τῆς τοιαύτην θέσιν ἀκρι-
βεῖς καὶ εἰς τὰ ἑπόμενα τῆς σελήνης ὑπὸ τοῦ ζωδιακοῦ μετακινήσεις. διὰ τὸ τῶν τοῦ ἐπικύ-
κλου ὁμαλῶν αὐτῆς εἰς τὰ ἑπόμενα κατὰ μῆκος παρόδων, τῆς μεγίστην τῶν κατὰ μέρος δια-
φορῶν αὐτὴν τότε ἀφαιρεῖν. ὅταν δὲ πάλιν ὑπὸ τοῦ κθη τμήματος τυγχάνῃ, καὶ λόγου ἕνε-
κεν ὡς κατὰ τὸ ο, δῆλον ὡς ὅτι ἡ ἀκριβὴς αὐτῆς πάροδος ἔσται ὑπὸ τοῦ ζωδιακοῦ κατὰ τὸ ν.
ἐὰν οὖν πάλιν ἐν ᾧ ὁ ἐπίκυκλος εἰς τὰ ἑπόμενα τῆς τῆς ὁμαλῆς κινήσεως πάροδον ποιεῖτε,
ἐν τοσούτῳ καὶ ἡ σελήνη ὦν τοῦ η παραγήνετε, δῆλον ὡς ὅτι πλείονα τῆς ὁμαλότητος φα-
νήσεται κινηθεῖσα τῆς ὑπὸ νεμ γωνίαν, τουτέστι πάλιν τὴν νεμ περιφέρειαν. διὰ τὸ ὦν τὰ
αὐτὰ τῇ τοῦ ἐπικύκλου μεταβάσει, καὶ αὐτὴν τότε μετακεκινῆσθαι ἀπὸ τοῦ ο ὑπὸ τὸ η παρα-
γεγενημένην. τῶν οὖν τοιούτων κατὰ μέρος προσθετικῶν διαφορῶν μεγίστης καταλαμβα-
νομένης ὦν τῆς κατὰ τὸ θ περίγειον τῆς σελήνης θέσεως, ὡς ἐν τοῖς περὶ τοῦ ἡλίου ἀπεδείκ-
νυμεν, δῆλον ὡς ὅτι ὑπὸ τούτου τὰ μέγιστα φανήσετε κινουμένου. διὰ τὸ πάλιν τῇ ὁμαλῇ τοῦ
ἐπικύκλου παρόδῳ, τῆς μεγίστην τῶν κατὰ μέρος διαφορῶν, τότε προστίθεσθαι. καὶ ἐπεὶ περὶ
τὰ η καὶ κ τῆς παρόδου οὔσης, ἐπιπολὺ ἀνεπαίσθητος γίνετε ἡ ἐκ τῆς ὑπὸ τοῦ ἐπικύκλου
κινήσεως αὐτῆς παρὰ τῆς ἀνωμαλίαν διαφορά. ἐπειδήπερ τῶν ἀπὸ τοῦ ἀπογείου τοῦ ἐπικύ-
κλου μέχρι τῆς μέσης παρόδου κατὰ μέρος διαφορῶν, ἀεὶ ὑπὸ τὸ ἔλαττον ἀφαιρουσῶν τῆς
ὁμαλῆς παρόδου, καὶ ἀπὸ τῆς μέσης προστιθεῖσαν, ἀκόλουθόν ἐστι καθάπερ στάσιν ἐκεῖ ποι-
εῖσθαι τῆς διαφορὰν. καὶ διατοῦτο τῆς αὐτὴν πρὸς αἴσθησιν τῇ ὁμαλῇ παρόδῳ ἀποτελεῖσθαι τῆς
ἀκριβῆ. καθάπερ καὶ ὦν τῆς ἀνωμαλίας τοῦ ἡλίου κανόνος ἔστιν ἰδεῖν, ὅτι περὶ τὰς ηγ καὶ
σεζ μοιρὰς ἀνεπαίσθητοι ἐπιπολὺ εἰσὶν αἱ τῶν περιεχομένων ἐν τῷ τρίτῳ σελιδίῳ δια-
φοραί, διὰ τὸ ὥσπερ ὦν πλεῖον συνεγγίζειν τῆς ἐφαπτομένης τοῦ ἐπικύκλου τὰς διὰ τῶν πλη-
σιαιτέρων

σιαι τρῶν παρ' ἑκάτερα σημείων διαγομένας ἀπὸ τοῦ κέντρου τοῦ ζωδιακοῦ κύκλου, ὅθεν καὶ τὰς αὐτὰς τῇ τοῦ ἐπικύκλου ὁμαλῇ παρόδῳ ἀκριβῶς κινηθήσεται. ἐπεφύκει δὲ ὡς ἔφαμ

κατὰ τοῦ α τυγχάνοντος, ἡ σελήνη ὑποκείσθω κατὰ τὸ ζ, καὶ ἐπεζεύχθω ἡ δζ. καὶ ἐν ᾧ πάλιν ὁ ἐπίκυκλος ὁμαλῶς ἀπὸ τοῦ α ὠθεῖ τὸ β παραγίνετο, ἐν τούτῳ καὶ ἡ σελήνη ἀνωμαλίας ἀπεκατάστασιν ποιησαμένη, ἐρχέσθω ὠθεῖ τὸ η ὁμοταγὲς τῷ ζ σημείῳ. καὶ ἐπεζεύχθωσαν αἱ δη καὶ βη. λέγω ὅτι καὶ οὕτως ἡ ὑπὸ ζδη γωνία τῆς ἀκριβοῦς παρόδου, ἴση ἐστὶ τῇ ὑπὸ αδβ τῆς ὁμαλῆς. ἐπεὶ γὰρ ὁμοταγὲς ἐστὶ τὸ η τῷ ζ, ἴση ἄρα ἡ εζ τῇ εη. ὥστε καὶ γωνία ἡ ὑπὸ εαζ γωνία τῇ ὑπὸ εβη ἴση ἐστὶ. καὶ λοιπὴ ἄρα ἡ ὑπὸ ζαδ λοιπῇ τῇ ὑπὸ ηβδ ἐστιν ἴση.



καὶ ἐστιν ὡς ἡ δα πρὸς αζ, οὕτως ἡ δβ πρὸς βη. ἴση ἄρα καὶ γωνία ἡ ὑπὸ ζδα τῇ ὑπὸ ηδβ. κοινὴ προσκείσθω ἡ ὑπὸ αδη, ὅλη ἄρα ἡ ὑπὸ ζδη γωνία τῆς ἀκριβοῦς παρόδου, ἴση ἐστὶ τῇ ὑπὸ αδβ τῆς ὁμαλῆς. ὡσαύτως δὴ καὶ αἱ ὠθεῖ τοῦ λοξοῦ ἐκ τῶν ἐκλείψεων καταλαμβανόμεναι ἀκριβεῖς κατὰ πλάτος ἀπεκαταστάσεις, ἤτοι ἴσαι ἢ αἱ αὐταί εἰσι ταῖς ὁμαλαῖς, ὅταν ἀνωμαλίας ᾖ ἀπεκατάστασις. διὰ τὸ τῆς αὐτὴν καὶ ὠθεῖ τούτων εἶναι διαφορὰν τῇ ὠθεῖ τοῦ κατὰ μῆκος παρόδῳ, ὡς ἐν τοῖς ἑξῆς φανερὸν ἔσται. κατὰ πάντα μέντοι τὰ μέρη τοῦ ζωδιακοῦ τά τε μέσα καὶ τὰ μέγιστα καὶ τὰ ἐλάχιστα διὰ τῶν κατὰ μέρος τηρήσεων φαίνετο κινουμένη, καὶ οὐκ καθ' ὡρισμένον τόπον ὡρισμένην ἔχουσα τῆς κίνησιν, καθάπερ ὁ ἥλιος ὠθεῖ τῶν κατὰ σὺν διδύμους μοιρῶν ε λ' πάντοτε τὰ ἐλάχιστα φαίνετο κινούμενος. ἐπὶ δὲ τῶν κατὰ διάμετρον στάσιν, τὰ μέγιστα. ὠθεῖ δὲ τῶν κατὰ τὴν παρθένον καὶ σὺν ἰχθύους, μοιρῶν ε λ', τὰ μέσα. καὶ κατὰ πάντα τὰ μέρη βορειοτάτη καὶ νοτιωτάτη, καὶ κατ' αὐτὸν τὸν διὰ μέσων τῶν ζωδίων κύκλον γινομένη. ἐξήτουν εἰκότως οἱ παλαιοὶ μαθηματικοὶ χρόνον τινὰ δι' ὅσον πάντοτε ἀφ' οἵων δήποτε κινημάτων ἢ τῶν τοῦ ἐπικύκλου σημείων ἡ σελήνη τὸ ἴσον κινηθήσετο κατὰ μῆκος, ὡς τούτου μόνον τῆς ἀνωμαλίαν ἀποκαθιστάνειν δυναμένου, τουτέστιν ἀφ' οὗ δήποτε σημείου τοῦ ἐπικύκλου τὸ αὐτὸ φέρειν τῆς σελήνην. ἐὰν γὰρ πάντοτε ἀφ' οἵων δήποτε κινημάτων ἤτοι προσθετικῶν ἢ ἀφαιρετικῶν ἢ καὶ μέσων, τουτέστιν ὡς ἔφαμεν ἀφ' οἵου δήποτε σημείου τοῦ ἐπικύκλου ἐν τοῖς ἴσοις χρόνοις ἴσας κατὰ μέσων ἀπολαμβάνη, παντελῶς καὶ ἀνωμαλίας ἔσται ἀποκατάστασις, τουτέστιν πάλιν ὡς ἔφαμεν ἀπὸ τοῦ αὐτοῦ σημείου τοῦ ἐπικύκλου ὠθεῖ τὸ αὐτὸ παραγεγενημένη. εἰ γὰρ μὴ, ἀλλ' ἀπελάμβανε τοῦ ἐπικύκλου περιφερείας ἴσας, διὰ τὸ ὁμαλῶς αὐτὴν ὠθεῖ τοῦ ἐπικύκλου κινεῖσθαι, τῶν παρὰ ἀνωμαλίαν διαφορῶν ὠθεῖ τῶν ἴσων τοῦ ἐπικύκλου περιφερειῶν, μὴ πάντως ἴσων οὐσῶν, καθάπερ ἐν τῷ τρίτῳ βιβλίῳ ὠθεῖ τῆς ἡλιακῆς ἀνωμαλίας ἀπεδείκνυμεν, οὐδὲ αἱ κατὰ μῆκος πάροδοι αὐτῆς ἴσαι πάντοτε ἀπετελεθήσονται. ὥστε ἐὰν ἐν τοῖς ἴσοις χρόνοις ἴσαι ὦσι πάντοτε αἱ κατὰ μῆκος πάροδοι, καὶ ἀνωμαλίας ἔσται ἀποκατάστασις. παρατιθέμενοι οὖν ἐξ ὧν εἶχον παλαιοτέρων ἀναγραφῶν τηρήσεις σεληνιακῶν ἐκλείψεων, ἐσκόπουν ποίαν χρόνου διάστασιν πάντοτε ἴσους μῆνα δηλονότι πανσεληνιακοὺς περιέχει, ἐκλειπτικὰς ἐχούσας τὰς ἄκρας πανσελήνους, καὶ ἴσα κινήματα κατὰ μῆκος, ἤτοι ὅλων κύκλων, ἢ καὶ μετά τινων ἴσων περιφερειῶν. ὁλοσχερέστερον μὲν οὖν οἱ ἔτι παλαιότεροι τὸν χρόνον ὑπελάμβανον εἶναι, ἡμερῶν ϛφπε ϛ'. διὰ τοσούτου γὰρ ἔγγιστα ἑώρων, μῆνας μὲν ἀπετελουμένους σκϛ, ἀπεκαταστάσεις δὲ ἀνωμαλίας σλθ, πλάτους δὲ σμβ, περιδρομὰς δὲ μήκους σμα. καὶ ἔτι ὅσας καὶ ὁ ἥλιος ἐπιλαμβάνει ἐν τοῖς ιη κύκλοις μοιρὰς ι ϛβ, ὡς τῆς ἀπεκαταστάσεως αὐτῶν, πρὸς σὺν ἀπλανεῖς ἀστέρας θεωρουμένης. ἐὰν τὰς ϛφπε ϛ' ἡμέρας μερίσωμεν παρὰ τὰς κατειλημμένας τοῖς παλαιοῖς τοῦ ἐνιαυσίου χρόνου ἡμέρας τξε δ, ἕξομεν ἐκ τοῦ μερισμοῦ ἔτη ιη, καὶ ἡμέρας ι ϛ' ϛ', ἐν αἷς τὰς ι ϛβ ἔγγιστα ἐπιλαμβάνει σὺν ιη κύκλους τοῦ ιη ἐτῶν, ὡς συνεπιλογισμένης καὶ τῆς ἐν τοσούτῳ χρόνῳ τοῦ ἀπλανοῦς ἐπικινήσεως, ὡς ἑξῆς δῆλον ποιήσομεν. ὅν τινα χρόνον τῶν ϛφπε ϛ' ἡμερῶν, ἐκάλουν οἱ παλαιοὶ μαθηματικοὶ περιοδικόν, ὡς πρῶτον εἰς μίαν ἀποκατάστασιν ἄγοντα ἔγγιστα τὰς εἰρημένας περιόδους τῶν τε μηνῶν, καὶ τῆς ἀνωμαλίας, καὶ τοῦ πλάτους, καὶ τοῦ μήκους. ἔγγιστα δὲ εἶπε, διὰ τὸ τὴν τοῦ μήκους πάροδον μὴ ὅλους κύκλους περιέχειν, ἀλλὰ καὶ ἐπουσίαν μοιρῶν ι γβ, εἶτα διὰ τὸ ἐπιληφθὲν ϛ τῆς ἡμέρας. ἵνα δὲ ὅλων ἡμερῶν τὸν χρόνον συστήσονται, τριπλασιάσαντες αὐτὸν, ἔχομεν πλάτους ἡμερῶν μυριαδ. α' θψνϛ. ὃν ἐκάλεσαν δεκελιγμὸν, καὶ τὰ ἄλλα δὲ ὁμοίως τριπλασιάσαντες, ἔχον μῆκος μὲν, χξθ, ἀποκαταστάσεις δὲ ἀνωμαλίας ψιζ, πλάτους δὲ ψκϛ, περιδρομὰς δὲ μήκους ψκγ. καὶ ἔτι ὅσας ὁ ἥλιος ἐπιλαμβάνει ἐν τοῖς νδ κύκλοις, μοιρὰς λβ.

ἀφ' ὧν

τοῦ δὲ διὰ μέσων, τὸ βεδ, ἑπόμενα δὲ ὡς ἀπὸ τοῦ β̅ ὑπὸ τὸ ε̅ καὶ τὸ δ̅. καὶ ὑποκείσθω τὸ μὲν β̅ χειμερινὸν, τὸ δὲ ε̅, ἐαρινὸν, τὸ δὲ δ̅, θερινὸν. τῶν δὲ ἀπλανῶν τὶς πρότερον μὲν κατὰ τὸ ζ̅, ὕστερον δὲ κατὰ τὸ η̅. καὶ γεγράφθωσαν διὰ τοῦ κ̅ πόλου τοῦ ἰσημερινοῦ καὶ τῶν ζη μεγίστων κύκλων τεταρτημόρια τὰ κζ θλ κη μν, ὥστε τὸν ἀστέρα πρότερον μὲν κατὰ τὸ ζ̅ τυγχάνοντα, ἀπέχειν τοῦ ἰσημερινοῦ τῆς ζλ, ὕστερον δὲ τὴν η̅ν. καὶ ἐπεὶ ἐκ τῶν τηρήσεων κατελαμβάνεσθαι ὅτι ἡ ζλ τῆς η̅ν διαφέρει σχεδὸν ὅσω καὶ ἡ θλ λόξωσις τῆς μν, δῆλον ὡς ἴση ἔγγιστα καταλειφθήσεται ἡ ζθ τῇ η̅μ. διὸ φησι τὴν αὐτὴν ἔγγιστα κατὰ πλάτος ἀπόστασιν σώζειν τοὺς ἀστέρας, καὶ περὶ τοὺς τοῦ διὰ μέσων πόλους τὴν τῶν ἀπλανῶν μετάβασιν ἀποτελεῖσθαι, ὡς παραλλήλου γινομένου δηλαδὴ τοῦ διὰ τῶν ζη καὶ τῶν λοιπῶν κατὰ τῆς τοῦ ἀστέρος πάροδον σημείων γραφομένου κύκλου τοῦ ζωδιακῷ. οἷον τοῦ ζη. ὅπερ οὐκ ἀληθές. οὐ γὰρ αἱ ζθ η̅μ ἴσαι ἔγγιστα τυγχάνουσαι καὶ διὰ τῶν πόλων εἰσὶ τοῦ ζωδιακοῦ, ὅθεν καὶ τὸ σχεδὸν ἐπήγαγεν. καὶ διὰ τοῦτο αἱ ζλ η̅ν ἀλλήλων οὐχ ὑπερέχουσιν ὅσω καὶ αἱ θλ μν. ἐπεὶ καὶ αὗται διὰ τῶν ζωδιακοῦ πόλων οὖσαι, ἀνεπαισθήτω διαφέρουσαι δείκνυντο, διὰ τοῦ αὐτοῦ θεωρήματος, διὸ οὐ ἐν τοῦ ἕκτῳ βιβλίῳ τὰς πρὸς ὀρθὰς τοῦ λοξῷ τῆς σελήνης βραχεῖ διαφορούσας τῶν πρὸς ὀρθὰς τῷ διὰ μέσων ἐδείκνυμεν. διὸ πιστοῦται μὲν, τὸ μὴ περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους γίνεσθαι τῆς εἰς τὰ ἑπόμενα, τῆς τῶν ἀπλανῶν σφαίρας μετάβασιν, τοῦ τὰς πρὸς αὐτὸν ἀποστάσεις διαφόρους καταλαμβάνεσθαι. ἐμφανὲς δὲ ὅτι περὶ τοὺς διὰ μέσων πόλους, καὶ δῆλον ὡς ἀπὸ χειμερινῆς τροπῆς μέχρι τῆς θερινῆς, ὡς

εἰς τὰ

εἰς τὰ ἐπόμενα, ἡ ὑστεροχὴ πρὸς τὴν ἰσημερινὴν τοῦ ἀστέρος διάστασις, ὡς ἡ ΗΝ, βορειοτέραν ποιεῖ, τῇ κατὰ τὸ Η θέσιν τοῦ ἀστέρος τῆ ΖΛ, ἡ κατὰ τὸ Ζ τοῦ ἀστέρος θέσεως. διὰ τὸ ἐλάττονα εἶναι τὴν ΗΝ τῆς ΖΛ, καὶ βορειότερον γίνεσθαι τὸ Η τοῦ Ζ. ἔτι δὲ λαμβάνοντες κατὰ τῶν Ε ὃ ὑποθώμεθα τὸν ἀστέρα, καὶ πρότερον κατὰ τοῦ Ε, ἡ τοῦ Κ πόλου, καὶ τῶν Ε Ο γράφωμεν μεγάλων κύκλων παραλλήλους ὡς τὰς ΚΕ, κρο, ἀλλ' ὕστερον πρὸς τὸν ἰσημερινὸν κατὰ πλάτος ἀποστάσεις, βορειοτέραν τῶν πρότερον ἀποτελοῦνται. ἐπεὶ καὶ ἡ ρο ὡς ἀπὸ τὰ βόρεια τοῦ ἰσημερινοῦ μείζων δείκνυται τῆς ΕΠ. ὁμοίως δὲ λαμβάνοντες ὡς ἀπὸ τοῦ διὰ τῶν λοξοτάτων καταγραφῆς γράψωμεν τοῦ διὰ μέσων ἡμικυκλίου ὡς τὸ ΕΠ. ὥστε τὸ Ε πρὸς τὸν θερινὸν τροπικοῦ τυγχάνοντα, τοῦ διὰ τῶν Ε πρὸς τὸν μετοπωρινόν, τὸ ΕΠ ἡμικύκλιον, τὸ λοιπὸν εἶναι τοῦ ἀπὸ τῆς Α καταγραφῆς. καὶ ἐπόμενα πάλιν διὰ νοτίου ὡς ἀπὸ τοῦ Ε ἀπὸ τοῦ Ε ἡ τὸ Π. καὶ ὑποθώμεθα τινὰ τῶν ἀπλανῶν πρότερον ὧν τοῦ Ρ, ὕστερον δὲ ἀπὸ τοῦ Σ, ἡ γράψωμεν διὰ τοῦ Τ, πόλου τοῦ ἰσημερινοῦ, τὰ τῦ, τοῦ τεταρτημορίου μεγίστων κύκλων, μείζονος λαμβανομένης τῆς ΡΥ τῆς ΣΦ, ἀλλ' ὕστερον πρὸς τὸν ἰσημερινὸν διάστασις νοτιώτερα τῶν πρότερον ἀποτελοῦνται. ὡσαύτως καὶ ὧν τοῦ ἐπὶ τεταρτημορίου. δῆλον δὲ ὅτι τῶν λοξώσεων ὡς ἐν τῷ πρώτῳ βιβλίῳ ἐδείχθη πρὸς μὲν τοῦ ἰσημερινοῦ, ἐν μείζοσι τῇ διαφορᾷ λαμβάνουσιν, ἐν δὲ τοῖς τροπικοῖς ἐν ἐλάττοσι, καὶ ἀπὸ τοῦ ἀστέρος πρὸς τὸν ἰσημερινὸν κατὰ πλάτος ἀποστάσεις ἀκολούθως τοῖς φαινομένοις, πρὸς μὲν τοῖς ἰσημερινοῖς ἐν μείζοσι λαμβάνουσαι τὰς διαφορὰς, πρὸς δὲ τοῖς τροπικοῖς ἐν ἐλάττοσι, τῇ πρὸς τὸν διὰ μέσων ὡς ἔφαμεν τοῦ πόλου πάντοτε ἐμφανιζούσῃ, διπλασιαζομένῃ τῇ πρὸς τοῦ διὰ μέσων πόλους τῶν ἀπλανῶν ἀστέρων σφαίρας μετάβασιν. ἔτι δὲ καὶ διὰ αὐτῶν τοῦ πρὸς τὴν ἰσημερινὸν κατὰ πλάτος ἀποστάσεων πάλιν, ὅτι καὶ ἐν τοῖς Ρ ἔτεσιν, τῆς μιᾶς μοίρας εἰς τὰ ἐπόμενα μετάβασιν ποιεῖται, ἐκ τοῦ τὰς ὑπ' αὐτοῦ καταλειπομένας ἐν τῷ πλάτος ἀποστάσεις, ὁσούτῳ διαφέρειν τὸν ὑπὸ τοῦ Ι ἀπάρχου καταλειπομένων, ὅσῳ ἐλάττονα διαφέρουσιν αἱ κατὰ τὸ οἰκεῖον τμήματον τοῖς μεταξὺ τῶν τηρήσεων σχεδὸν ἔτεσιν ἐπιβάλλουσαι τοῦ διὰ μέσων μοῖραι Β γβ, τοῦ πρὸς τὸν ἰσημερινὸν πλάτους. ὡς γὰρ ἐπὶ μιᾶς ἢ δυοῖν τῶν ἐκτεθειμένων τηρήσεων, οὐδὲν μὲν τῆς πλειοψηφίου τὸ πλάτος ὡς πρὸς τὸν ἰσημερινὸν ἀναγέγραπται κατὰ μὲν τὸν Ι ἄπαρχον, μοίρας ιε ς', καθ' ἡμᾶς δὲ μοίρας ιε δ. δῆλον οὖν ὡς ἐν τοῦ μεταξὺ τῶν τηρήσεων χρόνου πορευομένου ἔτη σξε, βορειότερος γέγονε μοίρᾳ καὶ ἑξηκοστὰ ε, ὅσον ἐλάττονα ἐπιβάλλει καὶ ἐκ τοῦ τῆς λοξώσεως μανονίου ταῖς πρὸ τὰ τελευταῖα τοῦ μείου ἐπιβαλλάσαις τοῖς σξε ἔτεσι τοῦ μήκους μοίραις Β, παρακειμένῃ λοξώσεως ι λε ἔγγιστα, ταῖς δὲ κθ γβ ἐπιβάλλειν, ια λς. καὶ διπλασιασθεῖσαι ταῖς τοῦ μήκους μοίραις Β γβ ἐπιβάλλειν μοίραν α ἔγγιστα, αὐτὶ τοῦ α ά. διὸ τὸ ἐλάττον αὐτῷ εἴρηται. ἔτι δὲ ἐν τῷ διὰ τῶν Τ τοῦ ἀνὰ μέσον ἀστέρος, παραπίπτει ἐν τοῖς μεταξὺ τῶν σξε ἐτῶν βορειότερον αὐτὸν γεγενημένον τετράσιν ἔγγιστα πέμπτοις, ὅσα πάλιν ἐπιβάλλει ταῖς πρὸ τὰ μετὰ τὸν ταύρου μοίραις Β γβ. ἐπειδήπερ ταῖς μὲν ἀπὸ τοῦ ἰσημερινοῦ μοίραις με παράκειται λοξώσεως ιε λζ, ταῖς δὲ μζ γβ, ἐπιβάλλει ιζ γβ ἔγγιστα. καὶ διὰ τοῦτο ταῖς ταῖς Β γβ τοῦ μήκους μοίραις ἐπιβάλλει τὰ δ ἔγγιστα τῆς μιᾶς μοίρας. ὡσαύτως ἐν τοῖς ἐκ τῶν ἄλλων λαμπρῶν ὁμοιότητα.



ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΤΗΣ ΑΝΑΓΡΑΦΗΣ τῶν ἀστέρων.

ΠΑρατηρήσεσι πισωσάμενοι πρὸς τοὺς τοῦ διὰ μέσων κύκλου πόλους, τῇ τῶν μιᾶς μοίρας μετάβασιν τῶν ἀπλανῶν ἀστέρων ἐν τοῖς Ρ ἔτεσιν εἰς τὰ ἐπόμενα ἀποτελεσθεῖσι, ἐφ' ὅσον ὁμοίως μέχρι τῶν κατ' αὐτὸν τηρήσεων χρόνος ὑπερβάλλει, καὶ τὴν διάμετρον ἡγεῖται καὶ τὰς τῶν λοιπῶν καταδήλων ἀστέρων ἀπλανῶν ἐποχὰς μήκους τε καὶ πλάτους πρὸς τὸν διὰ μέσων θεωρουμένας ἐκθέσθαι, ὧν τοῦ διὰ τῶν πόλων αὐτοῦ καὶ ἑνὸς ἑκάστου τῶν ἀπλανῶν γραφομένου μεγίστου κύκλου. ἐπεισήπερ ὡς ἔφαμεν κινοῦν-

θόν ἐστιν ὑπὲρ τῶν οὕτω γραφομένων κύκλων τὰς αὐτὰς κατὰ πλάτος ἀποστάσεις αὐτοὺς συν-
τηρεῖν πρὸς τὸν διὰ μέσων συμφώνως ταῖς ἐκ τῶν τηρήσεων καταλήψεσι, καὶ τὰς κατὰ
μῆκος εἰς τὰ ἑπόμενα μεταβάσεις ἐν τοῖς ἴσοις χρόνοις, ἴσας τοῦ διὰ μέσων ἀπολαμβάνειν.
ὅθεν ἐπὶ αὐτῷ ὀργάνῳ συγχρησάμενος, διὰ τὸ τοὺς ἀστρολάβους ἐν αὐτῷ κύκλους περὶ τοὺς
τοῦ διὰ μέσων πόλους ἐσχηκέναι τὴν περιφορὰν, καὶ τηρήσας ὅσους δυνατὸν ἦν μέχρι σ̅ς̅ με-
γέθους διοπτεύειν τὸν εἰρημένον τρόπον ἐν ἀρχῇ τοῦ βιβλίου περὶ τῆς τοῦ ἀστρολάβου χρή-
σεως ἐξέθετο διὰ τὸ πρόχειρον τὴν τῆς στερεᾶς σφαίρας ἀστερισμὸν, καὶ ἔτι τὰς τῶν κατὰ τὰς
τηρήσεις ἐποχῶν τῶν πλανομένων ἐπισκέψεις, τὰς κατὰ μῆκος καὶ πλάτος αὐτῶν ἐπο-
χὰς κανονικῶς, ὑπὲρ μέρη δ̅ παραθεὶς, ἐν μὲν τοῖς πρώτοις τὰς μορφώσεις, ἐν δὲ δευτέροις,
τὰς κατὰ μῆκος ἐποχὰς, εἰς τὴν ἀρχὴν τῆς Ἀντωνίνου Βασιλείας ἐκ τῶν τηρήσεων συνα-
γομένας, τουτέστι τὰς ἀπὸ τοῦ χρόνου τῶν τηρήσεων αὐτοῦ ἐποχὰς, εἰς τὴν ἀρχὴν τῆς Ἀν-
τωνίνου Βασιλείας ἀναλόγως τῇ τῆς α̅ μοιρὰς ἐν τοῖς ἑκατὸν ἔτεσιν εἰς τὰ ἑπόμενα μετα-
βάσει, ὡς τῶν ἀρχῶν τῶν δωδεκατημορίων ὑπὲρ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων
τυγχανόντων. ἐν δὲ τοῖς τρίτοις τὰς κατὰ πλάτος αὐτῶν ἀπὸ τοῦ διὰ μέσων ἀποστάσεις
ἐφ' ἑκάτερα οἰκείως. ἐν δὲ τοῖς τετάρτοις, τὰς τῶν μεγεθῶν τάξεις, τῶν μὲν κατὰ πλά-
τος διαστάσεων, τῶν αὐτῶν ἀεὶ μενουσῶν, τῶν δὲ κατὰ μῆκος κατὰ τὸν ἐφεξῆς χρόνον προσ-
λαμβανουσῶν τὰ ἐπιβάλλοντα τῆς κατὰ μῆκος παρόδου ἀναλόγως ὡς ἔφαμεν τῇ τῶν ρ̅
ἐτῶν τῆς μιᾶς μοιρᾶς εἰς τὰ ἑπόμενα μεταβάσει, κατὰ δὲ τὸν παρεληλυθότα ἀφαιρουσῶν.

Τέλος τοῦ ἑβδόμου.

ΘΕΩΝΟΣ ΑΛΕ

ΞΑΝΔΡΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΟΓ-
δοον τῆς συνταξεως.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΣΤΕΡΕΑΣ
σφαίρας.



Διεξελθὼν ὁ Πτολεμαῖος ἐν τῷ ἑβδόμῳ βιβλίῳ ὅτι οἱ ἀπλανεῖς ἀστέρες τὴν αὐτὴν ἀεὶ θέσιν συντηροῦσιν ἀλλήλοις, καὶ ὅτι ἡ τῶν ἀπλανῶν σφαῖρα εἰς τὰ ἑπόμενα τοῦ διὰ μέσων τῶν ζωδίων μετακινεῖται περὶ τοὺς τοῦ διὰ μέσων πόλους, καὶ περὶ τοῦ τρόπου τῆς ἀναγραφῆς τῶν ἀπλανῶν ἀστέρων, καὶ ἔτι τῆς ἐκθέσεως τοῦ κατὰ τὸ βόρειον ἡμισφαίριον ἀστερισμοῦ, ἑξῆς ἐν τούτῳ τῷ βιβλίῳ ῃ τυγχάνοντι, ἐκθέμενος πάλιν κανονικῶς τὸν τοῦ νοτίου ἡμισφαιρίου ἀστερισμὸν, καὶ διαλαβὼν περὶ τῆς τοῦ γαλακτος ζώνης χροιᾶς, ἀφ' ἧς καὶ τὴν ὀνομασίαν ἔσχε, καὶ τῆς θέσεως, τουτέστι διὰ ποίων ἀπλανῶν ἀστέρων ἔρχεται, καὶ κατὰ ποίων μαλιστα μερῶν πεπύκνωται τὸ γαλα, ἢ καὶ ἄραι ὁτερον τυγχάνει, ἢ καὶ διαλείμματα ποιεῖται, ἢ καὶ διπλοῦν φαίνεται, ἑξῆς πάλιν διαλαμβάνει περὶ τῆς κατασκευῆς τῆς στερεᾶς σφαίρας, τουτέστιν ὃν τρόπον χρὴ καταγράφειν σφαίραν, ἐξ ὕλης τινὸς εὐτόνου καὶ τεταγμένης κατασκευασθείσης, τουτέστι μήτε σκληρᾶς ἄγαν πρὸς τὸ εὐκόπως δύνασθαι τορνεύεσθαι, μήτε μαλακῆς πρὸς τὸ διαστροφὴν ἢ φθορὰν ὑπομεῖναι, ὑπὲρ τοῦ καὶ τὴν εἰκόνα τῆς τῶν ἀπλανῶν ἀστέρων σφαίρας ἔχειν ἡμᾶς ὑπὸ σφαιρικῆς τινὸς ἐπιφανείας καταγεγραμμένην ἀκολούθως τῇ εἰς τὰ ἑπόμενα αὐτῆς μεταβάσει, ὅπως τῇ τοιαύτῃ γραφῇ ἐνεθίζοντες, ῥᾳδίαν καὶ τὴν ἐκ τῆς περὶ τοὺς ἀστέρας ἀναθεωρήσεως, ἐπίστασιν ποιώμεθα. καὶ φησὶ πρῶτον δεῖν ἐν τῷ τῆς σφαίρας ἐπιφάνειαν προσεοικέναι πῶς κατὰ τὸ χρῶμα τῷ τῆς νυκτὸς ἀέρι, ἐν ᾧ καὶ τὰ ἄστρα φαίνεται. ἔπειτα λαμβάνειν ἐπ' αὐτῆς σημεῖα β̄ κατὰ διάμετρον ἀκριβῶς, ἅ τινα λαμβάνεται γραφόντων ἡμῶν πόλω τινὶ καὶ διαστήματι ὡς οἷόν τε μείζονι διὰ τὸ πρόχειρον κύκλον, καὶ λαμβανόντων ἡμῶν ὡς μεμαθήκαμεν τὸν πόλον αὐτοῦ ὅς ἐστι κατὰ διάμετρον τῷ ἐξαρχῆς, ἢ καὶ ὀργανικῶς διὰ τὸ πρόχειρον πάλιν ἀπό τινος ἐπ' αὐτῆς σημείου γραφομένου κύκλου ὡς οἷόν τε μείζονος. καὶ εἰς τεταρτημόρια ἴσα τοῦ κύκλου διαιρουμένου διὰ κανονίου κεκλασμένου καὶ περιφορᾶς ἀκριβῶς τῆς ἐπιφανείας τῆς σφαίρας ἐφαπτομένου, καὶ ἐκβαλλομένων τῶν κατὰ τὰ τεταρτημόρια τομῶν ὑπὸ τὰ ἕτερα μέρη τῆς σφαίρας, τὸ σημεῖον καθ' ὃ αἱ ἐκβαλλόμεναι τομαὶ τέμνουσιν ἀλλήλας, ὁ ἕτερος ἔσται πόλος τοῦ κύκλου, καὶ κατὰ διάμετρον δηλονότι τῷ ἐξαρχῆς εἰλημμένῳ πόλῳ. ἐπειδήπερ κἂν ἀπὸ τοῦ ἐξαρχῆς ληφθέντος σημείου ἐν τῇ σφαίρᾳ ὑπὸ τὸ τοῦ κύκλου ἐπίπεδον καθέτως ἀχθῇ, καὶ δι' αὐτῆς ὅπως δήποτε ἐπίπεδον ἐκβληθῇ, ὁ γινόμενος ὑπὸ τοῦ ἐπιπέδου ἐν τῇ σφαίρᾳ μέγιστος κύκλος, ὀρθός ἐστι πρὸς τὸν ἐξαρχῆς. ἔπειτα γράφομεν κύκλον μέγιστον, ἤτοι πάλιν κλωμένῳ κανονίῳ, γράφοντες τὸ μεταξὺ τῶν πόλων ἡμικύκλιον, καὶ τοῦτο δίχα διαιροῦντες πόλῳ ἑνὶ τῶν ληφθέντων καὶ διαστήματι τῷ τῆς διχοτομίας, ὅ ἐστιν τῇ τοῦ τετραγώνου πλευρᾷ, γράφομεν μέγιστον κύκλον, ᾧ χρησόμεθα πάντοτε, ἀντὶ τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου, καὶ λαβόντες ἐπ' αὐτοῦ σημεῖον τι, καὶ ἐπ' αὐτοῦ τοῦ σημείου θέντες τὸ ἓν μέρος τοῦ διαβήτου. τὸ δὲ ἕτερον διαστήσαντες ἴσον τῷ ἐκ τοῦ πόλου τοῦ διὰ μέσων, ἐπ' αὐτὸν διαστήματι ὃ καὶ τεταρτημόριον ἐστὶ τοῦ αὐτοῦ κύκλου, γράψομεν διὰ τῶν εἰρημένων τοῦ διὰ μέσων πόλων μέγιστον κύκλον, ὃς ἔσται δηλονότι πρὸς ὀρθὰς αὐτῷ. ἐπεὶ καὶ

δὰ τῶν πόλων ἔστιν αὐτοῦ. ἀπὸ μιᾶς οὖν τῶν τομῶν καθ' ἃς ἀλλήλους οἱ κύκλοι, οὗτοι ἀλλήλας τέμνουσιν ἀρξάμενοι, διελοῦμεν τὸν δὰ μέσων εἰς τὰ τξ τμήματα, παρατιθέντες αὐτοὺς τοὺς ἀριθμοὺς, ἢ κατὰ πενταμοιριαίαν διάστασιν, ἢ δι' ὅσων ἂν εὔχρηστον καταφαίνειτο, ἔπειθα ποιήσαντες ἐξ ὕλης εὐτόνου ἤτοι χαλκῆς ἢ καὶ ξυλίνης β κύκλους τετραγώνους ταῖς ἐπιφανείαις καὶ ἀκριβῶς πανταχόθεν τετορνευμένους, τὸν μὲν ἐλάσσονον ἐφαπτόμενον τῆς σφαίρας δι' ὅλης τῆς αὐτῆς κοίλης ἐπιφανείας, τὸν δὲ, μικρῷ μείζονα τούτω. ὥστε τὴν μέχρι τῆς κοίλης ἐπιφανείας αὐτοῦ διάμετρον μικρῷ μείζονα εἶναι τῆς μέχρι τῆς κυρτῆς ἐπιφανείας τοῦ ἐλάττονος κύκλου διαμέτρου, καταγράψομεν κατὰ τῆς κυρτῆς ἐπιφανείας ἑκατέρου τὰς δίχα διαιρούσας ἀκριβῶς τὰ πλάτη αὐτῶν, καὶ δὰ τούτων τῶν γραμμῶν ἐκτεμνόντες ὑπὸ τὸ ἥμισυ τῶν περιμέτρων τὰς ἑτέρας τῶν ὑφ' αὐτῶν ἀφοριζομένων πλευρὰς, διελοῦμεν καὶ τὰ τῶν ἐκτομῶν ἡμικύκλια εἰς ρπ τμήματα. ἐκτέμνομεν δὲ εἰς τὸ ἥμισυ τοῦ πλάτους τοὺς κρίκους, ἐπεὶ καὶ τὸ δὰ τῆς μέσης τοῦ κρίκου γραμμῆς ἐπίπεδον, δὰ τοῦ κέντρου τῆς σφαίρας τυγχάνοντας τὰς κατὰ τὰς ἐκτομὰς διαιρέσεις τῶν κύκλων ὑπὸ μεγίστου κύκλου ποιεῖ. τούτων δὴ γενομένων, τὸν μὲν ἐλάσσονα τῶν κύκλων παραλαμβάνοντες τὸν ἐσόμενον ἀεὶ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ δὰ μέσων, καὶ ἔτι δὰ τῶν τροπικῶν σημείων ὃν ἑξῆς ὑπεδείκνυμεν τρόπον, καὶ διατρήσαντες μέσον κατὰ διάμετρον πρὸς τοῖς πέρασι τῆς ἐκτομῆς στερεωματίων μικρῶν καταλειπομένων, προσαρμόσομεν περονίοις τισὶ πρὸς εὖ εἰρημένους ἐν τῇ σφαίρᾳ πόλους τοῦ δὰ μέσων τῶν ζωδίων, ὥστε δύνασθαι περιάγεσθαι αὐτὸν καθ' ὅλης τῆς σφαιρικῆς ἐπιφανείας. ἕνεκεν δὲ τοῦ λαμβάνειν τινὰ μένουσαν ἀρχὴν τοῦ τῶν ἀπλανῶν ἀστερισμοῦ πρὸς ἣν καὶ οἱ ἀπλανεῖς τὴν αὐτὴν θέσιν ἀεὶ συντηροῦσι, δὰ τὸ μὴ πιθανὸν εἶναι κατ' αὐτοῦ τοῦ ἐν τῇ σφαίρᾳ γραφέντος τοῦ ζωδιακοῦ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα παρατιθέναι, ἐπειδήπερ θέσει μενόντων τῶν ὑπὸ τῆς σφαίρας λαμβανομένων, σημείων, ἀναγκαῖον ἐστὶ τοὺς καταστεριζομένους ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας ἀπλανεῖς ἀστέρας, τὴν αὐτὴν διάστασιν πάντοτε συντηρεῖν ἀπὸ τῶν ἐν τῇ σφαίρᾳ λαμβανομένων τροπικῶν καὶ ἰσημερινῶν σημείων, ὅπερ αἱ τηρήσεις οὐχ ὑποβάλλουσι, δὰ τὴν εἰρημένην εἰς τὰ ἑπόμενα τῶν ἀπλανῶν ἀστέρων μετάβασιν, λαμβάνειν τὸν λαμπρότατον αὐτῶν, λέγω δὴ τοῦ ἐν τῷ στόματι τοῦ κυνὸς κατὰ τοῦ πρὸς ὀρθὰς τῷ ζωδιακῷ ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας γραφέντος κύκλου, τοῦ καὶ τὴν ἀρχὴν τῆς διαιρέσεως τοῦ δὰ μέσων εἰς τὰς τξ μοιρὰς πεποιηκότος, τὰς ἀπογεγραμμένας ἀπὸ τοῦ δὰ μέσων κατὰ πλάτος ἐν τῇ κανονογραφίᾳ μοιρὰς ἀπέχοντα, ὡς πρὸς τὸν νότιον πόλον, ἐκ τῆς κατὰ τὸν ἐλάττονα τῶν κρίκων διαιρέσεως. ὥστε τὸ εἰρημένον τῆς ἀρχῆς τῆς διαιρέσεως τοῦ δὰ μέσων σημεῖον, τῆς κατὰ μῆκος αὐτοῦ ἐποχὴν, περιέχειν. ἐφ' ἑκάστου δὲ λοιπὸν τῶν ἄλλων ἀπλανῶν ἀστέρων κατὰ τὸ ἐξ τῆς ἀναγραφῆς τὰς σημειώσεις ὁμοίως ποιησάμεθα, δὰ τὰς κατὰ τῆς ἐκτετμημένην τοῦ ἐλάσσονος κρίκου πλευρὰν διαιρέσεως. παράγουσα γὰρ ἀεὶ τὴν ἐπιφάνειαν αὐτοῦ πρὸ τοῦ δὰ μέσων σημείου, τοσαύτας μοιρὰς ἀπέχον τῆς τοῦ κανονίου κατὰ μῆκος ἐποχῆς ὅσας, καὶ ὁ ἐπιζητούμενος ἀστὴρ ὑπὸ τῆς κανονογραφίας ἀπέχει. ἐρχόμενοι τε ὑπὸ τὸ τῆς παρευνηνεγμένης καὶ διηρημένης τοῦ κύκλου πλευρᾶς σημεῖον, τοσαύτας πάλιν ἀπέχον τοῦ δὰ μέσω μοιρὰς κατὰ πλάτος ὅσας καὶ ὁ ἀστὴρ κατὰ τὴν τῆς κανονογραφίας ἀναγραφὴν ἀφέστηκεν, οἰκείως ἤτοι πρὸς τὸν βόρειον ἢ τὸν νότιον πόλον τοῦ δὰ μέσων σημειωσόμεθα κατὰ τούτου τὸν τοῦ ἀστέρος τόπον, προστεθέντες ἐφεξῆς τὸ ξανθὸν, ἢ τὸ ἐπ' ἐνίων. διασημαινόμενον χρῶμα συμμέτρως καὶ ἀκολούθως ταῖς ἑκάστου κατὰ τῆς ἀναγραφὴν τῶν μεγεθῶν πηλικότησι, τοὺς μέντοι τῶν μορφώσεων ἑνὸς ἑκάστου ζωδίου σχηματισμοὺς ὡς ἐνὶ μάλιστα ἁπλουστάτους ποιησόμεθα, μὴ ποικίλοις χρώμασιν, ἀλλὰ γραμμαῖς μόναις ἐμπεριλαμβάνοντες, πάντας οἰκείως τοὺς περὶ τὴν αὐτὴν μόρφωσιν ἐναγραφέντας ἀστέρας, καὶ ταύτας οὐ πολλῷ τοῦ τῆς σφαίρας χρώματος διαφερούσας ἵνα μήτε τὸ τῆς ἐπιγνώσεως αὐτῶν χρήσιμον παραλελειμένον ὑπάρχῃ, μήτε ἡ τῶν ποικίλων χρωμάτων παράθεσις ἀφανίζει τὴν πρὸς τὴν ἀλήθειαν τῆς εἰκόνος ὁμοιότητα, εὐμαρεστάτη δὲ ἡμῖν καὶ εὐμνημόνευτος ἔσται ἡ κατὰ τὴν προσβολὴν τῆς ἀναθεωρήσεως ἐπίγνωσις τῶν ἀπλανῶν ἀστέρων συνεθιζομένοις ὑπὸ τῆς σφαιρικῆς εἰκόνος γυμνῇ τῇ τῶν ἀστέρων φαντασίᾳ.

προσεν-

προσεντάξαντες καὶ τὴν τοῦ γαλαξίου θέσιν ἀκολούθως πάλιν τοῖς προδεδηλωμένοις τόποις τε καὶ σχηματισμοῖς, ἢ πυκνώμασιν ἢ ἀραιώμασιν ἢ καὶ διαλήμμασι, προσαρμοσώμεθα καὶ τὸν μείζονα τῶν κρίκων ἐσόμενον δὲ ἀεὶ μεσημβρινὸν τῷ ἐλάττονι, καὶ ἐφαπτομένῳ τῆς σφαίρας τῇ κοίλῃ αὐτοῦ ἐπιφανείᾳ ἀποστήσαντες ἐπ' αὐτοῦ τοῦ ἐλάσσονος ἀπὸ τῶν τοῦ ζωδιακοῦ πόλων τὰς μεταξὺ τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων κατειλημμένας μοιρὰς κγνα, καὶ ὑπὲρ τῶν γενομένων κατὰ διάμετρον σημείων ὑπὲρ τοῦ ἐλάσσονος κύκλου κατὰ μέσης τῆς καταγραφῆς, ἃ καὶ πόλοι εἰσὶ τοῦ ἰσημερινοῦ, καὶ ἔτι τῶν κατὰ διάμετρον περάτων τοῦ μείζονος κρίκου τρήματα ποιήσαντες, καὶ διὰ τῶν τρημάτων κυλίνδρια ἐμπολίσαντες ἐναρμόσομεν τὸν μείζονα κρίκον πρὸς τὸν ἐλάχιστον, ὃν τρόπον καὶ ὑπὲρ τῆς τοῦ ἀστρολάβου κατασκευῆς στερεωματίων κατὰ τὰς ἐντομὰς, καταλειπομένων, διὰ τὸ καὶ νοτιώτερον τοῦ ἰσημερινοῦ πόλου κατὰ τῆς ἐντομῆς τοῦ ἐλάσσονος πίπτειν, ὡς δέον εἶναι κἀκεῖ στερεωματίον καταλείπεσθαι, ὡς παρακολουθεῖν καθάπερ ὑπὲρ τοῦ ἀστρολάβου συνέβαινεν, ἢ καὶ ὡς ἐν ἀρχῇ τῆς συντάξεως ἐδηλοῦμεν περὶ τῶν πρώτων β, ὑπεναντίων κινήσεων, τὸν μὲν ἐλάττονα τῶν κρίκων καὶ δι' ἀμφοτέρων τῶν πόλων φερόμενον ὡς ἀπὸ ἀνατολῶν ὑπὲρ δυσμὰς φέρειν τὴν σφαίραν περὶ τοὺς τοῦ ἰσημερινοῦ πόλους, αὐτὴν δὲ δύνασθαι περιάγεσθαι καὶ εἰς τὰ ἐναντία περὶ τοὺς τοῦ διὰ μέσων τῶν ζωδίων πόλους, διὰ τῆς εἰς τὰ ἐναντία τῶν ρ ἐτῶν τῆς μιᾶς μοιρᾶς μεταβάσιν. τῆς μὲν οὖν ἐλαχίστου τῶν κρίκων ἐκτετμημένων πλευρὰν τῆς αὐτὴν πάντοτε γινομένην τῷ διὰ τῶν τροπικῶν σημείων μεσημβρινῷ, ἐπειδήπερ ὑπὲρ τῆς μέσης γραμμῆς τοῦ κρίκου ἐν τῷ τῆς ἐκτετμημένης πλευρὰς ἐπιπέδῳ, τυγχανούσης, οἱ πόλοι εἰσὶν τοῦ τε διὰ μέσων καὶ τοῦ διὰ μέσων καὶ τοῦ ἰσημερινοῦ, καταστήσομεν ἑκάστοτε ὑπὲρ τὸ σημεῖον τῆς τοῦ ζωδιακοῦ διαιρέσεως τοσαύτας ἀπχέον μοιρὰς τῆς τοῦ κυνὸς ἀρχῆς, ὅσας καὶ ὁ κύων ἐν τῷ ὑποκειμένῳ χρόνῳ τῆς θερινῆς τροπῆς ἀφέστηκεν, ὡς κατὰ τὴν ἀρχὴν τῆς Ἀντωνίνου Βασιλείας εἰς τὰ προηγούμενα μοιρὰς ιβ γ. ἵνα ἡ ἐκτετμημένη τοῦ ἐλάττονος κρίκου πλευρὰ δι' ἀμφοτέρων τῶν πόλων τυγχάνουσα ἀναγκαίως, καὶ διὰ τῶν τροπικῶν ὑπάρχῃ, μετατιθεμένου μέντοι τοῦ ἐλάττονος καὶ δι' ἀμφοτέρων τῶν πόλων κρίκου ὑπὲρ τὰ προηγούμενα κατὰ τὸν ἐφεξῆς χρόνον ἀναλόγως τῇ τῶν ρ ἐτῶν τῆς α μοιρὰς μεταβάσει. οὕτως γὰρ ὑπὲρ τὰ ἑπόμενα τῶν τροπικῶν συμβήσεται τοὺς ἀπλανεῖς τὴν μετάβασιν ποιεῖσθαι περὶ τοὺς τοῦ διὰ μέσων πόλους. τὸν δὲ μεσημβρινὸν ὀρθὸν ἐναρμόσομεν πρὸς τὸ τοῦ ὁρίζοντος ἐπίπεδον, ἤτοι ὀρθὴν γωνίαν παρατιθέντες πρὸς τὰς τῶν πόλων αὐτῶν ἐπιφανείας, ἢ καὶ ἀπὸ τῶν διχοτομούντων σημείων τὰς διὰ μέσων τῶν κοίλων ἐπιφανειῶν γραμμὰς τῶν ἀπολαμβανομένων ὑπ' αὐτῶν ἡμικυκλίων τεταρτημοριαίαν διάστασιν μεγίστου κύκλου διϊστάντες, τῶν κοίλων ἐπιφανειῶν μίαν σφαιρικὴν ἐπιφάνειαν ποιούντων. Ἔστωσαν γὰρ δύο ἴσοι κύκλοι, οἱ αβγδ εβζδ, τέμνοντες ἀλλήλους δίχα. καὶ δέον ἔστω πρὸς ὀρθὰς ἀλλήλοις αὐτοὺς καταστῆσαι. ἐὰν οὖν τεμόντες τὸ βγδ ἡμικύκλιον δίχα κατὰ τὸ γ, πόλῳ τῷ γ, διαστήσομεν ἴσην τῇ βγ διάστασιν, τετραγώνου οὔσῃ πλευρᾷ, καὶ πίπτῃ ὑπὲρ τὸν αβγδ κύκλον ἡ διάστασις, πρὸς ὀρθὰς ἔσονται οἱ κύκλοι. ὁμοίως δὲ κἂν ἀπὸ διχοτομίας τοῦ βεδ ἡμικυκλίου, διαστήσομεν τετραγώνου πλευρὰν καὶ πίπτῃ ὑπὲρ τὸν αβγδ ἡ διάστασις, πρὸς ὀρθὰς ἔσονται οἱ κύκλοι.



Ἵνα δὲ καὶ παράγεσθαι δύνηται ὁ μεσημβρινὸς περὶ τὸ ἴδιον ἐπίπεδον πρὸς τὸ καθ' ἕκαστον κλίμα οἰκείως ἐξαίρεσθαι τὸν βόρειον πόλον ἀπὸ τοῦ ὁρίζοντος διὰ τῆς κατὰ τὸν μεσημβρινὸν τοῦ μετὰ τὸν βόρειον πόλον τεταρτημοιρίου εἰς κ τμήματα διαιρέσεως, ἐν τεμόντες ὑπὲρ τῶν κατὰ διάμετρον τοῦ ὁρίζοντος σημείων, ὡς ὑπὲρ τὰ βορειότατα καὶ νοτιώτατα νευόντων κατὰ τὸ ἴσον τῷ τοῦ μεσημβρινοῦ πάχει, καταστήσομεν δι' αὐτῶν τὸν μεσημβρινὸν ὀρθὸν ὁμοίως ὡς ἔφαμεν πρὸς τὸν ὁρίζοντα, οὐδὲν μέντοι παραποδιζόμεθα παρὰ τὸ μὴ γεγονέναι δυνατὸν διὰ τὴν εἰρημένην εἰς τὰ ἑπόμενα τῶν ἀπλανῶν μετάβασιν ἐπ'

αὐτῆς σφαιρικῆς ἐπιφανείας τόν τε ἰσημερινὸν καὶ τοὺς τροπικοὺς προσεντεῦξαι. τοῦ γὰρ ἐντετμημένου ἡμικυκλίου τοῦ μεσημβρινοῦ διαιρεθέντος, τὸ μεταξὺ τούτου σημεῖον, καὶ ἴσον ἀπέχον ἑκατέρου τῶν πόλων τῇ αὐτὴν δύναμιν ἕξει τῆς κατὰ τὸν ἰσημερινὸν θέσεως, τὰ δὲ ἐφ' ἑκάτερα τούτου τὰς ἴσας μοιρὰς κ̄ γ νά ἀπέχοντα, ὅσας καὶ τὰ τροπικὰ, τοῦ ἰσημερινοῦ, τὴν αὐτὴν δηλονότι δύναμιν ἕξει ταῖς τῶν τροπικῶν θέσεσι, τὸ μὲν πρὸς ἄρκτους, τῇ τοῦ θερινοῦ, τὸ δὲ πρὸς μεσημβρίαν, τῇ τοῦ χειμερινοῦ. δῆλον δὲ καὶ ὅτι ἀκολούθως τῇ τῶν ὅλων πρώτῃ φορᾷ περιαγομένης τῆς σφαίρας ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, καὶ αἱ πρὸς τὸν ἰσημερινὸν, ἢ τοὺς τροπικοὺς ἑκάστου τῶν ἀπλανῶν κατὰ πλάτος ἀποστάσεις ὡς ἐπὶ τῶν διὰ τῶν πόλων αὐτῶν, αὐτόθεν ληφθήσονται, ἐκ τῆς κατὰ τὴν ἐκτετμημένην πλευρὰν τοῦ μεσημβρινοῦ διαιρέσεως.

ΠΕΡΙ ΤΩΝ ΟΙΚΕΙΩΝ ΤΟΙΣ ΑΠΛΑΝΕ-σι σχηματισμῶν.

Διεξελθὼν περὶ τοῦ τρόπου τοῦ τῶν ἀπλανῶν ἀστερισμοῦ, ἑξῆς τὸν περὶ τῶν σχηματισμῶν αὐτῶν ποιεῖται λόγον, καὶ φησί. τῶν δὴ πρὸς τοὺς ἀπλανεῖς σχηματισμῶν, μετὰ τὴν πρὸς ἀλλήλους αὐτῶν καὶ μονίμους, ὡς ὅταν ἐπ' εὐθείας τινὲς ὦσιν ἐν σχήμασι τριγώνοις ἢ παραλληλογράμμοις, ἢ τραπεζίοις ἢ ἄλλοις τισὶν ἢ ὡς ὅταν διά τινων εὐθειῶν παραλλάττῃ τις ὡρισμένην διάστασιν οἱ μὲν, πρὸς μόνους τοὺς πλανωμένους ἀστέρας, ἥλιον τε καὶ σελήνην καὶ τὰ μέρη τοῦ ζωδιακοῦ, καὶ οἱ μὲν πρὸς μόνα τὰ πλανώμενα καὶ τὰ μέρη τοῦ ζωδιακοῦ, γινόμενοι τῶν ἀπλανῶν σχηματισμοὶ λαμβάνοντες, κοινῶς μὲν, ὅταν ἤτοι ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ κύκλου γένονται, οἵ τε ἀπλανεῖς καὶ οἱ πλανώμενοι τῶν διὰ τῶν πόλων τοῦ ζωδιακοῦ γραφομένων, τουτέστιν ὅταν τὴν αὐτὴν ἐποχὴν τοῦ διὰ μέσων κατὰ μῆκος ἐπέχουσιν, ὠδὶ διαφόρων μὲν, τριγώνους δὲ ἢ τετραγώνους ἢ ἑξαγώνους διαστάσεις ποιούντων, τουτέστι γωνίαν περιεχόντων, ἤτοι ὀρθὴν ὡς ὠδὶ τῆς τοῦ τετραγώνου διαστάσεως, ἢ τρίτω ὀρθῆς γωνίας ὑπερέχουσαν, ὡς ἐπὶ τῆς τοῦ τριγώνου διαστάσεως, ἢ ὑπερεχομένην ὡς ἐπὶ τῆς τοῦ ἑξαγώνου. ἐὰν γὰρ ἐκθέμενοι τὸν διὰ τῶν πόλων τοῦ διὰ μέσων τῶν ζωδίων κύκλον τὸν αβγ, γράψωμεν τοῦ διὰ μέσων ἡμικυκλίου τὸ αεγν, καὶ πόλου τοῦ διὰ μέσων τοῦ β̄ πόλου αὐτοῦ γράψωμεν μεγίστου κύκλου περιφερείας τὰς βδ̄ βε̄, γωνίαν περιεχούσας τὴν ὑπὸ δβε̄ ὀρθὴν, ἐπεὶ πόλῳ τῇ κοινῇ τομῇ τῶν κύκλων τουτέστι τοῦ β̄, καὶ διαστήματι τυχόντι γέγραπται ὁ δε̄, ὃν ἄρα ἔχει λόγον ἡ ὑπὸ δβε̄ γωνία πρὸς δ̄ ὀρθὰς, τοῦτον ἔχει καὶ ἡ δε̄ περιφέρεια πρὸς τὸν ὅλον κύκλον. δ̄ δὲ ἡ ὑπὸ δβε̄ γωνία ἐστὶ δ̄ ὀρθῶν, δ̄ ἄρα καὶ ὅλου τοῦ διὰ μέσων ἡ δε̄. ὥστε τῆς ὑπὸ δβε̄ γωνίας ὀρθῆς τυγχανούσης, τὰ δ̄ ε̄ σημεῖα τετραγώνου πλευρὰν περιέχουσι τοῦ εἰς τὸν κύκλον ἐγραφομένου. ὁμοίως δὲ κἂν ἡ ὑπὸ δβε̄ γωνία γ̄ ὀρθῆς ὑπερέχει, ὥστε μιᾶς καὶ γ̄ ὀρθῆς αὐτῆς ὑπαρχούσης, καὶ γ̄ μέρους τυγχανούσης τῆς δ̄ ὀρθῶν. καὶ τῆς δε̄ περιφερείας γ̄ μέρη γινομένης τοῦ ὅλου κύκλου, τὰ δε̄ σημεῖα ὁμοίως τριγώνου ἰσοπλεύρου διάστασις διεστήκασιν. ὡσαύτως δὲ πάλιν ἐὰν ἡ ὑπὸ δβε̄ γωνία ἐλάττων ὀρθῆς τυγχάνῃ τοῦ τρίτῳ μέρει τῆς ὀρθῆς, διμοίρου αὐτῆς μιᾶς ὀρθῆς γινομένης, τουτέστιν ἕκτου μέρους τῶν δ̄ ὀρθῶν, καὶ τὰ δ̄ ε̄ σημεῖα τὴν τοῦ ἑξαγώνου διάστασιν διαστήσονται. ἰδίως δὲ ἐφ' ὧν ἀπλανῶν ὑποδραμεῖν τινὲς δύνονται τῶν πλανωμένων, οὗτοι δὲ εἰσὶν οἱ ἐν τοῦ πρίσματι τοῦ ζωδιακοῦ τοῦ περιέχοντι τὰς κατὰ πλάτος παρόδους τῶν πλανωμένων καταστεριζόμενοι, τουτέστιν οἱ ἐν τοῦ ἀφοριζομένῳ τμήματι τοῦ τοῦ ὑπὸ τῶν γραφομένων ἐφ' ἑκάτερα τοῦ διὰ μέσων παραλλήλων αὐτῷ, διὰ τῶν σημείων τῶν γραφομένων ὑπὸ



τῶν

τῶν κατὰ πλάτος ἀφ' ἑκάστου τῶν ἀπλανῶν μεγίστων ἀποστάσεων, καὶ πρὸς μὲν τοὺς ε̄ πλανομένους, κατὰ τὰς φαινομένας αὐτῶν κολλήσεις ἤτοι ἐπιπροσθήσεις, πρὸς δὲ ἥλιον καὶ σελήνην κατὰ τὰς κρύψεις ἢ συνόδους καὶ ἐπιτολὰς, εἶτα δηλώσας τί καλεῖ κρύψιν, καὶ σύνοδον καὶ ἐπιτολὴν καὶ περὶ τῶν δ̄ πρὸς τὴν γῆν σχηματισμῶν, οἵ τινες καλοῦντες, καὶ συγκεντρώσεις. καὶ διαλαβὼν περί τε τῶν ὑπὸ τῆς ἐγκεκλιμένης σφαίρας ἰδιωμάτων, ὅπου οἱ πόλοι τῆς σφαίρας κατὰ κορυφὴν γίνονται, καὶ ὑπὸ τῆς ὀρθῆς σφαίρας, καὶ ἔτι τῶν μεταξὺ τῶν β̄ τμημάτων θέσεων ἐγκλίσεων φησὶν ἐν αὐτοῖς, ὑπὸ μὲν τῆς ὀρθῆς σφαίρας οἱ συμμεσουρανοῦντες ἀεὶ καὶ συνανατέλλουσι καὶ συγκαταδύουσιν, ὑφ' ὅσον οὐ γίνεταί γε αὐτῶν ἡ περὶ τοὺς τοῦ ζωδιακοῦ πόλους μεταβασις, αἰσθητή. Ἐὰν γὰρ ὑποδείγματος ἕνεκεν γραψώμενον μεσημβρινὸν κύκλον τὸν αβγδ, καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ αεγ περὶ πόλον τὸ ζ̄, τοῦ δὲ διὰ μέσων τὸ βεδ. καὶ ὑποθώμεθα β̄ ἀστέρας κατὰ θ̄ κ̄, δῆλον ὅτι συμμεσουρανοῦντες καὶ συνανατέλλουσι κατὰ τὸν ἐπ' ὀρθῆς τῆς σφαίρας ὁρίζοντα. ἐπειδήπερ ἐὰν γραψώμεν τὸ ζη τμῆμα μεγίστου κύκλου ἰσωδυναμοῦν τοῦ ἐπ' ὀρθῆς τῆς σφαίρας ὁρίζοντι. καὶ διὰ τῶν θ̄ κ̄, παραλλήλους τοῦ ἰσημερινῷ τοὺς θλ κμ, ἅμα ὑπὸ τῶν λ̄ μ̄ ἀνατέλλουσι. καὶ διὰ τὸ ὁμοίας εἶναι τὰς θλ κμ, ὁμοίως, καὶ ἅμα συγκαταδύουσι. ἐὰν οὖν νοήσωμεν αὐτοὺς περὶ τοὺς τοῦ ζωδιακοῦ πόλους αἰσθητὴν κίνησιν ποιησαμένους, καὶ κινηθέντας τὰς λν μξ ὁμοίας περιφερείας καὶ παραλλήλους τοῦ διὰ μέσων, καὶ διὰ τὸ ζ̄ ν̄ γραψώμεν μεγίστου κύκλου περιφερείαν, δῆλον ὡς οὐχ ἥξει καὶ διὰ τοῦ ξ, διὰ τὸ τὸ ζ̄ μὴ εἶναι πόλον τῶν λ̄ ν̄ μξ, παραλλήλων τοῦ διὰ μέσων, ἐρχέσθω οὖν ὡς ὁ ξ̄ ῦ π̄. καὶ δῆλον ὡς οἱ κατὰ τῶν θ̄ κ̄ ἀστέρες κατὰ τῶν ν̄ ξ τυγχάνοντες, οὐ συνανατέλλουσιν, ἀλλὰ συνανατέλλει τῷ ὑπὸ τοῦ ν̄ ἕτερός τις τῶν ὑπὸ τοῦ ζῡ ωπ κύκλου. καὶ συμμεσουρανήσει αὐτῷ καὶ συγκαταδύσεται. διὰ τὸ καὶ ὅλον τὸν ζο̄ ω κατὰ τὴν περιστροφὴν, ἐφαρμόζειν τῷ αβγδ, μεσημβρινῷ καὶ τῷ ὁρίζοντι. ὥστε ὁ πρότερον συμμεσουρανῶν καὶ συνανατέλλων καὶ συγκαταδύων τινι, ὕστερον ἑτέρῳ συμμεσουρανήσει καὶ συνανατέλλει, καὶ συγκαταδύσεται. καὶ οὕτω νοείσθω ὁ δι' ἀμφοτέρων τῶν πόλων τοῦ ἰσημερινοῦ, καὶ διὰ μέσων, ὁ αβγδ, καὶ τῶν ἡμικυκλίων τὸ μὲν τοῦ ἰσημερινοῦ τὸ αεγ περὶ πόλον τὸ η̄, τὸ δὲ τοῦ διὰ μέσων τὸ βεδ, περὶ πόλον τὸ ζ̄. καὶ νοείσθωσαν κατὰ πρόχειρον διὰ τῶν β̄ μ, δύο μεσουρανοῦντες ἀστέρες. καὶ γεγράφθωσαν διὰ τῶν ζ̄ η̄ πόλων καὶ τοῦ θ̄ σημείου μεγίστων κύκλων τμήματα τὰ ξθν, ηθκ. καὶ ἔτι γεγράφθω διὰ τοῦ μ̄ τῷ διὰ μέσων παράλληλος ὁ μλξ, καὶ κινείσθωσαν ἐν τῷ αὐτῷ χρόνῳ οἱ κατὰ τὰ βμ ἀστέρες





πρὸς αὐτὸ τὸ ΔΑ μέσων πόλου τὰς ρ̄θ, μὴ ὁμοίας οὔσας. ἐπεὶ οὖν οἱ κατὰ τὰ Β συμμεσουρανοῦντες ἀστέρες κινηθέντος πρὸς αὐτοῦ τοῦ ΔΑ μέσων πόλους κατὰ θ̄λ γεγόνασι, πλῆθος ὡς οὔτε συναναστελοῦσιν οὔτε συγκαταδύσονται τὸν ἐπ' ὀρθῆς τῆς σφαίρας ὁρίζοντα. ΔΑ τὸ τὸ θ̄, τῷ ξ̄ συναναστέλλειν τοῦ ηθξ̄κ κύκλου ἰσοδιαμοῦντος τοῦ ἐπ' ὀρθῆς τῇ σφαίρας ὁρίζοντι τῶν Βθ, μὴ κατὰ μῆκος παράλληλον, ἀδιαστάτων γινομένων. ἀνεπαισθήτως δὲ αὐτῶν οὐσῶν, συναναστέλλοντος καὶ συγκαταδύοντος φανήσονται.

ΠΕΡΙ ΣΥΝΑΝΑΤΟΛΩΝ ΚΑΙ ΣΥΜΜΕΣΟΥΡΑΝΗΣΕΩΝ ΚΑΙ ΣΥΓΚΑΤΑΔΥΣΕΩΝ ΤΩΝ ἀΠΛΑΝΩΝ.

Εἶτα διαλαβὼν καὶ πρὸς τὸν ἥλιον θεωρουμένων σχηματισμῶν, ἐξῆς πρὸς συναναστελλόντων καὶ συμμεσουρανούντων ἀπλανῶν διαλαμβάνει. καὶ ἐπιγράψας τὸ τοιοῦτον κεφάλαιον, φησί. τούτων ἐχόντων, οἱ μὲν τῶν ἀληθινῶν τε καὶ πρὸς τὸ κέντρον τοῦ ἡλίου θεωρουμένων συναναστολῶν τε καὶ συμμεσουρανήσεων καὶ συγκαταδύσεων χρόνοι, αὐτόθεν ΔΑ τῶν γραμμῶν ἀπὸ τοῦ κατὰ τὸν ἀσεισμὸν αὐτῶν ἀναγραφῶν διώνανται λαμβάνεσθαι. ΔΑ τὸ καὶ τὰ σημεῖα τοῦ ΔΑ μέσων τῶν ζωδίων οἷς ἕκαστος τῶν ἀπλανῶν συναναστέλλει καὶ συμμεσουρανεῖ καὶ συγκαταδύει, δῆλόσθαι γραμμικῶς. τούτων γὰρ διδομένων καὶ προχείρου ὄντος καταλαμβάνεσθαι, ἐκ τῆς τοῦ ἡλίου ψηφοφορίας τίνι τῶν τοῦ ζωδιακοῦ τεμαχίων ὁ ἥλιος συναναστέλλει, ἢ συμμεσουρανεῖ, ἢ συγκαταδύει, δῆλον ὅτι καὶ αἱ εἰρημέναι ἀληθιναὶ πρὸς τὸν ἥλιον τῶν ἀπλανῶν συγκρίσεις, λοιπὸν τῇ πρὸς τοὺς τοιούτους λέξιν φησίν, ἐκκείσθω ὁ δι' ἀμφοτέρων τῶν πόλων τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ΔΑ μέσων τῶν ζωδίων κύκλος, ὁ αβγδ, καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ αεγ, πρὸς πόλον τὸ ζ, ζωδιακοῦ δὲ τὸ βεδ, πρὸς πόλον τὸ η̄. καὶ ΔΑ τῶν πόλων τοῦ ζωδιακοῦ, γεγράφθω μεγίστου κύκλου τμῆμα τὸ ηθκλ, καὶ ὁμοκείσθω κατὰ τὸ θ̄ σημεῖον ὁ ἐπιζητούμενος ἀστὴρ τῶν ἀπλανῶν. ἐπεισλήπτερ καὶ πρὸς αὐτὸ ΔΑ τῶν πόλων τοῦ ζωδιακοῦ, ἀπὸ τῶν ἐποχῶν αὐτῶν συστάσεις ἔτυχον ὑφ' ἡμῶν τηρήσεώς τε καὶ ἀναγραφῆς. γεγράφθω δὲ καὶ ΔΑ τῶν τοῦ ἰσημερινοῦ πόλων καὶ τοῦ θ̄ ἀστέρος μεγίστου κύκλου τμῆμα τὸ ζθμν. ὅτι μὴν οὗτος ὁ κατὰ τὸ θ̄ ἀστὴρ τοῖς μ̄ ν̄ σημείοις τοῦ τε ἰσημερινοῦ καὶ τοῦ ΔΑ μέσων συμμεσουρανεῖ φανερόν. ἐπεισλήπτερ καὶ ἐὰν τῶν θ̄ μ̄ σημείων γραφῶσιν παράλληλοι τῷ ἰσημερινῷ, ὅμοιαι ἔσονται αἱ μεταξὺ τῶν αβζ, ζθμν κύκλων περιφέρειαι καὶ ἅμα τὰ τὰ θμν ὡσὶ τὴν αβζ λὶ ἀμφοτέρων τῶν πόλων παρέσαι, ἢ καὶ ὧν τὸν μεσημβρινόν. ἐπεὶ καὶ πάντος οἱ ΔΑ τῶν πόλων τῷ ἰσημερινῷ φύσει πορίφορᾷ ἐφαρμόζουσι τῷ μεσημβρινῷ. ὅτι ἡ διάστασα τὰ μ̄ ν̄ σημεῖα καὶ ἡ θν περιφέρεια, δῆλον ἡμῖν ἔσαι. ἐπεισλήπτερ καὶ εἰς δύο μεγίστων κύκλων περιφερείας τέμνουσι τε αὖ καὶ τὴν αν, δύο διακεκριμέναι εἰσὶ μεγίστων κύκλων περιφέρειαι, ἥτε ηλκ καὶ ἡ νζ, τέμνουσαι ἀλλήλας κατὰ τὸ θ̄, καὶ ὁ τῆς ὑπὸ τῶν διπλῶν τῆς ηα πρὸς τὴν ὑπὸ τῶν διπλῶν τῆς αζ λόγος συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῶν διπλῶν τῆς ηλ πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς λθ, καὶ τοῦ τῆς ὑπὸ τῶν διπλῶν τῆς θν πρὸς τὴν ὑπὸ τῶν διπλῶν τῆς νζ. καὶ ἐπεὶ διέστηκεν ἡ ζα τεταρτημορίου, διέστηκε δὲ καὶ ἡ ηζ μεταξὺ τῶν πόλων μοιρῶν κγ νά. ὅσων δὲ καὶ ἡ τοῦ ζωδιακοῦ ἔγκλισις πρὸς τὸν ἰσημερινόν. διέστωσαν ἄρα καὶ ὅλη ἡ ηα περιφέρεια, καὶ αἱ διπλασίονες αὐτῶν διπλονότι, καὶ αἱ ὑπ' αὐτὰς. αἱ ὡς διέστηκεν λόγος εἰσὶ τῆς ὑπὸ τὸν διπλῶν τῆς ηα, πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς αζ. πάλιν ἐπεὶ διέστωσιν ἡ ηκ ἐκ πόλου τοῦ ΔΑ μέσων τεταρτημορίου, διέστωσαν καὶ ἡ κλ ἐκ τῆς τοῦ ΔΑ μέσων ἐγκλίσεως ὡς ἐξῆς δείξομεν. διέστωσαν ἄρα καὶ ὅλη ἡ ηλ. καὶ ἐπεὶ διέστωσιν ἡ κλ, διέστωσαν δὲ ἡ θν τοῦ πλάτους τοῦ ἀστέρος ἐκ τῆς ἀναγραφῆς, διέστωσαν ἄρα καὶ ὅλη ἡ θλ. ὥστε καὶ αἱ διπλασίονες αὐτῶν, καὶ αἱ ὑπ' αὐτὰς δυθεῖαι. διέστωσαν ἄρα καὶ ὁ τῆς ὑπὸ τῶν διπλῶν τῆς ηλ πρὸς τὴν ὑπὸ τῆς διπλῆς τῆς λθ λόγος. καὶ ἐὰν ἀπὸ τῆς ὑπὸ τῆς διπλῆς τῆς ηα πρὸς τῆς



ὑπὸ τῆς διπλῆ ϛ̄ αζ̄ λόγον ἀφελωμεν τὸν τῆς ὑπὸ τῆς τῆς ηλ πρὸς τὴν ὑπὸ τῆς διπλῆ ϛ̄ λθ, λελειφθήσεται ὁ τῆς ὑπὸ τῆς διπλῆ θ̄ν, πρὸς τὴν ὑπὸ τῆς διπλῆ τ̄ νζ̄ λογος. καὶ διέλοτται ἡ ὑπὸ τῆς διπλῆ νζ̄. ἡ γὰρ αὐτὴ ἡ νζ̄ περιφέρεια, ἐκ τοῦ πόλου τοῦ ἰσημερινοῦ. διέλοτται ἄρα καὶ ἡ ὑπὸ τῆς διπλῆ τῆς θν. ὥστε καὶ ἡ διπλῆ ϛ̄ θν, καὶ αὐτὴ ἡ θν ἴσαι διελοῦσιν. διέλοται δὲ καὶ ἡ κλ τῆς ἐγκλίσεως. ἐπεὶ δήπερ καὶ ὁ τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ ηα πρὸς τὴν ὑπὸ τῆς διπλῆ τῆς αβ λόγος, σωνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆ τ̄ ηλ πρὸς τὴν ὑπὸ τῆς διπλῆ τῆς αβ λόγος, καὶ τοῦ τῆς ὑπὸ τῆς διπλῆ τῆς κε πρὸς τὴν ὑπὸ τὴν διπλῆ ϛ̄ εβ. καὶ ἐὰν ἀπὸ τοῦ τῆς ὑπὸ τῆς διπλῆ τῆς ηα πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς αβ λόγου διελόμενος, λοιπὸν τὸν τε ηα, καὶ ἔτι τῆς αβ τῆς ἐγκλίσεως διελόθαι, ἀφελωμεν τὸν ϛ̄ τῆς ὑπὸ τὴν διπλῆ τῆς κε πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς εβ λόγον διελόμενον, λοιπὸν καὶ τῆς κατὰ τὸ η μήκους ἐπιχλὶν τοῦ ἀστέρος ἐκ τῆς ἀναγραφῆς διελόθαι, καταλειφθήσεται καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆ ϛ̄ ηλ πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς λκ λόγος λοιθείς. καὶ λοιπὸν ἐστὶν θεώρημα τοῦ πρώτου βιβλίου, ὃν προπεμ καὶ ϛ̄ ἐν τῷ ἑκτῷ βιβλίῳ τῶν τοιούτων διαπεισιμ ἐπαινησάμεθα, ἐπεὶ ἡ ηκ διέλοται, διέλοται δὲ καὶ ὁ λόγος ὁ τῆς ὑπὸ τὴν διπλῆ τῆς ηλ πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς λκ, λοθήσεται καὶ ἑκατέρα τῶν ηκ κλ περιφερειῶν. ὥστε διέλοται καὶ ἡ κλ περιφέρεια. λοιπὸν δὲ ὅτι καὶ ἡ κβ περιφέρεια διέλοται. ἐπεὶ καὶ τὸ κ̄ τὰ β̄ σημεῖα διέλοται. ϛ̄ οὖν περιφερείας λοθείσης, πάλιν ὡδὶ τ̄ αὐτῆς καταγραφῆς φησίμ, ἐπεὶ ὁ τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ ζη πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς ηα λόγος, σωνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆ τῆς θζ πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς θν, καὶ τοῦ τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ νλ πρὸς τὴν ὑπὸ τῆς διπλῆ τ̄ λα, καὶ ὁ ϛ̄ ϛ̄ ϛ̄ ὑπὸ τῆς διπλῆ ϛ̄ ζη πρὸς τὴν ὑπὸ τῆς διπλῆ τ̄ ηα λόγος δὴ λοθείς, ἐπεὶ καὶ ἑκατέρα τ̄ ζη ηα δὴ λοθεῖσα. διέλοτ ἂν πάλιν καὶ ὁ ϛ̄ ὑπὸ τῆς διπλῆ τῆς ζθ πρὸς τὴν ὑπὸ τῆς διπλῆ ϛ̄ θν. ἐπεὶ καὶ ἑκατέρα τ̄ ζκ θν διέλοτ. καὶ λοιπὴ ἄρα ἡ ζκ διέλοται. ὥστε καὶ ἐὰν ἀπὸ τ̄ ϛ̄ ὑπὸ τῆς διπλῆ τ̄ ζη ηα λόγου, ἀφαιρεθῇ ὁ τῆς ὑπὸ τῆς διπλῆ τῆς ζθ πρὸς τὴν διπλῆ τῆς θν, καταλειφθήσεται ὁ τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ νλ πρὸς τὴν ὑπὸ τῆς διπλῆ τῆς λα λοθείς, καὶ διελομένης τῆς λα, λοθήσεται καὶ ἡ λοιπὴ, ἡ νλ. καὶ ἔτι ὅλη ἡ να. καὶ διατοῦτο ἐκ τῶν ἐπ' ὀρθῆς ϛ̄ σφαίρας ἀναφορῶν λοθήσεται καὶ ἡ μβ τοῦ ζωδιακοῦ. καὶ τὸ μ σημεῖον συμμεσουρανοῖ δηλ ἀπλανεῖ. διὰ τὸ καὶ τὸ β̄ συμμεσουρανοῖ διέλοθαι, καὶ ἔτι τὸ ν̄, τοῦ ἰσημερινοῦ. καὶ ἡ μὲν διὰ τ̄ ὑθείαν τοῦ λόγου λῆψις ὡς γὰρ τὰς ἐμπροσθεν μεμαθήκαμεν, ἔστι τοιαύτη. ἐπεὶ δὲ ὁ τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ νλ πρὸς τὴν ὑπὸ τῆς διπλῆ τῆς λα λόγος, σωνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆ τῆς νθ πρὸς τὴν ὑπὸ τὴν διπλῆ ϛ̄ θζ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆ τῆς ζη πρὸς τὴν ὑπὸ τῆς διπλῆ τῆς ηα, αὐτὸς δὲ διὰ τὸ μὴ διέλοθαι μὲν τῆς ὑπὸ τῆς διπλῆ ϛ̄ ηλ πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς λα, φησὶν ὁ τῆς ὑπὸ τὴν διπλῆ ϛ̄ ζη πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς ηα λόγος, σωνῆπται ἔκ τε τοῦ ϛ̄ τῆς ὑπὸ τὴν διπλῆ τῆς ζθ πρὸς τὴν ὑπὸ τῆς διπλῆ τ̄ θν, καὶ τοῦ ϛ̄ τῆς ὑπὸ τὴν διπλῆ τῆς να πρὸς τὴν ὑπὸ τὴν διπλῆ τῆς αλ.



ὅτι δὲ ἀληθὲς ὄντως ἡ τοιαύτη λῆψις, δέιξομεν οὕτως. εἰς γὰρ δύο μεγίστων κύκλων περιφερείας τὰς αγ αν ἐλαττόνας ἡμικυκλίων γεγράφθωσαν μεγίστων κύκλων περιφέρειαι αι νθ λ νζ θ ἐλάττονες ἡμικυκλίων τέμνουσαι ἀλλήλας κατὰ τὸ ο, καὶ ληφθέντος τοῦ ξ κοινοῦ τμήματος τῆς σφαίρας, ἐπεζεύχθωσαν αι ξγ ξθ ξλ, καὶ ἔτι ἐπιζευχθεῖσα ἡ αζ, ἐκβεβλήσθω καὶ ξυμπιπτέτω τῇ ξγ ἐκβληθεῖσα καὶ αὐτὴ κατὰ τὸ κ. καὶ ὁμοίως ἐπιζευχθεῖσαι αι αν νζ, τεμνέτωσαν τὰς ξθ ξλ κατὰ τὰ ρ σ. ὧν μιᾶς δὲ ὑθείας ἔσαι τὰ κ ρ σ σημεῖα. διὰ τὸ γὰρ ὁμοίως τοῖς πρόσθεν, καὶ ἐκβεβλήσθω ἡ νζ ὡδὶ τὸ π, ἰσογώνιον ἄρα ἐστὶ τὸ απζ τριγώνον τῷ κξγ τριγώνῳ. ἔστιμ ἄρα ὡς ἡ αζ πρὸς τὴν ζπ, καὶ κζ πρὸς τὴν ξγ. καὶ ἐναλλὰξ, ὡς ἡ αζ πρὸς τὴν ζκ, οὕτως ἡ πζ πρὸς τὴν ξγ. καὶ ὡσαύτως, ὡς ἡ ακ πρὸς κζ, ἡ πγ πρὸς γζ. καὶ ἀνάπαλιν ὡς ἡ ζκ πρὸς κα, ἡ ζγ πρὸς γπ. ἀλλὰ τὴν γν ἔξωθεν λαμβανομένην, ὁ τῆς ζγ πρὸς γπ λόγος σωνῆπται ἔκ τε τοῦ ϛ̄ ζγ πρὸς γν, καὶ τοῦ

τῆς νγ πρὸς γπ, ἀλλ' ὡς μὲν ἡ ζγ πρὸς γπ, οὕτως ἡ ζκ πρὸς κα, ὡς δὲ ἡ νγ πρὸς γπ, οὕτως ἡ νε πρὸς εα, καὶ ὁ τῆς ζκ ἄρα πρὸς κα, λόγος συνῆπται ἔκ τε τοῦ τῆς ζγ πρὸς γν, καὶ τοῦ τῆς νε πρὸς εα. ἀλλ' ὡς μὲν ἡ ζκ πρὸς κα, οὕτως ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζη περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ηα, ὡς δὲ ἡ ζγ πρὸς γν οὕτως ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζθ πρὸς τὴν διπλῆν τῆς θν. ὡς δὲ ἡ νε πρὸς εα, οὕτως ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς νλ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς λα. ὁ ἄρα λόγος ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζη περιφερείας πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ηα, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζθ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς θν, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς νλ πρὸς τοῦ τὴν διπλῆν τῆς λα. αὐτὸς δὲ πρὸς τὴν εὕρεσιν φησί, διὰ δὲ τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας συναναφορῶν τοῦ ἰσημερινοῦ καὶ τοῦ ζωδιακοῦ, ἀπὸ τῆς κβ ἡ λα λαμβάνεται. ἐὰν γὰρ τῆς ζκ, γράψωμεν μεγίστου κύκλου τεταρτημόριον τὸ ζκξ, ἐπεὶ εἰς δύο τὰς κα καὶ αξ δύο γεγραμμέναι εἰσὶν ἥτε κλ, καὶ ἡ ξζ τέμνουσαι ἀλλήλας κατὰ τὸ κ, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς κζ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ζα λόγος δεδομένος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τῆς διπλῆν τῆς κκ πρὸς τὴν διπλῆν τῆς κλ δεδομένου, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς λξ πρὸς τὴν διπλῆν τῆς ξα. καὶ δεδομένης τῆς ξα, ἐπειδήπερ ἐπ' ὀρθῆς τῆς σφαίρας τῇ κβ δεδομένῃ συναναφέρεται, δοθήσεται καὶ ἡ ξλ, καὶ λοιπὴ ἡ λα. εἰδέναι δὲ χρὴ, ὅτι ἐάν τε νοτιώτερος ὁ ἀστὴρ ἀμφοτέρων τῶν κύκλων τυγχάνει, τουτέστι τοῦ τε διὰ μέσων καὶ τοῦ ἰσημερινοῦ, ἡ προεκτεθειμένη ὑπὸ τῆς συντάξεως καταγραφὴ ἀρκέσει, οἰκείως τῶν πόλων λαμβανομένων. ἐὰν δὲ ὁ ἀστὴρ μεταξὺ πίπτῃ τοῦ τε διὰ μέσων καὶ τοῦ ἰσημερινοῦ ὡς ὑπὸ τῆς ἑξῆς καταγραφῆς κατὰ τὸ θ, φανερὸν ὅτι δοθείσης, τῆς τοῦ διὰ μέσων περιφερείας τῆς βκ, δίδοται ἡ λα τοῦ ἰσημερινοῦ διὰ τῆς ἐπ' ὀρθῆς τῆς σφαίρας ὡς ἔφαμεν ἀναφορῶν, ἢ καὶ διὰ τῶν γραμμῶν ὡς ὑπεδείξαμεν. καὶ λοιπαὶ ἄρα τῶν τεταρτημορίων αἱ κε ελ δοθήσονται, καὶ ἀπὸ τῆς ελ ἡ κλ δοθήσεται. καὶ ἔστιν ἡ κθ δοθεῖσα, διὰ τὸ καὶ τὴν ηκ ἐκ τοῦ πόλου δίδοσθαι τεταρτημορίου. δοθήσεται ἄρα καὶ ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ηα πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς αζ. ἔστι δὲ καὶ ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς ηλ πρὸς τῆς διπλῆν τῆς λθ δοθείς. καὶ λοιπὸς ἄρα ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς θν πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς νζ ἔσται δεδομένος. ὥστε καὶ ἡ θν δοθήσεται. πάλιν ἐπεὶ ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς ζη πρὸς τῆς ὑπὸ τὴν διπλῆν τῆς ηα λόγος δέδοται, ἀλλὰ καὶ ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς ζθ πρὸς τῆς ὑπὸ τῆς διπλῆν τῆς θν, καὶ λοιπὸς ἄρα ὁ τῆς ὑπὸ τῆς διπλῆν τῆς νλ πρὸς τῆς διπλῆν τῆς λα ἔσται δεδομένος. καὶ δέδοται ἡ λα, δέδοται ἄρα καὶ ἡ νλ, καὶ ἀπὸ τῆς να ὅλης ἰσημερινῆς ὑποκειμένης, νῦν ληψόμεθα καὶ τῆς μβ τοῦ ζωδιακοῦ διὰ τῶν ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορῶν. καὶ ἑκάτερον ἄρα τῶν μν σημείων δοθήσεται. ὅτι δὲ καὶ ἑτέραν πτῶσιν τοῦ θεωρήματος συμβαίνει γίνεσθαι ὅταν πάλιν ὁ ἀστὴρ ἀμφοτέρων μὲν τῶν εἰρημένων κύκλων ἤτοι βορειότερος ἢ νοτιώτερος τυγχάνει, ὁ δὲ ἰσημερινὸς μεταξὺ πίπτῃ τοῦ τε διὰ μέσων καὶ τοῦ ἀστέρος. ἔστω γὰρ ὁ δι' ἀμφοτέρων τῶν πόλων κύκλος ὁ αβγδ. καὶ τοῦ μὲν διὰ μέσων ἡμικύκλιον τὸ βεδ περὶ πόλον τὸ η. τοῦ δὲ ἰσημερινοῦ τὸ αεγ περὶ πόλον τὸν ζ, καὶ διὰ τῶν ζ η καὶ τοῦ κατὰ τὸ θ ἀστέρος σημείων, γεγράφθω μεγίστου κύκλου τμήματα τὰ ζθμν ηθλκ, λέγω ὅτι δοθεῖσα ἐστὶν ἑκατέρα τῶν ξν νθ περιφερειῶν. ἐπεὶ γὰρ εἰς β αλ αζ β διηγμέναι εἰσὶν ἥτε λθη καὶ ζθν τέμνουσαι ἀλλήλας κατὰ τὸ θ, ὁ τῆς ὑπὸ τὴν διπλῆν





τῆς ζα

τῆς ζα πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ακ λόγος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζν πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς νθ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς θλ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς λη. ἀλλὰ τῶν ἐπιζητουμένων περιφερειῶν ἑκατέρα μὲν τῶν ζα αη ἐστὶ δοθεῖσα, ἐπεὶ καὶ ἡ ηζ. δίδοται δὲ καὶ ἐκ μὲν τῆς ἀναγραφῆς τοῦ ἀστέρος ἑκατέρα τῶν εκ κθ περιφερειῶν. ἀπὸ δὲ τῆς κε, ἡ ελ ὡς προεδείχθη. ἀπὸ δὲ τῆς ελ, ἡ λκ, διὰ τὸν τῆς λοξώσεως κανονίου. καὶ λοιπὴ ἄρα ἡ λθ ἐστὶ δοθεῖσα. καὶ ἔτι ἡ λη. τεταρτημορίου γὰρ ἡ ηκ. καὶ λόγος οὖν ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς θλ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς λη ἀφαιρεθεὶς, ἔστι δοθείς. ὥστε καὶ λοιπὸς ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζν πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς θν καταλειφθήσεται δοθείς. καὶ ἔστι τεταρτημορίου ἡ ζν. ὥστε καὶ ἡ νθ περιφέρεια τοῦ πρὸς τὸν ἰσημερινὸν πλάτους δοθήσεται. πάλιν δὴ καὶ κατὰ διαίρεσιν ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζη πρὸς τῆς διπλῆν τῆς ηα λόγος δοθείς, σύγκειται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζθ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς θν, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς νλ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς λα. δοθεῖσα δὲ ἡ λα. τεταρτημορίου γὰρ, ἡ εα, ἧς ἡ ελ προαπεδείχθη δεδομένη. καὶ λοιπὴ ἄρα ἡ λη δέδοται. ὥστε καὶ ὅλη ἡ εν διάστασις τοῦ πρὸς τὸν ἰσημερινὸν μήκους τοῦ ἀστέρος δεδομένη ἔσται. τοῦ δὲ ν σημείου δοθέντος, καὶ τὸ συμμεσουρανοῦν αὐτῷ σημεῖον, τοῦ διὰ μέσων τὸ μ δοθήσεται, ἤτοι ἀπὸ τῆς να ἢ ἀπὸ τῆς νε. εἶτα δεδομένων τῶν συμμεσουρανούντων τοῖς ἀπλάνεσι σημείοις τοῦ τε ἰσημερινοῦ καὶ τοῦ διὰ μέσων τῶν ζωδίων, εὐθὺς ἑξῆς διὰ τῶν αὐτῶν ἐφοδεύει καὶ τὰ συνανατέλλοντα ἢ συγκαταδύοντα τῶν εἰρημένων κύκλων σημεῖα τοῖς ἀπλάνεσι. καὶ πρότερον τὰ ὑπὸ τοῦ ἰσημερινοῦ τρόπῳ τοιῷδε. ἐκθέμενος γὰρ μεσημβρινὸν κύκλον τὸν αβγδ, καὶ ἰσημερινοῦ μὲν ἡμικύκλιον τὸ αεγ περὶ πόλον τὸ ζ, ὁρίζοντος δὲ τὸ βεδ. καὶ ὑποθέμενος τινὰ τῶν ἀπλανῶν ἀνατέλλειν κατὰ τὸ η. καὶ διὰ τῶν ζη γράψας μεγίστου κύκλου τεταρτημόριον τὸ ζηθ, φησὶ διὰ τὴν καταγραφὴν, ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζβ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς βα λόγος, συνῆπται ἔκ τε τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζη πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς ηθ, καὶ τοῦ τῆς ὑπὸ τὴν διπλῆν τῆς θε πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς εα. καὶ ἐπεὶ δέδοται ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς ζβ πρὸς τὴν ὑπὸ τὴν διπλῆν τῆς βα λόγος, ἐπεὶ καὶ ἡ ζβ περιφέρεια τοῦ ἐξάρματος. δέδοται δὲ καὶ ἡ θη περιφέρεια ἣν ἀπέχει ὁ ἀστὴρ τοῦ ἰσημερινοῦ ὑπὸ τοῦ διὰ τῶν πόλων αὐτοῦ, ὃν πρότερον ὑπὸ τῆς ἐπάνω καταγραφῆς ἡ θν κατελαμβάνει. καὶ λοιπὴ ἄρα ἡ ζη δέδοται. ὥστε καὶ λοιπὸς ὁ τῆς ὑπὸ τὴν διπλῆν τῆς θε πρὸς τῆς ὑπὸ τὴν διπλῆν τῆς εα λόγος ἔσται δεδομένος. καὶ δέδοται ἡ αε τεταρτημορίου. δοθήσεται ἄρα καὶ ἡ θε. δέδοται δὲ τὸ θ πόσον ἀπέχει ἀπὸ τῆς κοινῆς τομῆς τοῦ τε διὰ μέσων καὶ τοῦ ἰσημερινοῦ, καθάπερ ὑπὸ τῆς ἐπάνω καταγραφῆς τὸ ὑπὸ τοῦ διὰ τῶν πόλων τοῦ ἰσημερινοῦ καὶ τοῦ ἀπλανοῦς. δέδοται ἄρα καὶ τὸ ε. εὐκατανόητον δ' ὅτι καὶ ὑπὸ τῶν συγκαταδύσεων, ἐὰν εἰς τὰ προηγούμενα τοῦ θ, ἴσην τῇ θε ἀπολάβωμεν, οἷον τὴν θκ, τοῦ κ σημείῳ τοῦ



ἰσημερινοῦ, συγκαταδύσεται ὁ ἀστὴρ, καὶ τὰ ἑξῆς. ἐὰν ἀναπληρώσωμεν τὸν βεδν ὁρίζοντα, καὶ ἔτι τὸ εαν ὑπὲρ γῆν ἡμικύκλιον τοῦ ἰσημερινοῦ, καὶ διὰ τοῦ κατὰ τὸ η ἀστέρος γράψωμεν παράλληλον τοῦ ἰσημερινῷ τὸν ημ, καὶ ἔτι διὰ τοῦ ζ πόλου καὶ τοῦ μ γράψωμεν μεγίστου κύκλου τεταρτημόριον τὸ ζμξ. δῆλον ὡς ὅτι ὑπὸ μὲν τοῦ μ καταδύσεται ὁ ἀστὴρ, ἴσης οὔσης τῆς μὲν ζη τῇ ζμ παραλλήλου, τῆς δὲ ηλ τῇ λμ, καὶ κοινῆς τῶν β τριπλεύρων τῆς ζλ, ἴση ἔσται καὶ ἡ ὑπὸ ηζλ γωνία τῇ ὑπὸ μζλ. ὥστε καὶ ἡ θα τῇ αξ ἴση ἔσται. ἔστι δὲ καὶ ὅλη ἡ εα ὅλη τῇ αν, ἴση. καὶ λοιπὴ ἄρα ἡ εθ λοιπῇ τῇ ξν ἴση ἐστί. καὶ ἐπεὶ τὸ μὲν ε τοῦ ἰσημερινοῦ σημεῖον συνανατέλλει τοῦ η, τὸ δὲ ν συγκαταδύει τοῦ μ, καὶ ἐν ᾧ τὸ η ὑπὸ τὸ μ, ἐν τούτῳ τὸ θ ὑπὸ τὸ ξ, ἡλίκην ἄρα τὸ θ σημεῖον τοῦ ἰσημερινοῦ περιφέρειαν ἀπέχει εἰς τὰ

προηγούμενα τοῦ ε̄ συνανατέλλοντος τοῦ ἀστέρος, τηλικαύτην καὶ τὸ ξ̄ τῷ ν̄ ὑπὸ τὰ ἑπόμενα συγκαταδύοντι τοῦ ἀστέρι τοῦ ἰσημερινοῦ σημείῳ τουτέστι τῷ ν̄, ὅσας ἀπέχει τοῦ ἐαρινοῦ. καὶ ἐπεὶ δέδοται ἐκ τῶν ἐκτιθεμένων κατὰ τὸ κλίμα συναναφορῶν ἢ συγκαταδύσεων τὰ συνανατέλλοντα τοῦ διὰ μέσων σημεῖα τοῖς δεδομένοις τοῦ ἰσημερινοῦ, δοθήσεται δηλονότι καὶ τὰ συνανατέλλοντα ἢ συγκαταδύοντα τοῦ ζωδιακοῦ σημεῖα τοῦ ἀπλανεῖ. καὶ δῆλον ὡς ὅτι ἐν οἷς χρόνοις κατ' ἐκείνων τῶν τοῦ ζωδιακοῦ σημείων ὁ ἥλιος γίνεται ἀκριβῶς, ἐν τούτοις καὶ αἱ πρὸς τὸ κέντρον αὐτῶν θεωρούμεναι τῶν ἀπλανῶν ἀνατολαὶ καὶ μεσουρανήσεις καὶ δύσεις καλούμεναι δὲ ἀληθιναὶ συγκεντρώσεις ἀποτελεσθήσοντι.

ΠΕΡΙ ΦΑΣΕΩΝ ΚΑΙ ΚΡΥΨΕΩΝ ΤΩΝ ἀπλανῶν.

Ὑκέτι μέντοι διὰ τῶν γραμμῶν κατλαμβάνοντι αἵ τε φάσεις καὶ κρύψεις τῶν ἀπλανῶν ἀπὸ μόνης αὐτῶν τῆς ἐκ τῶν ἀναγραφῶν θέσεως. ἐπεὶ οὐχ ὥσπερ λόγου ἕνεκεν ποίω σημείων τοῦ ζωδιακοῦ συνανατέλλων ὅ δὲ ὁ ἀστὴρ καταλαμβάνετι, δείκνυται δι' αὐτῶν καὶ ἡλίκην τοῦ ἡλίου περιφέρειαν ἀπέχοντος ὑπὸ γῆν ὑπὸ τοῦ ζωδιακοῦ τοῦ συνανατέλλοντος αὐτῷ σημείου τοῦ διὰ μέσων, πρῶτος φανήσετι ὁ ἀστήρ. κατὰ πλείονας τρόπους τῆς τοιαύτης περιφερείας ἀνίσου γινομένης, καὶ ὑπὸ διαφόρων καὶ ὑπὸ τῶν αὐτῶν ἀστέρων, καὶ παρὰ τῆς ἀνισότητα τῶν μεγεθῶν αὐτῶν, καὶ περὶ τὰς κατὰ πλάτος ἀπστάσεις, καὶ παρὰ τῆς ἀνομοιότητα τοῦ τοῦ ζωδιακοῦ πρὸς τοὺς ὁρίζοντας ἐγκλίσεων. εἰ γὰρ ἦν δυνατὸν εὑρεῖν ἀπὸ μόνης τῆς ἐκ τῶν ἀναγραφῶν θέσεως πηλίκην ὑπὸ τοῦ ζωδιακοῦ περιφέρειαν τοῦ ἡλίου ὑπὸ γῆν ἀπέχοντος πρῶτος ὅ δὲ ὁ ἀστὴρ τῆς φάσιν ἢ τῆς κρύψιν ποιεῖτι, ἔχοντες καὶ ὁ συνανατέλλει ὁ ἀστήρ, αὐτόθεν ἔσχομεν ἂν καὶ τὸ σημεῖον τοῦ διὰ μέσων ἐφ' οὗ γενόμενος ὁ ἥλιος τῆς φάσιν ἢ τῆς κρύψιν τοῦ δὲ τοῦ ἀστέρος ποιήσετι δηλαδὴ καὶ τὸν χρόνον. καὶ πρὸς τῆς τοιαύτην ἀπόδειξιν ἐκθέμενος μεσημβρινὸν μλ κύκλον τὸν αβγδ, ζωδιακοῦ δὲ ἡμικύκλιον τὸ αεγ, ὁρίζοντος δὲ τὸ βεδ περὶ πόλον τὸ η̄, φησὶ δῆλον ὅτι τοῦ ε̄ σημείων συνανατελλόντων τοῦ ἀστέρων, ἐὰν ὁ μείζων πρῶτος ἄρχητι φαίνεσθαι τοῦ ἡλίου λόγου ἕνεκεν τῆς ἐξ περιφέρειαν ἀπέχοντος ὑπὸ γῆν, ὁ ἐλάττων καὶ ἴσον κατὰ πλάτος ἀφεστήκη τοῦ ἡλίου, πρῶτος φανήσετι μείζονα τῆς ἐξ περιφερείας ἀπέχοντος αὐτοῦ καὶ τὰς αὐτὰς ποιοῦντος ἐλάσσονας. οὐ τοῦτο ἐνταῦθα βούλετι δεῖξαι, ὅτι ἀνισομεγέθεις ἀστέρου πάντως καὶ ἀπὸ ἀνίσου ἀπὸ τοῦ ἡλίου ὑπὸ τὸ ὁρίζοντα τοῦ διὰ μέσων περιφερείας φαίνοντι. ἐπειδήπερ καὶ τοῦ πρὸς τῷ ζωδιακῷ αὐτοῦ πλειόνων οὐσῶν ἐὰν ὁ μείζων πλησίον ἦν τοῦ διὰ μέσων, ὁ δὲ ἐλάττων, μεῖζον αὐτοῦ κατὰ πλάτος ἀπέχη, εἰς ἀμαυρότερον ἀέρα ἐμπίπτων, δύνατι ἀπὸ τῆς αὐτῆς τοῦ μείζονι εἰρημένης διαστάσεως, οἷον τῆς ἐξ πρῶτος φαίνεσθαι. ἀλλ' ἐπεὶ ἔφησε κατὰ τρεῖς τρόπους γίνεσθαι ταῖς φάσεσι διαφορὰς, παρά τε τὰ μεγέθη τοῦ ἀστέρων, καὶ παρὰ τὰς κατὰ πλάτος αὐτῶν ἀπστάσεις, καὶ περὶ τὰς ἐγκλίσεις τοῦ διὰ μέσων πρὸς τὸ ὁρίζοντα, βουλόμενος πρῶτον δεῖξαι ὅτι γίνετι καὶ περὶ τὰ μεγέθη διαφορὰ, παρείληφε τῆς αὐτὴν θέσιν τοῦ διὰ μέσων, ἵνα ἡ αὐτοῦ ἔγκλισις αὐτοῦ μένη πρὸς τὸ ὁρίζοντα, ὡς ἡ πρὸς τῷ ε̄, καὶ τῆς ἴσην κατὰ πλάτος ἀπόστασιν, οὐκέτι δὲ καὶ ἰσομεγέθεις τοὺς ἀστέρας, ἵνα δηλαδὴ ἡ γινομένη διαφορὰ ὑπὸ τοῦ φάσεων τῆς ἐξ περὶ τῆς ἀνισότητα τοῦ μεγεθῶν ἦν ἀπτελουμένη, οἷον ὡς ὑπὸ τοῦ π̄ κ̄ νοήσωμεν τοὺς ἀστέρας συνανατέλλοντας τῷ ε̄ ἴσας κατὰ πλάτος τοῦ διὰ μέσων ἀπέχοντας τὰς π̄μ κ̄λ πρὸς ὀρθὰς τῷ αεγ διὰ μέσων. διαστοῦτο καὶ κατὰ τῆς αὐτὴν θέσιν τοῦ διὰ μέσων ἴσων γινομένων καὶ τοῦ ε̄π ε̄κ, ἐπεὶ καὶ τοῦ με̄π κε̄λ τριπλεύρων, καὶ πρὸς τοῖς π̄κ αὐτὰς ἴσας γίνεσθαι, διὰ τὸ καὶ τὰς πρὸς αὐτῷ τῷ ζωδιακῷ οἷον τοῦ ε̄ ἐκ τῆς αὐτῆς ὑπὸ γῆν τοῦ ἡλίου διαστάσεως πλείους γίνεσθαι τοῦ ἀπώτερον, ἴσας δὲ τὰς πρὸς τοῖς ἴσον ἀπέχουσι. καὶ δῆλον ὡς ὅτι ὁ ἐλάττων ἀπὸ ἐλαττόνων αὐτῶν ὁρώμενος ἀπὸ πλείονος τοῦ ἡλίου ὑπὸ γῆν διαστάσεως ὀφθήσετι. τὸ δὲ λεγόμενον τοῦ ἡλίου κατὰ πλάτος ἀπέχειν, ἐκ δεκτέον



αὐτὸν

αὐτὸν λέγειν τοῦ διὰ μέσων ἀπέχειν. Καὶ πάλιν ὑπὸ τῶν ἰσομεγέθων ἀστέρων ἐὰν ὁ συνεγγίζων τοῦ ε κατὰ πλάτος ἀπὸ τῆς εζ διαστάσεως φαίνεται, ὁ πλεῖον ἀφεστὼς κατὰ πλάτος, ἀκὴ ἐλάττονος ὑπὸ γῆν τοῦ ἡλίου διαστάσεως ὀφθήσεται. διὰ τὸ ὡς ἔφαμεν ὑπὸ τῆς αὐτῆς ὑπὸ γῆν τοῦ ἡλίου διαστάσεως τὰς πρὸς αὐτῷ τοῦ ζωδιακῷ αὐτὰς πλείους εἶναι τῶν ἀπώτερον. ἔφησε δὲ ὁ συνεγγίζων τῷ ε κατὰ πλάτος, ἐπειδήπερ τῶν κατὰ πλάτος διαστάσεως ἀνίσων οὐσῶν, δηλαδὴ τῆς πε εκ, ὁ συνεγγίζων τῷ ε ἀπὸ πλείονος διαστάσεως ἀπὸ τοῦ ἡλίου φαίνεται τῶν αὐτῶν ἐλαττουμένων. καὶ ἐνταῦθα δὲ οὐ τοῦ ε συνανατέλλοντας παρείληφεν, ἵνα πάλιν ἡ αὐτὴ ᾖ κλίσις. καὶ ἔτι ἰσομεγέθεις τοὺς ἀστέρας, οὐκέτι δὲ καὶ τὰς κατὰ πλάτους ἀποστάσεις τὰς αὐτὰς, ὅπως καὶ ἐνταῦθα ἡ γινομένη διαφορὰ τῆς ὑπὸ τοῦ ζωδιακοῦ ὑπὸ τοῦ ἡλίου διαστάσεως, περὶ μόνην τῆς κατὰ πλάτος ἀπόστασιν ἀποτελεῖται. ὅτι τὲ ἡ ὑπὸ τῶν ἰσομεγῶν καὶ κατ' ἴσην πλάτους ἀπόστασιν ἀνατελλόντων, ὅσῳ ἂν πλέον ὁ ζωδιακὸς ἐγγκλίνηται πρὸς τὸν ὁρίζοντα, καὶ τῆς ὑπὸ δεζ γωνίαν ἐλάσσονα ποιεῖ, τοσούτῳ μᾶλλον ἀκὴ πλείονος διαστάσεως φανήσεται ὁ ἀστήρ. γραφέντος γὰρ διὰ τοῦ η πόλου τοῦ ὁρίζοντος, καὶ τοῦ ἡλίου κατὰ τὸ ζ ὑποκειμένου, τοῦ ηθξ τμήματος, ἐὰν ποιήσωμεν τὸν ζωδιακὸν καὶ ἑτέραν κλίσιν λαβόντα ὡς τῆς ὑπὸ ζξε, καὶ τῷ ξ τοῦ ζωδιακοῦ τμήματι συνανατέλλοντας ἀστέρας κατὰ τὰ ο ρ, ἴσην τῇ επ ὑπὸ τοῦ ὁρίζοντος τῆς κατὰ πλάτος ἀπόστασιν ἔχοντας, ἡ μὴ γὰρ τοῦ ἡλίου ὑπὸ γῆν διάστασις ὑπὸ τῶν αὐτῶν ἀστέρων ἴση πάντοτε μὲν τῇ ζθ, διὰ τὸ τῇ οὕτως ὑπὸ τοῦ πρὸς ὀρθὰς τῷ ὁρίζοντι ἴση ἀποχῇ κατὰ τὰς ὑπὲρ γῆν ὡς ἔφαμεν τὰς αὐτὰς καὶ ὁμοίας εἶναι, ἡ δὲ εζ περιφέρεια τουτέστιν ἡ ζξ ἀκὴ τοῦ ἡλίου ὑπὸ τὸ ἀνατολικὸν τοῦ διὰ μέσων σημείου διάστασις, μενούσης τῆς ζθ πρὸς ὀρθὰς τοῦ ὁρίζοντι, ὀρθουμένου μᾶλλον τοῦ ζωδιακοῦ, ἐλάττων ἔσται, ἐγκλινομένου δὲ μείζων. ἐπειδήπερ καὶ ὀρθοτέρου ὄντος τοῦ εζ τμήματος τοῦ ζξ οἱ κατὰ τὰ ο ρ ἀστέρου ἰσομεγέθεις τοῖς κατὰ τὰ π κ τυγχάνοντου, καὶ ἴσην αὐτῶν κατὰ πλάτος ὑπὸ τοῦ ὁρίζοντος ἀπέχοντου, ἀκὴ μείζονος ὑπὸ τοῦ ζωδιακοῦ τοῦ ἡλίου διαστάσεως τῆς ζξ τῆς φάσιν ποιοῦντας. ἐπεὶ καὶ τῆς ζθ ἴσης μενούσης, καὶ διατοῦτο τῶν ὑπὲρ γῆς αὐτῶν ὁμοίων οὐσῶν καὶ ὑπὸ τῶν πρὸς τοῖς εξ δηλαδὴ καὶ τῶν πρὸς τοῖς κ π ρ ο, διὰ τῆς ἴσην ὑπὸ τοῦ ὁρίζοντος τοῦ πλάτους ἀπόστασιν ἀκολουθεῖν, καὶ οὐ ἀστέρας ἰσομεγέθεις ὑποκειμένους, ἐκ τῶν κατὰ τοιαύτας θέσεις ὁμοίων αὐτῶν, πρώτως φαίνεσθαι. παρείληφε δὲ καὶ ἐνταῦθα τά τε ἰσομεγέθη τῶν ἀστέρων καὶ τὰς αὐτὰς ὑπὸ τοῦ ὁρίζοντος κατὰ πλάτος ἀκστάσεις, οὐκέτι δὲ καὶ τῆς πρὸς τὸν ὁρίζοντα ἔγκλισιν τοῦ διὰ μέσων τῆς αὐτήν. ἵνα περὶ μόνην ταύτην αἱ γινόμεναι διαφοραὶ τῆς ὑπὸ τοῦ ζωδιακοῦ ὑπὸ τῆς τοῦ ἡλίου διαστάσεως ἀκτελῶντας. Βέλτιον δὲ διὰ τὰ εἰρημένα ὑπὸ τῶν τοιούτων διαφορῶν λέγω δὴ τῶν παρὰ τὰς ἐγκλίσεις τοῦ διὰ μέσων πρὸς τὸν ὁρίζοντα τὰς κατὰ πλάτος ἀκστάσεις ἐκδέχεσθαι λέγειν τὸν Πτολεμαῖον ὑπὸ τοῦ ὁρίζοντος. ἐπειδήπερ καὶ ὅταν αἱ πρὸς τὸν διὰ μέσων κατὰ πλάτος ἀκστάσεις ἴσαι ὦσιν ὑπὸ τῆς αὐτῆς τοῦ ζωδιακοῦ θέσεως, καὶ ἀκὴ τοῦ ἀνατέλλοντος σημείου διὰ μέσων ὑπὸ τοῦ ὁρίζοντος ἀκστάσεις, ἴσαι εἰσί. καὶ ἄνισοι, ἄνισοι. ὑπὸ δὲ διαφόρων τοῦ ζωδιακοῦ πρὸς τὸν ὁρίζοντα ἐγκλίσεων, οὐκέτι τῶν κατὰ πλάτος ἀκστάσεων πρὸς τὸν ζωδιακὸν ἴσων οὐσῶν, καὶ αἱ ἀκὴ τῶν ἀνατελλόντων σημείων τοῦ διὰ μέσων ὑπὸ τοῦ ὁρίζοντος τῶν ἀστέρων ἀκστάσεις ἴσαι εἰσί, τῶν τοιούτων διαστάσεων ὁμοίας τὰς αὐτὰς ποιουσῶν. ἀκδείξας κατὰ οὐ εἰρημένους τρόπους ὅτι οὐχ ὥσπερ ἀκὴ μόνης τῆς ἐκτεθειμένης κανονογραφικῆς αὐτῶν θέσεως καταλαμβάνεται διὰ τῶν γραμμῶν, ποίω σημείου τοῦ ζωδιακοῦ συνανατέλλει ὅ δὲ ὁ ἀστήρ, καὶ ἀκὴ πηλίκης ἔτι τοῦ ἀστέρος ἀκὴ τοῦ διὰ μέσων ἀκστάσεως ἕκαστος αὐτῶν πρώτως φανήσεται ἢ κρυφθήσεται, δυνατόν ἐστι διὰ τῶν ὁμοίων ἐφοδεῦσαι, φησί. δεῖ ἄρα τηρήσεως καθ' ἕνα ἕκαστον τῶν ἀστέρων πρὸς τῆς τῆς εἰρημένης ὑπὸ τοῦ διὰ μέσων τοῦ ἡλίου ὑπὸ γῆν διαστάσεις ὑπὸ τοῦ ζωδιακοῦ κατάληψιν. καὶ μὴ μὴ δὲ ἡ ὑπὸ τοῦ πρὸς ὀρθὰς τῷ ὁρίζοντι τοῦ ἡλίου διάστασις ἡ ζθ ἡ αὐτὴ μένη κατὰ πάσας τὰ οἰκείσεις ὑπὸ τῶν αὐτῶν ἀστέρων. διὰ τὸ μὴ δὲ τὰς ὁμοίας αὐτὰς ἀκὴ τῆς αὐτῆς ὑπὸ τοῦ πρὸς ὀρθὰς τῷ ὁρίζοντι τοῦ ἡλίου διαστάσεως, ὡσαύτως καταλάμπειν ἐν τῷ παχυτέρῳ τῶν βορειοτέρων κλιμάτων ἀέρι, οὐ μόνον ἑνὸς κλίματος τηρήσεων δεησόμεθα, ἀλλὰ καὶ καθ' ἕκαστον τῶν λοιπῶν. ἐὰν δὲ ὑπὸ τῶν αὐτῶν ἀστέρων ἡ ὁμοία τῇ ζθ περιφέρεια ἡ αὐτὴ διασώζητα πανταχῇ, ὅπερ καὶ ἀκόλουθόν ἐστι. τὸ αὐτὸ γὰρ ἀνάγκη συνδιατίθεσθαι ταῖς αὐγαῖς καὶ οὐ ἀστέρας, ἀναλόγως τῇ παχύτητι τῶν ἀέρων καὶ τῶν αὐγῶν ἀμαυροτέρων φαινομένων. διαοῦτο μὴ διὰ μόνην τῆς τῶν ἀέρων παχύτητα τῶν αὐγῶν ἐλαττουμένων, ἐξελάττονος τοῦ ἡλίου διαστάσεως γίνεσθαι τῆς φάσιν, καὶ δηλαδὴ ἐλάττονα καὶ τὴν ζθ, ἀλλὰ καὶ διὰ τῆς τῶν ἀστέρων ἀνάλογον ἀμυδρότητα, μείζονα πάλιν ἀναλόγως γίνεσθαι καὶ τὴν αὐγὴν δηλαδή. αἱ γὰρ ἀμυδρότεροι τῶν ἀστέρων ἐκ μειζόνων ἀπὸ τοῦ ἡλίου ὑπὸ τοῦ πρὸς ὀρθὰς τοῦ ὁρίζοντι διαστάσεων ποι-

οὕτως τῶν φάσιν ἀρκέσουσιν ἡμῖν ⟨ἀλλὰ καθ' ἓν μόνον κλίμα τετηρημένων ὑπὸ τοῦ ζωδιακοῦ ἀποστάσεις πρὸς τὸν ⟨τὰς λοιπὰς ἐφοδεύειν διὰ τῶν γραμμῶν. ἐάν τε παρὰ τὰς οἰκείσεις ἡ κλίσις τοῦ διὰ μέσων ἀλλάσσηται, ἐάν τε παρὰ τὰς εἰς τὰ ἑπόμενα τῶν ἀπλανῶν μετακίνησιν, διὰ τὸ παρὰ ταύτην μὴ πάντοτε τοῖς αὐτοῖς τοῦ διὰ μέσων σημείοις τοὺς αὐτοὺς ἀστέρας συναπτέλλειν ἢ συγκαταδύειν, ὡς μικρῷ πρόσθεν ἀπεδείξαμεν. εἶτα λαβὼν καθ' ὑπόθεσιν ἐν τηρήσεως λοιπὸν τὸν ε ὑπὸ τοῦ ζωδιακοῦ διάστασιν τοῦ ἑνὸς οἱουδήποτε κλίματος, συνάγει καὶ τὸν ζθ ὑπὸ τοῦ πρὸς ὀρθὰς ὁρίζοντι διεχόμενον. εἶτα δι' αὐτῆς ταύτης πάντοτε ὡς ἔφαμεν τῶν αὐτῶν ἀστέρων τῆς αὐτῆς μονούσης, συνάγει καὶ τὸν ε τοῦ ζωδιακοῦ διάστασιν διεχόμενον ὡσαύτως. καὶ τῶν λοιπῶν ὁμοίως διαστάσεων κατὰ κλίμα διεχομένων. τὸν αὐτὸν δὴ τρόπον, καὶ ὑπὸ τῶν πρὸς τὰς καταδύσεις λυόντων κατακολουθοῦντες ταῖς ἐφόδοις, εὑρήσομεν ἀπὸ πολίκης τοῦ ζωδιακοῦ ὑπὸ γῆν τοῦ ἡλίου διαστάσεως τῶν ἀστέρων πρῶτος λυφθήσεται. μονούσης γὰρ ὑπὸ τὸν αὐτοῦ κύκλον τῆς τοῦ ζωδιακοῦ θέσεως ὑπὸ τὰ ἕτερα κατὰ τὸ τῆς ἐγκλίσεως ἀκόλουθον καταγραφομένης, ὡς λυτικῆς ὑποκειμένης τῆς βδ τοῦ ὁρίζοντος περιφερείας, τυτέστιν ἵνα ἀναπληρωθῇ τὸ βεδ ὁρίζοντος, λυτικοῦ πολλοστὸν γινομένου τοῦ βκδ ἡμικυκλίου, καὶ ἔτι τοῦ γκε κλ τμήματος τοῦ διὰ μέσων, ὑποβεβηκὸς τὸν ἥλιον ὑπὸ γῆν κατὰ τὸ λ γράφωμεν διὰ τοῦ ῃ πόλου τοῦ ὁρίζοντος καὶ διὰ τοῦ λ, τὸ ημλ τμῆμα, καὶ ἔσται χρόνος ὑπὸ τοῦ αὐτοῦ κύκλου ἡ καταγραφή. χρόνος δὲ εἴρηκε, διὰ τὸ μὴ τὰ αὐτὰ ἐν ἐγκλίσιν τοῦ ζωδιακοῦ πρὸς τὸν ὁρίζοντα κατὰ τὸ ε ἀνατολικὸν καὶ κατὰ τὸ κ λυτικόν. καὶ διατοῦτο ἑτέραν γίνεσθαι τὴν ε τῆ κλ. γινήσονται γὰρ πάλιν διὰ αὐτὰ εἰς β τὰς κβ καὶ κλ δύο διαχθείσας ἀπὸ τῶν περάτων ἥτε βμ καὶ ηλκα τέμνουσαι ἀλλήλας κατὰ τὸ κ, καὶ λοιπὸν ἐκτηρήσεως οἱουδήποτε κλίματος τῆς κλ ὑπὸ τοῦ ζωδιακοῦ ὑπὸ γῆν τοῦ ἡλίου διαστάσεως, διοριζέσθαι καὶ τὸν μλ ὑπὸ τοῦ πρὸς ὀρθὰς ὁρίζοντι ὑπὸ γῆν τοῦ ἡλίου διάστασιν. ἐπεὶ καὶ ἐὰν πάλιν ἀπὸ τοῦ τῆς ὑπὸ τὸν διπλοῦν τῆς αβ πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς βγ λόγου ἀφέλωμεν τὸν τῆς ὑπὸ τὸν διπλοῦν τῆς αη πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς κλ λόγον, καταλειφθήσεται ὁ τῆς ὑπὸ τὸν διπλοῦν τῆς λμ πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς μγ λόγος. καὶ τῆς μγ διαιρουμένης ἐπὶ πόλου τοῦ ὁρίζοντος τεταρτημορίου, καταλείπεσθαι καὶ τὸ τῆς μλ μέγεθος, ⟨ταύτης ἴσης πάντοτε γινομένης τῶν αὐτῶν ἀστέρων, δῆλον δὲ καὶ τὰς ὁμοίας τῆ κλ. ἐπεὶ δὲ πάλιν ἐὰν ἀπὸ τοῦ τῆς ὑπὸ τὸν διπλοῦν τῆς κβ πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς βα λόγου ἀφέλωμεν τὸν τῆς ὑπὸ τὸν διπλοῦν τῆς ηβ πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς μλ λόγον, καταλειφθήσεται ὁ τῆς ὑπὸ τὸν διπλοῦν τῆς λκ πρὸς τὸν ὑπὸ τὸν διπλοῦν τῆς κα. καὶ διαιρεθείσης τῆς ὑπὸ τὸν διπλοῦν τῆς κα διὰ τὸ καὶ τὸ κ δῆλον ὅτι συγκαταδύσει ὁ ἀστὴρ, ⟨τὸ α μεσουρανοῦν διὰ τῆ καὶ τὸν λκ τοῦ ζωδιακοῦ περιφέρειαν ὑπ' ἀπέχων ὁ ἥλιος ὑπὸ γῆν τὸν πρῶτον κύκλον τοῦ ἀστέρος ποιήσεται. γνώσεται μὲν οὖν τοῦ μὴ δεῖν παραλελεῖφθαι τὸν τόπον, ἱκανῶς ἔχειν καὶ τὰ εἰρημένα ἡγούμεθα πρὸς γύμνασιν τῆς κατὰ τὴν θεωρίαν τῶν φάσεων καὶ λύσεων πραγματείας. γνώσεται δὲ τοῦ τὰς περὶ τὰς καταλήψεις τῶν φάσεων καὶ λύσεων ἐπισκέψεις πολυχρονίους καὶ ἐργωδεστέρας ὑπάρχειν, οὐ μόνον παρὰ τὰς διαφορὰς τῶν τε οἰκήσεων καὶ τῶν πρὸς οὓς ὁρίζοντας ἐγκλίσεων τοῦ διὰ μέσων πλείστας οὔσας, ἀλλὰ καὶ παρ' αὐτὸ τὸ πλῆθος τῶν ἀστέρων, καὶ ἔτι τὸ κατὰ τὰς τηρήσεις τῶν φάσεων ἐργῶδες τε εἶναι καὶ δυσκατανόητον, καὶ τῶν ὁρώντων αὐτῶν καὶ τῶν κατὰ τοὺς ὁρωμένους τόπους ἀέρων ἀνόμοιον καὶ ἀβέβαιον τὸν χρόνον τῆς πρώτης φάσεως ἢ λύσεως ἐμποιεῖν δυναμένων. ὥστε καὶ ἀπ' αὐτῆς τῆς πείρας τοῦ Πτολεμαίου γέγονεν ἂν κατανόητον πρὸς τούτοις. καὶ διὰ τὸ τὴν εἰς τὰ ἑπόμενα τοῦ διὰ μέσων τῶν ἀπλανῶν μετάβασιν μὴ συγχωρεῖν τοὺς αὐτοὺς ἀστέρας, πάντοτε τοῖς αὐτοῖς τοῦ διὰ μέσων τμήμασι συναπ-



συνανατέλλειν τὲ καὶ συμμεσουρανεῖν καὶ συγκαταδύνειν, ἑξῆς καὶ οἱ τῶν φάσεων χρόνοι ἡμέραν μίαν ἐπιλαμβάνουσιν, ἐν τοῖς ρ̄ν ἔτεσιν ὡς ἑξῆς δῆλον ποιήσομεν, παρητησάμεθα τὴν τοιαύτην χρονοτρίβειαν ὑπὲρ τοῦ παρόντος, ἅπαξ ἐν ἑτέρῳ συντάγματι ἐπιγράφοντι φάσεις ἀπλανῶν, ἐντελέστερόν πως περὶ τούτων διαλαβόντες, ἀρκούμενοι ὑπὲρ τοῦ παρόντος τοῦ σύνεγγυς, ἢ ἀπ' αὐτῶν τῶν προτέρων ἀναγραφῶν, ἢ ἀπ' αὐτῆς τῆς σφαιρικῆς διαθέσεως καταστερισθεῖσιν. λαμβάνοντες γὰρ ἐκ ταύτης προχειρότερον ποιῶ τμήματι τοῦ διὰ μέσων συνανατέλλει ὁ δὲ ὁ ἀστὴρ, καὶ ἔχοντες ἐκ τῶν προτέρων ἀναγραφῶν ἀπὸ ποίας διαστάσεως τοῦ ἡλίου ποιεῖται τὴν φάσιν, κἂν ὁ ἀστὴρ ὕστερον κινηθεὶς μήτε τοῦ αὐτῷ σημείῳ τοῦ διὰ μέσων συνανατέλλῃ, μὴ δὲ ἀπὸ τῆς αὐτῆς τοῦ ἡλίου διαστάσεως. καὶ ἔτι ὁμοίως ἔχοντες τὴν προτέραν ἐποχὴν καὶ διάστασιν τοῦ ἡλίου, τὴν ταύτην τὸ σύνεγγυς δυλοῦσαν ἀποφαινόμεθα. ἐπειδὴ καὶ μάλιστα τὸ χρήσιμον τῶν φάσεων περὶ τὰ τοῦ ἀέρος καταστήματα πρὸς τὰ κατὰ τὰ τμήματα τοῦ διὰ μέσων φυλαττουσιν τὴν ἐπισημασίαν. διὸ φησὶν καὶ γὰρ δὴ καὶ τὰς ἀπὸ τῶν φάσεων ἢ κρύψεων γινομένας περὶ τὰ καταστήματα τῶν ἀέρων ἐπισημασίας, ὡς ὑπὸ πλειάδων δύσεως, ἢ κυνὸς ἐπιτολῆς, ἢ οὐρᾶς ταύρου, ἐάν γε ταύταις καὶ μὴ ταῖς τῶν δωδεκατημορίων τοῦ ζωδιακοῦ μοιραῖς προσάπτῃ τις τὴν αἰτίαν, ὁρῶμεν τὸ σύνεγγυς αἰεὶ καὶ τὸ μὴ τεταγμένον μὴ δὲ ἀπαραλλακτον συντηρούσας. ὁ τὲ μὴ γὰρ ἐπισημαίνει χειμῶνα ἢ ὄμβρον, ἢ ἄλλό τι κατ' αὐτὴν τὴν ἡμέραν τῆς φάσεως, ὁ τὲ δὲ πρῶτον, ὁ τὲ δὲ ὕστερον. ὡς τῆς αἰτίας τῶν φάσεων κατὰ τὸ παχυμερέστερον ἀποτελουμένης, καὶ μὴ οὕτως ὑπ' αὐτῶν τῶν ἀστέρων κατὰ τὰς πρώτας φάσεις ἢ κρύψεις ἑώας ἀνατολῆς καὶ ἑσπερίας δύσεως, καὶ ἑώας δύσεως καὶ ἑσπερίας ἀνατολῆς γινομένης. καὶ ὑπὸ τῶν κατὰ τὰ ὅλα διαστήματα λαμβανομένων πρὸς τὸν ἥλιον σχηματισμῶν τουτέστι τριγώνων ἢ τετραγώνων, ἢ ἑξαγώνων, καὶ τῶν ἐν αὐτοῖς ὑπὸ μέρους τῆς σελήνης προσνεύσεων, συνόδων, πανσελήνων, ἀνατολῶν, ἀμφικύρτων διχοτόμων πρώτων καὶ δευτέρων, καὶ τῶν λοιπῶν χρηματισμῶν, οὐχ εὑρίσκομεν τὸ ἀπαραβατον τῶν ἐπισημασιῶν συντηρούμενον. διὰ τὸ μὴ πρὸς τὰ αὐτὰ τμήματα τοῦ ζωδιακοῦ καὶ ταύτας ἀποτελεῖσθαι.

Τέλος τοῦ ὀγδόου.

ΘΕΩΝΟΣ ΑΛΕ

ΞΑΝΔΡΕΩΣ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΕΝ-νατον τῆς συνταξεως.



Ιεξελθὼν ὁ Πτολεμαῖος ἐν τῷ ὀγδόῳ βιβλίῳ περί τε τῆς ἐκθέσεως τοῦ κατὰ τὸ νότιον ἡμισφαιρίου, καὶ τῆς τοῦ γαλαξίου κύκλου διαθέσεως, καὶ περὶ τῆς κατασκευῆς τῆς στερεᾶς σφαίρας, καὶ τῶν οἰκείων τοῖς ἀπλανεσι σχηματισμῶν, οὓς ποιοῦνται πρός τε τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς πλανωμένους καὶ τὴν γῆν, καὶ περὶ τῶν συνανατολῶν, ἢ συμμεσουρανήσεων, ἢ συγκαταδύσεων τῶν ἀπλανῶν, ὧν ποιοῦνται πρὸς τὰ τοῦ ζωδιακοῦ μέρη, καὶ ἔτι τῶν φάσεων καὶ κρύψεων αὐτῶν, ἑξῆς ἐν τούτῳ τῷ βιβλίῳ ἐννάτῳ τυγχάνοντι κατὰ τὸ ἀκόλουθον τῆς ἐν ἀρχῇ τῆς συντάξεως γεγενημένης αὐτῷ τῆς τάαξεως τῶν θεωρημάτων ἀπαριθμήσεως, ἄρχετο τοῦ περὶ τῆς πέντε πλανομένων ἀστέρων λόγου.

ΠΕΡΙ ΤΗΣ ΤΑΞΕΩΣ ΤΩΝ ΣΦΑΙΡΩΝ ΗΛΙ-ου καὶ σελήνης, καὶ τῶν ε̄ πλανομένων.



Οσα μὲν δὴ καὶ περὶ τῶν ἀπλανῶν ἀστέρων ἄν τις ὡς ἐν κεφαλαίοις ὑπομνηματίσαιτο, καθ' ὅσην τὰ μέχρι νῦν φαινόμενα προκοπὴν καταλήψεως ὑποβάλλει, σχεδὸν ταῦτ' ἂν εἴη. ἐπεὶ αἱ διὰ τοῦ μακρῷ τινι τοῦ πολλοπλασίου χρόνου τῶν τηρήσεων καταλήψεις, βέβαιον ἀπεργάζονται τὴν πρότερον πρὸς τὴν ὕστερον κατάληψιν. διὰ γὰρ τὰς παρὰ τὰς κατασκευὰς ἢ χρήσεις τῶν ὀργάνων πρὸς τὸ λεπτομερὲς συμβαινούσας παραθεωρήσεις ὡς ἐν τοῖς ἔμπροσθεν ἐδηλοῦμεν, φησὶν οὕτως. ὅσα μὲν οὖν ἄν τις καὶ περὶ τῶν ἀπλανῶν ἀστέρων διαλάβοι, ἐφ' ὅσον τὰ μέχρι νῦν φαινόμενα τὴν πρὸς τὰ πρότερον ὁμολογίαν διαφυλάττοντα, βεβαιοτέρας τὰς περὶ αὐτῶν καταλήψεις ἐμφανίζει, ταῦτ' ἂν εἴη. λειπούσης δὲ εἰς τῆς προκειμένην σύνταξιν τῆς περὶ τῶν ε̄ πλανομένων πραγματείας, ποιεῖτο καὶ τῆς περὶ τούτων ἔκθεσιν, διὰ τὸ πρόχειρον, ὠδὶ μὲν τῶν κοινότερον αὐτοῖς παρακολουθούντων, ὠδὶ ἑνὸς μόνου τὰς ἐφόδους παρατιθέμενος. διὰ τὸ ὁμοίως καὶ ὠδὶ τῶν ἄλλων ἁρμόζειν τῆς ἀπόδειξιν. ὠδὶ δὲ τῶν ἰδίως, τοῖς κοινοῖς ἐπισυνάπτων, περαίνειν τῆς ἑκάστου κατάληψιν, καὶ πρώτην τῆς περὶ τῆς θέσεως τῶν σφαιρῶν αὐτῶν, αἵ τινες καὶ αὐταὶ καθάπερ καὶ ἡ τῶν ἀπλανῶν τὰς κινήσεις ποιοῦντο, ὡς περὶ οὗς τοῦ λοξοῦ καὶ διὰ μέσων τῶν ζωδίων πόλους. τὸ δὲ ὡς πρόσκειτο, διὰ τὸ μὴ κατ' αὐτοῦ τοῦ διὰ μέσων, ἢ κατὰ παραλλήλων αὐτῷ, ὡς οἱ ἀπλανεῖς ἀστέρες κινεῖσθαι, ἀλλὰ περὶ αὐτὴν αὐτοὺς ἀναστρεφομένους φαίνεσθαι. μόνοι γὰρ ὅτε ὁ ἥλιος καὶ οἱ ἀπλανεῖς περὶ οὗς τοῦ διὰ μέσων πόλους τὰς κινήσεις ποιοῦντο. διὰ τὸ τὴν μὲν ἥλιον κατ' αὐτοῦ φέρεσθαι, οὗς δὲ ἀπλανεῖς ἢ κατ' αὐτοῦ ἢ κατὰ παραλλήλων αὐτῷ, οὐκέτι δὲ οἱ πλάνητες διὰ τὸ κατὰ λοξῶν αὐτοὺς κινεῖσθαι πρὸς τὴν διὰ μέσων. ἔφησε δὲ καὶ τούτους περὶ οὗς τοῦ διὰ μέσων πόλους ποιεῖσθαι τὰς κινήσεις. διὰ τὸ καὶ τῆς γινομένην αὐτῶν παρὰ τὴν ἔγκλισιν τῶν κύκλων τῇ κατὰ μῆκος παρόδῳ διαφορὰν βραχεῖαν καὶ ἀνεπαίσθητον τυγχάνειν. Τὸ μὲν οὖν πάσας περιγειοτέρας εἶναι τῶν ἀπλανῶν καὶ τὰ ἑξῆς, σαφῆ. καὶ ἡμῖν δὲ ἡ μὲν τοιαύτη κρίσις βέβαιον ἔχειν δοκεῖ. τῷ δὲ Πτολεμαίῳ ἡ λέγουσα αἰτία ὑπερκεῖσθαι τῆς τοῦ ἡλίου σφαίρας τήν τε τῆς ἀφροδίτης καὶ τῆς τοῦ ἑρμοῦ, τῷ μὴ δὲ πώποτε ἐπισκοτεῖσθαι τὴν ὑπ' αὐτῶν, ἡ καὶ ὁ Πλάτων ἀρέσκετο, ἀβέβαιος εἶναι δοκεῖ, διὰ τὸ δύνασθαι τινὰς εἶναι μὲν ὑπὸ τὴν ἥλιον, μηκέτι δὲ καὶ ὠδὶ τοῦ διὰ τῆς ὄψεως ἡμῶν καὶ αὐτῶν ἐπιπέδου, ἀλλ' ἐν ἑτέρῳ. καὶ διαλοῦσθαι μὴ ἐπιπροσθεῖν ταῖς ὄψεσιν ἡμῶν, καθάπερ ὠδὶ τῶν τῆς σελήνης πρὸς τὴν ἥλιον συνοδικῶν ὑποδρομῶν τὰ πλεῖστα οὐ γίνετο ἐπισκότησις ἐν ἑτέρῳ ἐπιπέδῳ τοῦ διὰ τῆς ὄψεως καὶ τοῦ ἡλίου, τῆς σελήνης τυγχανούσης. ἢ καὶ ὅτι κἂν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τῷ διὰ τῆς ὄψεως τοῦ ἡλίου γίνωντο, δυνατόν ἐστι κατακρατουμένην τῆς ἐπιπρόσθησιν ὑπὸ τῶν τοῦ ἡλίου αὐγῶν, ἀκατάδηλον γίνεσθαι.

γίνεσθαι. ἔτι δὲ καὶ ἀδυνάτου ὄντος ἐκ τῶν ἀποστημάτων τὸ τοιοῦτον καταλαμβάνεσθαι διὰ τὸ μηδένα τούτων τῶν ἀστέρων ποιεῖσθαι τινὰ παράλλαξιν αἰσθητὴν, δι' ἧς τὸ ἀπόστημα καταλαμβάνετο, καθάπερ ἐν τοῖς περὶ ἡλίου καὶ σελήνης ἀπεδείκνυμεν, πιθανωτέρα μᾶλλον, ἡ τῶν παλαιῶν τάξις καταφαίνεται, χωρίζουσα φυσικώτερον μέσον τοῦ ἡλίου τυγχάνοντος, ἀπογειοτέρους μὲν αὐτοῦ εἶναι, τοὺς πᾶσαν διαίστασιν ἀπ' αὐτοῦ ποιουμένους, λέγω δὴ τόν τε τοῦ κρόνου καὶ ζῆνος καὶ ἄρεως, περιγειοτέρους δὲ τοὺς μὴ οὕτως ἔχοντας, ἀλλὰ περὶ αὐτὸν πάντοτε ἀναστρεφομένους, λέγω δὴ τόν τε τῆς ἀφροδίτης καὶ τὸν τοῦ ἑρμοῦ. ὧν τοσοῦτον αὐτῶν περιγειοτέρων τοῦ ἡλίου τυγχανόντων, ἐφ' ὅσον ἐκ τῆς τοιαύτης θέσεως μηδὲν αἰσθητὸν αὐτοὺς παραλλάσσειν παρακολουθεῖ. ἐπειδήπερ ἐκ τῶν περιγειοτέρων θέσεων μείζονες αἱ παραλλάξεις ἀποτελοῦνται.

ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΤΑΣ ΥΠΟΘΕΣΕΙΣ τῶν πλανομένων προθέσεως.

Τὸ μὲν οὖν κατὰ τὰς τάξεις τῶν σφαιρῶν, τοιοῦτον αὖ εἴη, προκειμένου δὲ ἡμῖν τοῦ καὶ ὧν τῶν ε̄ πλανωμένων ἀστέρων ὥσπερ ὑπὸ ἡλίου καὶ σελήνης τὰς φαινομένας αὐτῶν ἀνωμαλίας πάσας ἀποδεῖξαι, δι' ὁμαλῶν καὶ ἐγκυκλίων κινήσεων ἀποτελουμένας, καὶ τὰ ἑξῆς σαφῆ. Εἶτα προϊὼν φησὶν ἐπί τε τῆς τῶν ἀνωμαλιῶν ἐπισκέψεως, οὐ μικρὸν ἐμποιεῖ θόρυβον τὸ δύο καθ' ἕκαστον αὐτῶν θεωρεῖσθαι γινομένας ἀνωμαλίας, καὶ ταῦτα ἀνίσους καὶ τοῖς μεγέθεσι καὶ τοῖς τῶν ἀποκαταστάσεων χρόνοις, ὧν ἡ μὲν, πρὸς τὰς παρὰ τὴν ἥλιον ἀποστάσεις γινομένη καταλαμβάνετο, ἡ δὲ, πρὸς τὰ μέρη τοῦ ζωδιακοῦ. καὶ περὶ μὲν τὰς τοῦ ἡλίου ἀποστάσεις, καλεῖ τὴν ὑπὸ τοῦ ἐπικύκλου τοῦ ἀστέρος κίνησιν. ἐπειδήπερ μετὰ τὰ περὶ τοὺς ε̄ πλανωμένους φαινόμενα, ἰδίαν ἑαυτοῖς τὴν τοιαύτην ὑπόθεσιν ἐμφανίζει. ἐπειδήπερ καὶ ἡ τοιαύτη πρὸς τὸν ἥλιον ἀνωμαλία τὸν ἀπὸ τῆς μεγίστης κινήσεως ὧν τὴν μέσην χρόνον ποιεῖ μείζονα πάντοτε τοῦ ἀπὸ τῆς μέσης ὧν τὴν ἐλαχίστην, ὅπερ ἡ κατ' ἐπίκυκλον μόνη ποιεῖ τοῦ ἀστέρος κίνησις εἰς τὰ ἑπόμενα τοῦ τοῦ ἀπογείου μεταβάσεως κινουμένου. ἔτι καὶ ὧν μὲν τῶν τριῶν ἀστέρων λέγω δὴ κρόνου καὶ ζηνὸς καὶ ἄρεως τῆς ὁμαλὴν τοῦ ἡλίου πάροδον ἴσην καταλαμβάνεσθαι τῇ γε ὁμαλῇ τοῦ ἀστέρος παρόδῳ, καὶ ἔτι τῇ ἀνωμαλίᾳ, τουτέστι τῇ τε τοῦ ἐπικύκλου, καὶ τῇ τοῦ ἀστέρος ὧν τοῦ ἐπικύκλου. καὶ δῆλον ὡς ὅτι τοσοῦτον ἡ μέση τοῦ ἡλίου πάροδος τῆς μέσης τοῦ ἀστέρος ἀφίσταται, ὅσην τινὰ καὶ ὁ ἀστὴρ ὧν τοῦ ἐπικύκλου ποιεῖται κίνησιν. ἐπειδήπερ διὰ τὰ εἰρημένα καὶ ἡ ὁμαλὴ τοῦ ἡλίου πάροδος τῆς ὁμαλῆς τοῦ ἀστέρος ὑπερέχει τῇ ὑπὸ τοῦ ἐπικύκλου τοῦ ἀστέρος παρόδῳ. ὧν δὲ τῶν λοιπῶν δύο ἀστέρων ἀφροδίτης καὶ ἑρμοῦ, αἱ ὁμαλαὶ πάροδοι, αἱ αὐταὶ τυγχάνουσι τοῖς τοῦ ἡλίου ὁμαλοῖς παρόδοις, καὶ κινούμενοι ὑπὸ τοῦ ἐπικύκλου, ἀφίσταντο τῶν τοῦ ἡλίου μέσων παρόδων, ἐκ τῶν παρὰ τῆς τοῦ ἐπικύκλου κίνησιν γινομένων ὧν τοῦ κατὰ μῆκος παρόδου, διαφόρων τε παρὰ τὰ τοῦ ζωδιακοῦ μέρη, ἢ παρὰ τὴν ἔκκεντρον. ἐπεὶ πάλιν ἐκ τῶν περὶ αὐτοὺς φαινομένων σύμφωνος ἡ τοιαύτη ἀνωμαλία, ταύτῃ τῇ ὑποθέσει καταλαμβάνετο. διαιοῦτο καὶ ὧν τῆς τοιαύτης ἀνωμαλίας καταλαμβάνεσθαι τὴν ἀπὸ τοῦ ἐλαχίστης κινήσεως ὧν τῆς μέσην χρόνον μείζονα τοῦ ἀπὸ τοῦ μέσης ὑπὸ τῆς μεγίστην, ὅπερ ἴδιον τῇ κατ' ἐκκεντρότητα ὑποθέσει κατελαμβάνετο. ταῦτα δὲ πάντα ἐν τοῖς ἑξῆς φανερὰ γενήσετο. καὶ ταύτας καταλαμβάνετο, μεμιγμένας πάντοτε, ὡς τὸ καθ' ἑκατέραν ἴδιον τουτέστι τοῦ προσθέσεις ἢ ἀφαιρέσεις, ἢ καὶ τῆς πηλικότητος δυσεπιλόγιστον εἶναι, καθάπερ ἐν τοῖς ἑξῆς δῆλον γενήσετο, μετὰ τοῦ καὶ τὰς πλείστας τῶν παλαιῶν τηρήσεις ἀνεξετάστως καὶ μὴ ἀκριβῶς γεγράφθαι. αἵ τε γὰρ συνεχέστεραι αὐτῶν, στηριγμοὺς περιεῖχον καὶ φάσεις, ἐφ' ἑκάτερα τούτων τῶν ἰδιωμάτων μὴ δυναμένων, μήτε τῶν ἐποχῶν τῶν ἀστέρων, μήτε τῶν χρόνων καθ' ὧν ἐπί τινων τμημάτων ἐτυγχανον, καταλαμβάνεσθαι ἀδιστάκτως. τῶν γὰρ ἐπιστηριγμῶν προϊόντων ἀστέρων ἀεὶ ὧν τὸ ἔλαττον κινουμένων καὶ ἀνεπαισθήτους ἐπιπλεῖον ποιούντων τὰς πρὸς αὐτῷ τοῦ στηριγμῷ παρόδους, ὁμοίως δὲ κατὰ τῆς ἀπόχωρησιν ὧν πολὺ ἀνεπαίσθητον τῆς πρόσθεσιν τοῦ κινήσεως ποιούντων. οὗτο γὰρ λέγει καὶ πρότερον καὶ ὕστερον αὐτοῦ τοῦ στηριγμοῦ ἐπιπολὺ περὶ τὴν αὐτὸν τόπον τοῦ ἀστέρος ἐγχρονίζοντος, δυσεπιλόγιστος γίνεται, καθ' ὃν ἐπί τινος σημείου τοῦ διὰ μέσων γεγένηται ὁ ἀστήρ. ὁμοίως δὲ ἐπί τε τῶν ἑώων καὶ ἑσπερίων φάσεων. οὗτο γὰρ ἐνταῦθα λέγει τοῖς τὸ πρῶτον ἢ τὸ ἔσχατον ὀφθεῖσι. τὸ δυσεπιλόγιστον τοῦ τε χρόνου καὶ τόπου παρακολουθεῖ, οὐ μόνον τὸ ὧν τῶν ἑώων φάσεων εὐθὺς τοῦ ἡλίου τὸ ὑπὲρ γῆν καταυγάζοντος, ἀφανῆ ποιεῖσθαι

τὸν ἀστέρα, ὧν δὲ τῶν ἑσπερίων ἅμα τῇ φάσει τοῦ ἀστρος καταδυομένου, ἀλλὰ καὶ τῶν κατὰ τὰς φάσεις διαφορᾶς ἕνεκεν τῶν ἀστέρων καὶ τῆς ὄψεως τῶν ὁρόντων, τοὺς τοὺς ὀξυωπεστέρους εἰ τύχοιεν τινὶ ἡμέρα ὁρᾶν τὴν φάσιν, τοὺς δὲ μὴ οὕτως ἔχοντας, ταῖς ἑξῆς ἢ καὶ μετὰ δύο ἡμέρας καθόλου τε καὶ πρός τινα τῶν ἀπλανῶν γινομέναις παρατηρήσεσιν ἐὰν μή τις τῶν τε πρὸς τὸν ζωδιακὸν κλίσεων ἕνεκεν τῶν ὠδῖ τοὺς ἀστέρας ἐπιζευγνημένων γραμμῶν διαφόρους, ποιουσῶν. καὶ ἔτι ταῖς παρὰ τοὺς ἀέρας γινομέναις τῶν διαστάσεων διαφοραῖς ἀκριβέστατα καὶ παρατηρητικώτα προσέχη, δυσκατάληπτον καὶ στοχαστικὴν ἔχουσι τὴν κατάληψιν, τῆς τε κατὰ μῆκος ἐποχῆς, καὶ τῆς κατὰ πλάτος ἀποστάσεως. ἵνα δὲ ὑπ' ὄψιν ἡμῖν γένηται τὸ λεγόμενον, ἔστω τοῦ διὰ μέσων τῶν ζωδίων κύκλου τμῆμα, τὸ αβγ, ἑπόμενα δὲ αὐτοῦ ἔστω ὡς ἀπὸ τοῦ α ὠδῖ τὸ γ, ἀστὴρ δέ τις τῶν ἀπλανῶν, ἔστω ὁ δ, τῶν δὲ πλανομένων τίς ποτε μὲν ὠδῖ τοῦ ε, ποτὲ δὲ ὧν τοῦ ζ, ἄλλο τε δὲ κατὰ τοῦ η. καὶ γεγράφθωσαν μέγιστοι κύκλοι οἱ δαε, δγη, καὶ μηδεμιᾶς αὐτῶν οὔσης πρὸς ὀρθὰς τοῦ αβγ τμήματι τοῦ ζωδιακοῦ, γεγράφθωσαν πρὸς ὀρθὰς αὐτῷ ἀπὸ τῶν δ καὶ ε σημείων, ἥτε βδζ καὶ ἡ εκ. ὅτι μὲν οὖν ἐκ τῆς ἀναγραφῆς ἥτε κατὰ τοῦ β τοῦ μήκους ἐποχὴ τοῦ δ ἀπλανοῦς, ἀστέρος δέδοται, καὶ ἔτι ἡ δβ τοῦ πλάτους, φανερόν. καὶ διατοῦτο ἐὰν ὠδῖ τῶν δζ πρὸς ὀρθὰς τῷ ζωδιακῷ ὡς ὠδῖ τοῦ ζ ἢ ὁ πλανώμενος, ἥτε κατὰ τοῦ β ἐποχὴ τοῦ μήκους αὐτοῦ δέδοται καὶ λοιπὴ ἡ βζ τοῦ πλάτους, δεδομένης τῆς ζβ διαστάσεως κατὰ τὴν τήρησιν ἐκ τοῦ ὀργάνου. ὅταν δὲ κατ' ἄλλου τινὸς ἢ τόπου, οὐκέτι, ἀλλὰ κατὰ μὴ τοῦ ε, εἰς τὰ προηγούμενα φέρε εἰπεῖν ὄντος τοῦ πλάνητος, διαμαρτηθήσετρ ἡ κατὰ μῆκος πάροδος τῇ ακ, διὰ τὸ τηλικαύτην αὐτοὺς ἀκριβῶς κατὰ μῆκος ἀλλήλων διεστάναι. ἔτι δὲ καὶ ἡ κατὰ πλάτος διαμαρτηθήσεται οὕτως. ἐπεὶ γὰρ ἐκ τῆς τηρήσεως ἡ δε λαμβάνεται, ἀφ' ἧς ἡ δβ ἐκ τῆς ἀναγραφῆς δεδομένης ἀφαιρεῖται, ἐὰν ἀπὸ τῆς δε ἴσην τῇ δβ ἀφέλωμεν, ὡς τὴν δθ, ἔσται καὶ λοιπὴ ἡ θε λαμβανομένη ἡμῖν τοῦ πλάτους τοῦ πλάνητος αὐτὶ τῆς εκ κατὰ τὸ ἀληθὲς τυγχανούσης. τὰ αὐτὰ δὲ συμβήσεται ἄτοπα, καὶ ἐὰν ὧν τοῦ ο ὁ πλάνης τύχη. ὁμοίως δὲ καὶ ἐὰν ὠδῖ τὰ αὐτὰ τοῦ ζωδιακοῦ ἢ τοῦ ἀπλανεῖ, οἷον ὡς κατὰ τοῦ λ, ἢ κατὰ τοῦ ν. πάλιν γὰρ κατὰ τοῦ λ τυγχάνων, τὴν αὐτὴν κατὰ τὸ β τοῦ ἀπλανεῖ ἕξει τοῦ μήκους ἐποχὴν δεδομένην. διὰ τὸ πάλιν δίδοσθαι μὲν ἐκ τῆς ἀναγραφῆς τὴν δβ, ἐκ δὲ τῆς τοῦ πλάνητος πρὸς τὸν ἀπλανῶν παρατηρήσεως τὴν δλ. ὅταν δὲ πάλιν κατὰ τοῦ ν τυγχάνη, οὐκέτι. διὰ τὸ πρὸς ὀρθὰς τοῦ αβγ τμήματι γραφομένης τῆς νπ, αὐτὶ μὲν τοῦ π, τὸ β παραλαμβάνειν, καὶ τὴν βπ πάλιν διαφορὰν ποιεῖν τῇ κατὰ μῆκος ἀκριβεῖ παρόδῳ. ὁμοίως δὲ καὶ ὠδῖ τῶν κατὰ πλάτος ἀπὸ τῆς δβ, τουτέστι τῆς δθ, τῆς δν διδομένης ἐκ παρατηρήσεως καὶ ἀφαιρουμένης, λοιπὴν τὴν νο τοῦ πλάτους καταλείπεσθαι αὐτὶ τῆς νπ τότε κατὰ πλάτος διαφορᾶς αὐτῶν γινομένης. Ὅθεν καὶ τὸν Ἵππαρχον ὁρῶμεν φησὶ φιλαληθέστατον γενόμενον καὶ τὰ ἑξῆς. ἐλογίσατο δὲ ὅτι τοῦ μέχρι τοσαύτης ἀκριβείας καὶ φιλαληθείας προελθόντι δι' ὅλων τῶν μαθημάτων, οὐκ ἀπαρκέσει μέχρι τοσούτων στῆναι. Τουτέστιν ἐνενόησεν ὅτι ἀνδρὶ μετὰ πάσης ἀκριβείας τε καὶ φιλαληθείας προελθόντι δι' ὅλων τῶν μαθημάτων, οὐ προσῆκον ἦν ἐπιχειρήσαντι τοιαύτῃ πραγματείᾳ μέχρι τινῶν προελθόντι στῆναι. ἀδύνατον γὰρ αὐτῷ πέρας ἐπιθῆναι τῇ τοιαύτῃ πραγματείᾳ κατεφαίνετο μὴ ἔχοντι τοσαύτας περὶ τῶν παλαιῶν ἀφορμάς, ἃς ὁ Πτολεμαῖος ὁμολογεῖ παρ' αὐτοῦ ἐσχηκέναι, ἀλλὰ καὶ ἀναγκαῖον εἶναι τοῦ προελομένῳ περὶ τῆς τοιαύτης συνταξέως διαλαβεῖν, πείσιν τε ἑαυτὸν, ὡς ὅτι τὰ παραληφθέντα αὐτῷ μετὰ πάσης ἀκριβείας ἐζήτασται, καὶ τὰ ἐκ τούτων ἀποτειχθησόμενα κέρδος ἐμποιεῖ τοῖς ἐντευξομένοις, καὶ οὕτως ἑκατέραν τε τῶν ἀνωμαλιῶν τὴν πηλικότητα καὶ τὰς ἀποκαταστάσεις δι' ἐναργῶν καταλήψεων καὶ ὁμολογουμένων ἀποδεῖξαι.



καὶ

καὶ μίξαντι παλιν ἀμφοτέρας τήν τε θέσιν τῶν κύκλων καὶ τὴν τάξιν. τὴν μὲν οὖν θέσιν ποτερόν ποτε ὑπὸ λοξῶν πρὸς τὸν ζωδιακὸν τὰς κινήσεις ποιοῦνται, ἢ ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὄντων. τὴν δὲ τάξιν, ἤτοι τῶν κινήσεων αὐτῶν λέγει, ἢ ὅτι οἱ μὲν αὐτῶν, ἀπογειότεροι εἰ δὲ περιγειότεροι εἰσιν, ὡς ὅταν ζητήσωμεν πότερος ὑπὸ ἐκκέντρω τῇ κινήσιν ποιοῦνται, ἢ ὑπὸ ἐπικύκλων ὑπὸ ὁμοκέντρων φερομένων, ἢ κατὰ τὴν τούτων συμπλοκὴν, καὶ πότερον ὑπὸ τὰ προηγούμενα κινουμένων τῶν ἀστέρων, ἢ ὑπὸ τὰ ἑπόμενα, ἢ καὶ τῶν ἐπιπέδων ἐν οἷς τοὺς ἐκκέντρους κύκλους γράφωμεν μετὰ πάσης ἐξετάσεως ἀνευρεῖν, καὶ τὰ λοιπὰ πάντα τῶν κατὰ μέρος καταλήψεων ἐφαρμόσοι τῇ τῆς ὑποθέσεως τῶν κύκλων ἰδιότητι. τοῦτο οὖν φησὶν ὡς ἔστιν ὑπολαβεῖν ὅτι καὶ τῷ Ἱππάρχῳ δυσεπιλόγιστον κατεφαίνετο. ταῦτα δὲ αὐτῷ εἴρηται, οὐκ κενοδοξίας ἕνεκεν, οὐδ' ὡς ἐπιδεικνυμένῳ, ἀλλ' ὅπως ἂν ἀναγκασθῇ μὴ ἐκλεπτοτέρας ζητήσεως ἀνευρεῖν τὸν τρόπον, ἤτοι καταχρησάμενον τισὶ παρὰ τὸ δέον, μηδεμίαν αἰσθητὴν διαφορὰν ποιοῦσι διὰ τὸ πρόχειρον, καθάπερ ὑπὸ τῆς σελήνης τοῦ ἐν τῇ σφαίρᾳ αὐτῆς λοξοῦ κύκλου, ἐφ' οὗ ποιεῖται τὰς κινήσεις πρὸς τὸν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τοῦ διὰ μέσων ὁμόκεντρον ἐγκεκλιμένου διὰ τὰς κατὰ πλάτος ἀποστάσεις, ἔλεγε μηδὲν διαφορὸν αἰσθητὸν γίνεσθαι τῆς μῆκος παρόδῳ, ἐκ τῆς ἐπιτοσοῦτον ἐγκλίσεως, ἡλίκη κατελαμβάνετο ἡ κατὰ πλάτος τῆς σελήνης μεγίστη ἀπόστασις. διὸ καὶ ἐν τῷ αὐτῷ ἐπιπέδῳ τοῦ διὰ μέσων τὸν λοξὸν τῆς σελήνης κύκλον παρελαμβάνεν. ὅθεν καὶ ἐνταῦθα ὑπὸ τῶν ε̄ πλανομένων τῶν ἐκ τῶν τηρήσεων καταλήψεων ἀναγκαζουσῶν ἐγκεκλίσθαι πρὸς τοὺς ἐπικύκλους πρὸς τὰ τῶν ἐκκέντρων ἐπίπεδα, διὰ τὰς κατὰ πλάτος αὐτῶν ἀποστάσεις. καὶ ἔτι τὰ τῶν ἐκκέντρων ἐπίπεδα πρὸς τὸ τοῦ διὰ μέσων. ἐπεὶ καὶ αἱ ὑποθέσεις αὗται σύμφωνοι τοῖς φαινομένοις κατελαμβάνοντο, τῶν ἐπικύκλων ὑπὸ ἐκκέντρων φαινομένων, ὡς ἐν τῷ αὐτῷ ἐπιπέδῳ αὐτῶν τυγχανόντων τῷ διὰ μέσων, αὐτὸς ποιεῖται τὰς καταλήψεις τῶν κατὰ μῆκος παρόδων, διὰ τὸ καὶ ἐνταῦθα μηδὲν αἰσθητὸν διαφορὸν παρὰ τοῦτο τῇ τοιαύτῃ κινήσει προσγίνεσθαι, ὑποτίθεσθαί τινα πρῶτα ἐκ τῶν παλαιῶν τηρήσεων βραχείας ἀφορμὰς λαβόντα, μὴ ἤδη καὶ ἀποφαινόμενον περὶ τῶν οὕτως ὑποτιθεμένων ἀρχῆς, διὰ τὸ μὴ οὕτως ἀξιοπίστους εἶναι τὰς τηρήσεις, ἀλλὰ ἐκ τῶν ἑξῆς συνεχῶς αὐτῷ γινομένων τηρήσεων τὴν τῆς καταλήψεως ἐφαρμογὴν πιστούμενον ἀποφήνασθαι. καθάπερ ἐν τῷ τετάρτῳ βιβλίῳ διορθούμενος τὰς ἐκτεθειμένας τῷ Ἱππάρχῳ περιοδικὰς τοῦ πλάτους τῆς σελήνης ἀποκαταστάσεις, ἔλεγε πρότερον διημαρτηκέναι συγχρησάμενος τοῖς τοῦ Ἱππάρχου ἐπιλογισμοῖς, ὕστερον δὲ αὐτὸς διορθωκέναι ἀδιστακτοτέραις τηρήσεσι περιτετυχηκότα. καὶ ἔτι τὸ αὐτὸ πεποιηκὼν ἐπί τε τῶν τοῦ κρόνου καὶ τῆς τοῦ ἑρμοῦ ὑποθέσεων, κινήσας τινὰ τῶν πρῶτον μὴ ὑγιῶς αὐτῷ ἐπιλελογισμένων ἐκ τῶν παλαιῶν καὶ μὴ ἀκριβῶς αὐτῷ εἰλημμένων τηρήσεων, καὶ ἐκ τῆς διαπείρας τῶν ἑξῆς αὐτῷ γεγενημένων συνεχῶν τηρήσεων τὴν προσήκουσαν αὐτοῖς πρὸς τὰ φαινόμενα συμφωνίαν ἐφήρμοκεν. ἢ καὶ καθάπερ ὑπὸ τῆς καταλήψεως τοῦ λόγου τοῦ τῆς ἐκκεντρότητος λαμβάνων τριῶν ἀκρονύκτων τούς τε τόπους καὶ τοὺς χρόνους, παραλαμβάνων καὶ τὰς τοῦ ἐκκέντρου ὡς ὑποτεινούσας τὰς τοῦ διὰ μέσων, καί τοι μὴ ὑποτεινουσῶν, ἀλλὰ βραχείας διαφορὰς ποιουσῶν, χρῆται τῷ δι' ἀλλήλων τρόπῳ, ἕως οὗ ὁ καταλαμβανόμενος λόγος σύμφωνος γένηται, τοῖς φαινομένοις. ἔτι δὲ εἰ καὶ μὴ ὑπὸ τῶν ε̄ πλανομένων τὸν αὐτὸν τρόπον τῆς ἐγκλίσεως τῶν κύκλων ἀναγκαζοίντο ὑποτίθεσθαι. καθάπερ ἐν τῷ τρισκαιδεκάτῳ βιβλίῳ ποιεῖται, ἢ καὶ τῆς κινήσεως αὐτῶν, δόξει τὶς διὰ τοῦτο μὴ ἐπιστημονικῶς αὐτὸν τῇ τοιαύτῃ θεωρίᾳ προσεληλυθέναι φησὶν εἰδότου ὅτι οὔτε τὸ κατεχρήσασθαι τισὶ τῶν τοιούτων ἐφ' ὅσον οὐδεμία μέλλει παρακολουθεῖν ἀξιόλογος ἁμαρτία βλάπτει τὶ τὸ προκείμενον, καὶ τὰ ἑξῆς. ἀποδύεται ἐνταῦθα καὶ περὶ ἑκάστου τῶν ἐπάνω αὐτῷ εἰρημένων, ὡς ὅτι οὔτε ἐὰν καταχρήσεται ὡς ὑπὸ ψιλῶν τῶν ἐν ταῖς σφαίραις αὐτῶν κύκλων, τουτέστιν ὧν φαίνονται ἐκ τῆς κατὰ μῆκος κινήσεως μαθηματικῶς γράφοντες, ὡς ἐν τῷ τοῦ διὰ μέσων ἐπιπέδῳ διὰ τὸ πρόχειρον τυγχανόντων, καὶ μὴ ἐγκεκλιμένων πρὸς αὐτὸν τῶν ἐκ τῶν τηρήσεων φαινομένων, ἐγκεκλίσθαι αὐτοὺς ὑποβαλλόντων, ὅταν μηδὲν παρὰ τοῦτο διάφορον αἰσθητὸν τοῖς φαινομένοις ἀντιπίπτῃ, ὡς ἐν τοῖς ἑξῆς δῆλον ποιεῖται. βλάπτει τὶ τὸ προκείμενον ἀναπωδείκτως ὑποτιθέμενον, ὡς ἑξῆς ὑπὸ τῆς διὰ τῶν τριῶν ἀκρονύκτων καταλήψεως τοῦ λόγου τῆς ἐκκεντρότητος, ἐὰν ἅπαξ σύμφωνα τοῖς φαινομένοις εὑρίσκεται, χωρὶς ἀκολουθίας τινὸς καὶ λόγον εὑρεῖσθαι δύναται, καὶ τις ἀπορῇ. ἐπεὶ καὶ καθόλου

τῶν ἀρχῶν, ἢ οὐδὲν ἢ δυσεξήγητον φύσει τὸ αἴτιον, διὰ τὸ ἐπ' ἄπειρον τὸν λόγον βαδίζειν, οὔτε τὸ διενεγκεῖν τὰς τῶν λόγων ὑποθέσεις, παράδοξόν τις καὶ διατοῦτο ἄλογον ἡγεῖσθαι ὀφείλει, καὶ τῶν περὶ τὰς κινήσεις αὐτῶν φαινομένων διαφορῶν ἐκ τῶν τηρήσεων εὑρισκομένων. ὅταν ὑπὲρ πάντων ἡ πρόθεσις καὶ ὁ σκοπὸς τοῦ μαθηματικοῦ διασώζεται, λέγω δὴ ὅταν ἡ ὁμαλὴ καὶ ἐγκύκλιος κίνησις διὰ τῆς τῶν ὑποθέσεων ἐφαρμογῆς σύμφωνος τοῖς φαινομένοις καταλαμβάνεται. συνεχρησάμεθα δὲ φησὶ πρὸς τὰς καθ' ἕκαστον τῶν ε̄ πλανομένων κατὰ μέρος καταλήψεις ταῖς ἀκριβεστάταις εἶναι δυναμέναις τηρήσεσιν. αὗται δὲ εἰσὶν αἵ τε κατακόλλησιν ἢ μέγαν συνεγισμὸν λαμπροτάτου τινὸς ἀπλανοῦς δηλαδὴ τῶν περὶ τὸν ζωδιακὸν, ἢ καὶ τῆς σελήνης. τότε γὰρ ἢ ὑπὲρ τῶν πρὸς ὀρθὰς διὰ τῶν ἀπλανῶν τοῦ ζωδιακῷ κύκλων εἰσὶν οἱ πλάνητες, ἐφ' ὧν καὶ αἱ ἐποχαὶ αὐτῶν λαμβάνοντες, ἢ οὐδὲν αἰσθητὸν αὐτῶν παραλλάσσουσι. διατοῦτο καὶ αἱ τούτων κατά τε μῆκος καὶ πλάτος ἐποχαὶ ἀκριβῶς κατελαμβάνοντο ἐκ τῆς ἐκείνων ἀναγραφῆς. καὶ μάλιστα δὴ φησιν ταύταις ταῖς τηρήσεσι συνεχρησάμεθα, ταῖς διὰ τῶν ἀστρολάβων ὀργάνων κατειλημμένας, ὥσπερ κατὰ μίας εὐθείας τῶν κατὰ διάμετρον ὀπῶν ὁρώσης τῆς ὄψεως, καὶ μὴ χεομένης. καὶ ταύτης διὰ τοῦ κέντρου τοῦ ὀργάνου καὶ τῆς γῆς, διὰ τὸ καὶ πρὸς τούτους τοὺς ἀστέρας σημείου λόγον ἔχειν πρὸς αἴσθησιν τῆς γῆς. καὶ διατοῦτο τὰ ἴσα διαστήματα πανταχῆ δι' ὁμοίων περιφερειῶν ὁρώσης, ὁμοκέντρων γενομένων τῶν ἐν τοῦ ἀστρολάβῳ κύκλων τοῖς ἐν τῷ παντί, καὶ τὰς πρὸς τὸν ζωδιακὸν ἐποχὰς κατὰ μῆκος καὶ πλάτος ἀκριβῶς θεωρεῖν δυναμένοις, τοῦ τε ἐκτὸς τοῦ ζωδιακοῦ καὶ διὰ τῶν πόλων αὐτοῦ κύκλου, κατὰ τῆς πρὸς τὸν ζωδιακὸν κατὰ μῆκος ἐποχῆς τοῦ ἁπλανοῦς πρὸς ὃν ἡ πρατήρησις γίνεται τιθεμένου, καὶ παραφερομένου αὐτοῦ τε καὶ τοῦ ζωδιακοῦ ἕως ἂν ὥσπερ κεκολλημένος ταῖς παραλλήλοις αὐτῶν ἐπιφανείαις ἐν τῷ δι' αὐτῶν ἐπιπέδῳ γινόμενος ὁ ἀστὴρ διοπτεύηται διὰ τῶν ἐν τοῖς συστηματίοις τοῦ ἑνὸς τῶν κρίκων ἀστρολάβου κατὰ διάμετρον εἰρημένων ὀπῶν. καὶ διατοῦτο διδομένου τοῦ τμήματος τοῦ ζωδιακοῦ καθ' ὃ τέμνει αὐτὸν ὁ ἑκτὸς καὶ ἐν τοῦ αὐτῷ ἐπιπέδῳ τοῦ ἔχοντος τὰ συστήματα, ὅ ἐστι τῆς τοῦ μήκους ἐποχῆς, καὶ ἔτι τῶν ἀπολαμβανομένων τμημάτων τούτου τοῦ κύκλου ἀπό τε τῆς εἰρημένης πρὸς τὸν ζωδιακὸν μέσης τομῆς. καὶ τοῦ ὑπὲρ γῆν τριματίου, ἅ ἐστι τῆς κατὰ πλάτος ἀποστάσεως.

ΠΕΡΙ ΤΩΝ ΠΕΡΙΟΔΙΚΩΝ ΑΠΟΚΑΤΑστάσεων τῶν ε̄ πλανομένων.

Διαλαβὼν ἐν τούτῳ τοῦ βιβλίῳ περὶ τῆς τῶν σφαίρων τάξεως ἡλίου καὶ σελήνης καὶ τῶν ε̄ πλανομένων, καὶ ὃν τρόπον δυσεπιλόγιστοι τυγχάνουσιν αἱ καταλήψεις τῶν κινήσεων τῶν ε̄ πλανομένων, καὶ περὶ τῆς προθέσεως τῆς τοιαύτης θεωρίας, καὶ τῆς περὶ τὰς ὑποθέσεις αὐτῶν διαλήψεων, καὶ ἔτι ἀφ' οἵων τηρήσεων τὰς καθ' ἕκαστον ἀποδείξεις ἐπιλογίζεται, ἑξῆς καὶ περὶ τῆς ἐκθέσεως τῶν ὁμαλῶν κινήσεων αὐτῶν διαλαμβάνει, καὶ φησὶ, τούτων προδιειλημμένων, ἐκθησόμεθα πρῶτον τὰς ἐπιλογισμένας καὶ ἐλαχίστας ἑκάστου τῶν ε̄ πλανομένων ἔγγιστα συναποκαταστάσεις. καὶ τὸ μὲν ἐλαχίστας, ὅτι τοῦ τοιούτου τῆς ἀποκαταστάσεως χρόνου ἐν ἐλάττονι οὐ ποιοῦνται τὰς συναποκαταστάσεις. τὸ δὲ ἔγγιστα, διὰ τὸ τὸν κατειλημμένον χρόνον καθ' ἕκαστον, τὰς μὲν τῆς ἀνωμαλίας ἀποκαταστάσεις, ὅλους κύκλους περιέχειν, τὰς δὲ τοῦ μήκους, ἔγγιστα, οὐκ ἀκριβωμένας μὲν κατὰ τὸν Ἵππαρχον, διορθώσεως δὲ ὑπὸ τοῦ Πτολεμαίου τε τυχηκείας, καθάπερ καὶ αἱ τῆς σελήνης ἐκ τῆς ὕστερον ἀναφανείσης πρὸς τὰ φαινόμενα συμφωνίας. ὡς ἐν τοῖς μετὰ τῶν ἀνωμαλιῶν ἔκθεσιν ἀποδείκνυσι, πρατασσομένας δὲ καὶ πρὸς τοῦ λόγου τῆς διορθώσεως ἕνεκεν τῆς τῶν κατὰ μέρος ἀνωμαλιῶν πηλικότητος, καθάπερ καὶ ὑπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης ἀπὸ τῶν ὁμαλῶν κινήσεων τὰς κατὰ μέρος παρὰ τῆς ἀνωμαλίαν διαφορὰς ἐπελογίζετο. εἶτα ὑπὲρ τὸν λόγον τῆς διορθώσεως τῶν ὁμαλῶν ὑπὸ τοῦ Ἱππάρχου καταληφθεισῶν παρόδων οὐδέπω παρεθέτο, φησὶν ὅτι οὐδεμία γίνεται πρὸς τὰς τοιαύτας καταλήψεις αἰσθητὴ διαφορὰ, εἰ ταῖς τοῦ Ἱππάρχου ὀλοσχερέστερον ἐκτεθειμέναις παρόδοις προσχρήσαιτό τις ἐπεὶ καὶ τὸ κατὰ τὸν Ἵππαρχον ψεῦσμα, ἑξηκ. πᵒ δ' καταλαμβάνεται, ὅπερ οὐδὲν αἰσθητὸν ποιεῖ ἐν τοῦ παραλλήλῳ αὐτῷ πρὸς τὴν τοιαύτην ἐπίσκεψιν, πάνυ βραχύτατον

ὄν. εἶτα

ὄν. εἶτα ἐπεὶ περὶ ἑτέρας πραγματείας λόγον ποιεῖται καὶ οὐ τῆς περὶ τὸν ἥλιον καὶ τὴν σελήνην, διδάσκει ὅτι καὶ ἐνταῦθα καθάπερ ἐκεῖσε μήκους μὲν κίνησιν καλεῖ τὴν τοῦ κέντρου τοῦ ἐπικύκλου περὶ τὸν ἔκκεντρον, ἀνωμαλίας δὲ πάλιν τὰς τοῦ ἀστέρος κατὰ τὸν ἐπικύκλον. ἔστι δὲ πάλιν ἀνωμαλίας ἀποκατάστασις καθάπερ ὠδὶ τῆς σελήνης ἐδηλοῦμεν, ὅταν ὁ ἀστὴρ ἀπὸ τῶν αὐτῶν κινημάτων ὠδὶ τὰ αὐτὰ παραγένηται, οἷον ἢ ἀπὸ τῶν μεγίστων ἀρξάμενος κινημάτων ὠδὶ τὰ μέγιστα παραγένηται, ἢ ἀπὸ τῶν ἐλαχίστων ὠδὶ τὰ ἐλαχίστα. ὅτι καταλαμβανόμενος ὁ Ἵππαρχος ἐκ τῆς συγκρίσεως τῶν καθ' αὑτὸν τε καὶ τῶν παλαιῶν τηρήσεων, ἐν ὅσῳ ἐλαχίστῳ χρόνῳ καθ' ἕκαστον τῶν ἀστέρων πάντοτε ἀνωμαλίας ἀποκατάστασις ἀποτελεῖται, εὕρισκεν ὅτι μὲν τῶν πασῶν ἀπόστασιν ἀπὸ ἡλίου ποιουμένων ῑ ἀστέρων, λέγω δὴ κρόνου καὶ ζῆνος καὶ ἀρέως, τοσούτου ἀεὶ κύκλους διαπορεύηται ὁ ἥλιος ἐν τῷ ἀποκαταστικῷ ὠδὶ ἕκαστον χρόνῳ, ὅσους ποιοῦσιν ἅμα συντεθεῖσαι ἥτε τοῦ μήκους περίοδοι, τουτέστιν αἱ πρὸς τὸν ζωδιακὸν φαινόμεναι ἀποκαταστάσεις αἱ αὐταὶ οὖσαι ταῖς ὁμαλαῖς παρόδοις, τουτέστι ταῖς τοῦ κέντρου τοῦ ἐπικύκλου, καὶ αἱ τῆς ἀνωμαλίας ἀποκαταστάσεις, τουτέστιν αἱ τοῦ ἀστέρος ὠδὶ τοῦ ἐπικύκλου. καὶ διατοῦτο τοῦ μὲν τοῦ κρόνου ἀστέρος ἐν ἔτεσιν θ̄ καὶ ἡμέραις κδ̄, πεντηκοντάκις καὶ ἑπτάκις τὸν ἐπικύκλον ἀποκαθισταμένου, ἐν τῷ τοσούτῳ χρόνῳ τοῦ ἡλίου ὁμαλῶς διαπορευομένους κύκλους νθ̄, καὶ ἔτι μοιρὰν ᾱ μγ̄, καὶ ὁ ἀστὴρ κατὰ μῆκος ὁμαλῶς διελεύσεται, τοὺς λοιποὺς μετὰ τοὺς νζ̄ κύκλους τῆς ἀνωμαλίας, κύκλους β̄ καὶ μοιρὰν ᾱ μγ̄. ἀκολούθως δὲ τούτοις καὶ ὠδὶ τοῦ ζῆνος καὶ τοῦ ἀρέως, κατὰ τοὺς οἰκείους χρόνους καὶ τὰς ἀποκαταστάσεις τῆς ἀνωμαλίας, καὶ τὰς τοῦ μήκους παρόδους παρέθηκεν. ὠδὶ δὲ τοῦ τῆς ἀφροδίτης καὶ τοῦ τοῦ ἑρμοῦ ἀστέρος πάλιν καταλαμβανόμενος διὰ τῶν εἰρημένων συγκρίσεων τὸν ἀποκαταστικὸν τῆς ἀνωμαλίας χρόνον, εὕρισκε πάλιν ὅτι αἱ τῶν τῆς ἀφροδίτης καὶ τοῦ τοῦ ἑρμοῦ ἀστέρος μήκους ἀποκαταστάσεις, αἱ αὐταί εἰσι ταῖς μέσαις τοῦ ἡλίου. καὶ διατοῦτο τοῦ τῆς ἀφροδίτης ἀστέρος ε̄ ποιοῦντος ἀνωμαλίας ἀποκαταστάσεις ἐν ἔτεσιν η̄, λείπουσιν ἡμέραις β̄ ϛ̄ δ̄ κ̄, καὶ τοῦ ἡλίου ἐν τοσούτῳ χρόνῳ ὁμαλῶς κινουμένου τοὺς ἴσους κύκλους η̄, λείποντας μοιρὰς β̄ δ̄, καὶ ὁ τῆς ἀφροδίτης ἀστὴρ οὐδὲ ἴσους κατελαμβάνετο κατὰ μῆκος κινηθεὶς κύκλους η̄ λείποντας μοιρ. β̄ δ̄. ὁμοίως δὲ καὶ ὠδὶ τοῦ τοῦ ἑρμοῦ ἀστέρος οἱ τῶν ὁμαλῶν κινήσεων τοῦ μήκους αὐτοῦ ἀριθμοί, οἱ αὐτοί εἰσι τοῖς τοῦ ἡλίου. κατηρίθμετο δὲ τὰς τῆς ἀνωμαλίας ἀποκαταστάσεις ἐκ τῶν πρὸς τὸν ἥλιον συνοδικῶν, ἢ καὶ ἀκρονύκτων, τουτέστι κατὰ διάμετρον φάσεων. ἐπειδήπερ ὡς ἔφαμεν ὠδὶ μὲν τῶν τριῶν ἀστέρων τῆς ὠδὶ τοῦ ἐπικύκλου τοῦ ἀστέρος παρόδου, καὶ τῆς τοῦ ἐπικύκλου ὠδὶ τοῦ ἐκκέντρου, ἴσης οὔσης τῆς κατὰ μῆκος ὁμαλῆς ἀποκαταστάσεως τοῦ ἡλίου, ὅταν ὁ ἥλιος ἐπικαταλάβῃ τὸν ἀστέρα, τότε δηλαδὴ καὶ ὁ ἀστὴρ κατὰ τοῦ ἀπογείου τοῦ ἐπικύκλου ἔσται, ἀνωμαλίας ἀποκατάστασιν ποιησάμενος, καὶ ἀπὸ τῶν μεγίστων κινημάτων ὠδὶ τὰ μέγιστα ἐληλυθὼς, ἀκολούθως τοῖς ἐκ τῶν τηρήσεων κατειλημμένοις. ὡσαύτως δὲ καὶ ἐὰν κατὰ διάμετρον αὐτοῦ καὶ πρῶτον καὶ δεύτερον γένητο τότε πάλιν ὁ ἀστὴρ κατὰ τοῦ περιγείου ἔσται τοῦ ἐπικύκλου ἀνωμαλίας ἀποκατάστασιν ποιησάμενος, καὶ ἀπὸ τῶν ἐλαχίστων κινημάτων, ὠδὶ τὰ ἐλαχίστα παραγενόμενος. ὠδὶ δὴ τῶν λοιπῶν δυὸ ἀφροδίτης καὶ ἑρμοῦ, ἐπεὶ πάντοτε αἱ ὁμαλαὶ αὐτῶν πάροδοι συνοδεύουσι τῇ τοῦ ἡλίου μέσῃ παρόδῳ, δῆλον ὡς ὅτι κατὰ τοῦ ἀπογείου γινόμενοι, συνοδεύουσι τῷ ἡλίῳ τὰ ἐλάχιστα κινούμενοι. ἐκ τῶν τοιούτων οὖν πρὸς τὸν ἥλιον συνοδικῶν ἢ ἀκρονύκτων φάσεων, δυνατόν ἐστι τὰς τῆς ἀνωμαλίας αὐτῶν ἀποκαταστάσεις ἀπαριθμεῖσθαι. εὑρὼν οὖν ὡς ὠδὶ τοῦ κρόνου ἀστέρος ἐν ἔτεσιν ἡλιακοῖς νθ̄ καὶ ἡμέρᾳ ᾱ ϛ̄ δ̄, ἔτεσι δὲ τοῖς κατ' αὐτὸν τοῖς ἀνὰ ἡμέραις τξε̄ ιδ̄ μη̄ ἀνωμαλίας ἀποκαταστάσεις νζ̄, καὶ ἀναλύσας τὸν μὲν χρόνον εἰς τὰς συναγομένας ἐξ αὐτοῦ ἡμερῶν μυριάδ. β̄ αφνλ ιη̄. τὸ δὴ τῶν ἀνωμαλιῶν πλῆθος εἰς τὰς συναγομένας πάλιν μοιρῶν μυριαδ. β̄ φκ, καὶ ἐπιμερίσας τὸ πλῆθος τῶν μοιρ. εἰς τὸ τῶν ἡμερῶν πλῆθος, συνάγει ἡμερήσιον ἀνωμαλίας μέσον κίνημα, ο νζ ζ μγ μα μγ μ ἔγγιστα. γίνετο δὴ ὁ τοιοῦτος μερισμὸς ἐκ προχείρου καθάπερ ὠδὶ τοῦ ἡλίου καὶ τῆς σελήνης ἐν τῷ γ̄ καὶ δ̄ βιβλίῳ ἐδηλοῦμεν, διατοιαύτης τινὸς κανονοποιΐας ἐκθέσεις. καταβιβάζομεν τὸ τῶν προκειμένων ἡμερῶν πλῆθος εἰς τὸν τῆς ἑξηκοντάδος λόγον. καὶ γεγόνασιν ἀπὸ ἑξηκ. β̄, ε̄ νθ̄ εᾱ ιη̄. καὶ ὁμοίως τὸ πλῆθος τῶν μοιρῶν, καὶ πάλιν γεγόνασι ε̄ μβ̄. καὶ τὰ μὲν ε̄ νθ̄ ιᾱ ιη̄ ἐπισυντιθέντες ἄχρι τῶν ξ̄, παρεθήκαμεν ἐν κανονίῳ καθάπερ ἔχει τὸ ὑποκείμενον. τὰ δὴ ε̄ μβ̄ ἀναλύσαντες εἰς ἑξηκ. τμβ̄, εἰσήξαμεν εἰς τὸ κανόνιον, καὶ τὰ παρακείμενα αὐτῷ ἔγγιστα ἐλάττονα τῷ ν̄ ἀριθμῷ σλθ̄ ιθ̄ κε̄ ο ἀπεγράψωμεν, εἶτα τὰ λοιπὰ μβ̄ μ̄ λε̄, εἰσαγαγόντες εἰς τὸ αὐτὸ κανόνιον τὰ παρακείμενα αὐτῷ ἔγγιστα ἐλάττονα τῷ ζ̄ ἀριθμῷ μᾱ νδ̄ ιθ̄ ἀπεγράψωμεν.

ἃ συνάγετο ὁμοῦ τμα ιγ μδ, ἀνθ' ὧν ἐκτιθέμεθα ο νζ. διὰ τὸ τὰ μ, τῷ η, τὰ δὲ τῷ ζ παρακεῖσθαι. Ἐπὶ λοιπὰ καταλείποντο ἀπὸ τῶν τμβ μετὰ τὰ τμα ιγ μδ, ο μς ιε νδ. ἀφ' ὧν ἀφαιροῦμεν πάλιν τὰ τῷ ζ ἀριθμῷ παρακείμενα μα νδ ιθ ς. ἀνθ' ὧν πάλιν ἐκτιθέμεθα τὰ ζ βα ξξ. Ἐπὶ πάλιν καταλείποντο δ κα λδ να. ἅπερ ἀναλύσας εἰς ξξ μετὰ τῶν λοιπῶν, εὑρίσκω γινόμενα, σξα λδ να. ἀφ' ὧν ἀφαιροῦμεν τὰ τῷ μ ἀριθμῷ παρακείμενα σλθ κζ λβ, καὶ ἔτι τὰ τῷ γ ἀριθμῷ παρακείμενα ιζ νζ λγ νδ. ἀνθ' πάλιν ἐκτιθέμεθα τὰ μγ ξξ γα. Ἐπὶ λοιπὰ καταλείπετο δ θ μη ς. καὶ πάλιν ἀναλύσαντες τὰ δ ξξ μετὰ τῶν λοιπῶν, ἅ τινα συνάγετο σο θ μγ ς, ἀφέλομεν τὰ τῷ μ ἀριθμῷ παρακείμενα σλθ κθ λβ, Ἐπὶ ἔτι τὰ τῷ α ι νθ ια ιη, ἀνθ' ὧν ἐξεθέμεθα τὰ μα ξξ δ. καὶ λοιπὰ κατελείφθη δ κα κβ μβ. ἃ γίνετο πάλιν σξα κβ μβ. ἀφ' ὧν ἀφαιροῦμεν τὰ παρακείμενα τῷ μ ἀριθμῷ καὶ ἔτι τὰ παρακείμενα τῷ γ, ὁμοῦ συναγόμενα σνζ νε ε νδ, ἀνθ' ὧν ἐξεθέμεθα τὰ μγ ε ξξ, Ἐπὶ λοιπὰ ὑπελείφθη γ νζ λς ς. καὶ πάλιν τῶν γ εἰς ξξ ἀναλυθέντων, γίνεται σλζ λς ς, ἀφ' ὧν ὁμοίως ἀφαιροῦμεν τὰ τῷ λ ἀριθμῷ παρακείμενα Ἐπὶ τὰ τῷ θ, ἅπερ ὁμοῦ συνάγετο σλγ κν κ μβ, ἀνθ' ὧν παρειλήφαμεν λθ ξξ ς. Ἐπὶ λοιπὰ καταλείφθη δ ζ με ιη. ἃ γίνετο πάλιν τῶν δ εἰς ξξ ἀναλυθέντων, σμζ με ιη. ἀφ' ὧν πάλιν ἀφαιροῦμεν τὰ τῷ μ ἀριθμῷ παρακείμενα Ἐπὶ τὰ τῶν α, ἅπερ ὁμοῦ συνάγετο σμθ κς μγ ιη. ἀνθ' ὧν πάλιν παρειληφθέντων ἐξεθέμεθα τὰ μα ζ ξξ, ἅ τινα μετὰ τῶν λθ, ς συντίθεμεν, ὡς γίνεσθαι με ἔγγιστα ς. καὶ λοιπὰ ὑπελείφθη ιβ ια λδ μβ, ὡς συνάγεσθαι τὸ ἡμερήσιον τῆς ἀνωμαλίας μέσον κίνημα μέχρι ξξ ς, ο νζ ζ μγ μγ μγ μ ἔγγιστα, ἅπερ ἀφελόντες ἀπὸ τοῦ ἡλιακοῦ ἡμερησίου μέσου κινήματος διὰ τὸ ἴσον κατειλῆφθαι τῷ τῆς ἀνωμαλίας Ἐπὶ τῷ τοῦ μήκους μέσῳ κινήματι, καὶ ὧν τῶν γ πλανωμένων ἀστέρων, ἔσχομεν καὶ τὸ ἡμερήσιον μέσον τοῦ ἀστέρος κίνημα, τῶν λοιπῶν ο β ο λγ λα κη να. τὸν αὐτὸν δὲ τρόπον Ἐπὶ ὧν τῆς λοιπῆς οἰκείως, τοῖς ἐκτεθεισομένοις ἀποκατασταστικοῖς χρόνοις ποιήσομεν, οὐδὲ ἐπιμερισμοὺς εὑρόμενοι οἰκείως ἐπιβάλλοντας ἑκάστῳ ἡμερησίῳ μέσῳ κινήματι, ἀφ' ὧν καὶ τὰς τῶν λοιπῶν κανονίων ἐπισυνθέσεις ἐπραγματευσάμεθα, λέγω δὴ τῶν τε μηνιαίων, καὶ ἐνιαυσίων, καὶ ὄκτω καὶ δεκατηρίδων καὶ ὡριαίων.

α	ε	νθ	ια	ιη
β	ια	μη	κβ	λς
γ	ιζ	νζ	λγ	νδ
δ	κγ	νς	με	ιβ
ε	κθ	νε	νς	λ
ς	λε	νε	ζ	μη
ζ	μα	νδ	ιθ	ς
η	μζ	νγ	λ	κδ
θ	νγ	νβ	μα	μβ
ι	νθ	να	νγ	ο
κ	ριθ	μγ	μς	ο
λ	ροε	λε	λθ	ο
μ	σλθ	κθ	λβ	ο
ν	σλθ	ιθ	κε	ο
ξ	τκθ	ια	ιη	ο

ΠΡΟΛΑΜΒΑΝΟΜΕΝΑ ΕΙΣ ΤΑΣ ΥΠΟΘΕΣΕΙΣ ΤΩΝ ε πλανωμένων.

Ἑξῆς δ' ὄντος τῇ τούτων ἐκθέσει τοῦ περὶ τῶν ἀνωμαλιῶν λόγου, τῶν γινομένων ὑπὸ τῆς κατὰ μῆκος παρόδου τῶν ε πλανομένων. ἀκολούθου πάλιν ὄντος καθάπερ ὧν ἡλίου Ἐπὶ σελήνης Ἐπὶ ὑπὸ τῶν ε πλανομένων, μετὰ τῆς ἔκθεσιν τῶν ὁμαλῶν παρόδων, καὶ τῶν περὶ τῶν φαινομένης αὐτῶν ἀνωμάλων τῆς κατὰ μῆκος κινήσεως, λόγον ποιήσασθαι, τῆς μὴ παχυμερεστέραν τῶν ὑποθέσεων ἐπιβολὴν πεποίητο, ἐκ τῶν πρῶτον καὶ ἁπλῶν δύο ὑποθέσεων, λέγω δὴ τῆς τε κατ' ἔκκεντρον ὡς πρὸς τὸν ζωδιακὸν, Ἐπὶ τῆς κατ' ἐπίκυκλον φερόμενον ὧν ὁμοκέντρου, τῷ ζωδιακῷ, ἔτι δὲ Ἐπὶ ἐκ τῶν καθ' ἕνα ἕκαστον τούτων τῶν ἀστέρων φαινομένων ἀνωμαλιῶν, καθάπερ καὶ ὑπὸ τῶν σελήνης δύο οὐσῶν, τῶν τε παρὰ τὰ τοῦ ζωδιακοῦ ὡς ἔφαμεν μέρη, καὶ τῶν περὶ οὐδὲ πρὸς τὸν ἥλιον σχηματισμοὺς ἤτοι ἀπρεστάσεις, ὧν μὴ ταύτης εὑρίσκομεν ἐκ τῶν συνεχῶν, Ἐπὶ περὶ τὰ αὐτὰ μέρη τοῦ ζωδιακοῦ διαφόρων σχηματισμῶν ὑπὸ τῶν ε πλανωμένων τὸν ἀπὸ τῶν μεγίστης κινήσεως ὧν τὸν μέσον χρόνον, μείζονα γιγνόμενον τοῦ ἀπὸ τῶν μέσης ὑπὸ τῆς ἐλαχίστην. ἐποιεῖτο δὲ τὰς παρατηρήσεις ὧν τὰ αὐτὰ μέρη τοῦ ζωδιακοῦ λαμβάνων τὸν ἀστέρα, ὧν διαφόρων δὲ πρὸς τὸν ἥλιον σχηματισμῶν, ἵνα δηλονότι αἱ γινόμεναι ἐκ τῆς ἀνωμαλίας διαφοραὶ, παρὰ τὰς πρὸς τὸν ἥλιον ἀπρεστάσεις μόνον ἀπτελῶντο, Ἐπὶ ὑπὸ τῶν ἀπὸ τῆς μεγίστης κινήσεως ὧν τῆς μέσην χρόνον μείζονα τοῦ ἀπὸ τῆς μέσης, ὧν τῆς ἐλαχίστην μηκέτι δὲ καὶ παρὰ τοῦ ζωδιακοῦ μέρη. ἐπειδήπερ περὶ τὰ αὐτὰ μέρη τοῦ ζωδιακοῦ, καὶ πρῶτον Ἐπὶ ὕστερον τοῦ ἀστέρος τυγχάνοντος. ἀπρεκατάστασις ὧν τῆς τοιαύτης ἀνωμαλίας, τὰ δὲ ἑξῆς σαφῆ ἐν τῷ γ κεφαλαίῳ δεδειγμένων. ὅθεν καὶ τοιαύτην ἀνωμαλίαν διὰ τῶν ἐπικύκλων ὑποτιθέμεθα. ἐδείκνυτο γὰρ ἡ τοιαύτη ὑπόθεσις

ἐν τῷ

ἐν τῷ Γ βιβλίῳ τὴν ἀπὸ τῆς μεγίστης κινήσεως, ὑπὸ τῆς μέσην χρόνον μείζονα ποιοῦσα τὴν ἀπὸ τῆς μέσης ὑπὸ τῆς ἐλαχίστην, τὴν ἀστέρος ἀπὸ τῆς ἀπογείου τῆς ἐπικύκλου εἰς τὰ ἑπόμενα ὑποτιθεμένου τῆς μετάβασιν ποιεῖσθαι. ὑπὸ δὲ τῆς πρὸς τὰ τῆς ζωδιακοῦ μέρη θεωρουμένης ἀνωμαλίας τὸ ἐναντίον εὑρίσκομεν ἐκ τῶν περὶ τὰς αὐτὰς φάσεις καὶ τοῦ αὐτοὺς σχηματισμοὺς, τὴν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὑπὸ τῆς μέσην χρόνον μείζονα γιγνόμενον τὴν ἀπὸ τῆς μέσης ὑπὸ τῆς μεγίστην. πεποιητὴ δὲ καὶ ὑπὸ τούτων ἐκ τοιούτων πρατηρήσεων τῆς εἰρημένην κατάληψιν, διὰ τὸ τὰς αὐτὰς φάσεις καὶ τοὺς αὐτοὺς σχηματισμοὺς τῆς ἴσην ἀπόστασιν ἀπὸ τῆς ἡλίου ἐχούσας, ἀπκατάστασιν τῆς τοιαύτης ἀνωμαλίας ποιεῖν. ἐπεὶ γὰρ ὡς ἔφαμεν ὑπὸ τῶν Γ ἀστέρων λέγω δὴ κρόνου καὶ ζῆνος καὶ ἀρέως ἡ τοῦ ὁμαλοῦ μήκους τοῦ ἡλίου πάροδος ὑπερέχει τῆς κατὰ μῆκος τὴν ἀστέρος τῇ τῆς ἀπογείου τοῦ ἐπιγείου τῆς ἐπικύκλου τοῦ ἀστέρος παρόδω, δῆλον ὅτι ἡ τῆς ὁμαλοῦ ἡλίου ἀπὸ τοῦ ὁμαλοῦ ἀστέρος διάστασις, ἴση ἐστὶ τῆς ἐπικύκλου τοῦ ἀστέρος παρόδω. καὶ διαστοῦτο τῆς αὐτῆς ἀπστάσεως τῆς ἡλίου ἀπὸ τοῦ ἀστέρος τυγχανούσης, καὶ ἡ τῆς ἀστέρος ἀπὸ τοῦ ἀπογείου τῆς ἐπικύκλου πάροδος, ἡ αὐτὴ ἔσται. καὶ διαστοῦτο ἔσται καὶ ἀνωμαλίας ἀπκατάστασις. ἔτι δὲ καὶ ὑπὸ τῆς τῆς ἀφροδίτης καὶ τοῦ τῆς ἑρμοῦ. ἐπεὶ ἐκ τῆς ὑπὸ τῆς ἐπικύκλου παρόδου τῆς πρὸς τῆς μέσην τοῦ ἡλίου πάροδον ἀπόστασιν ποιοῦντες, δῆλον ὡς ὅτι ὑπὸ τῆς αὐτῆς ἀπστάσεως κατὰ τῆς αὐτοῦ τμήματος τυγχάνουσι τῆς ἐπικύκλου. ὅταν μέντοι ἀπὸ τῶν αὐτῶν κινημάτων ὑπὸ τὰ αὐτὰ καὶ πρῶτα καὶ ὕστερον πραγίνωντες, διὰ τὸ δύνασθαι αὐτοὺς καὶ πρὸς τῷ ἀπογειοτέρῳ τῆς ἐπικύκλου τμήματι, καὶ πρὸς τῷ περιγειοτέρῳ τυγχάνοντας, ὑπὸ τῆς αὐτῆς εὐθείας θεωρουμένους τῆς ἴσην ἀπὸ τῆς μέσης τῆς ἡλίου ἐποχῆς διεστάναι. οὐκέτι δὲ καὶ τῆς αὐτὴν κίνησιν ποιεῖσθαι, διὰ τῷ τὸ πρὸς μὲν τῷ ἀπογειοτέρῳ τμήματι μείζονα τῆς ὁμαλῆς ποιεῖσθαι κίνησιν, πρὸς δὲ τῷ περιγειοτέρῳ ἐλάττονα. ἐπειδήπερ κατὰ μὲν τὸ ἀπόγειον ἡ μεγίστη πάροδος ἀπτελεῖτο, κατὰ δὲ τὸ περιγειον ἡ ἐλαχίστη. καὶ διαστοῦτο πάλιν τῆς τοιαύτης ἀνωμαλίας ἀπκατάστασιν ποιησαμένης, τῆς γινομένην διαφορὰν παρὰ τὰ τῆς ζωδιακοῦ μέρη ἀπτελεῖσθαι. καὶ τὴν χρόνον ἤτοι τὴν ἀπὸ ἐλαχίστων κινημάτων ὑπὸ τὰ μέσα, ἢ ἀπὸ τῶν μέσων ὑπὸ τὰ μέγιστα, φανερὸν καθίστασθαι. ἐπεὶ οὖν ἡ μὲν περὶ τοῦ πρὸς τὴν ἡλίου σχηματισμοὺς ἀνωμαλία κατελαμβάνετο, τὴν ἀπὸ τῆς μεγίστης κινήσεως ὑπὸ τῆς μέσην χρόνον μείζονα ποιοῦσα πάντοτε τῆς ἀπὸ τῆς μέσης ὑπὸ τῆς ἐλαχίστην, ὅπερ παντάπασιν ἐναντιοῦτο τῇ κατ' ἔκκεντρον ὑποθέσει, διὰ τὸ ἰδίως ἐπ' αὐτῆς εὑρῆσθαι τὸ τὸν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὑπὸ τὴν μέσην χρόνον μείζονα τοῦ ἀπὸ τῆς μέσης ὑπὸ τῆς μεγίστην ἀποτελεῖσθαι, καὶ τῇ κατ' ἐπίκυκλον ὅταν ὁ ἀστὴρ εἰς τὰ προηγούμενα τοῦ ἐπικύκλου ποιεῖται τῆς μετάβασιν. ἐπεὶ καὶ σύμφωνος τότε τῇ κατ' ἔκκεντρον κατελαμβάνετο, οὐκέτι δὲ ὅταν ὑπὸ τῆς κατ' ἐπίκυκλον ὑποθέσεως ὑπὸ τὰ ἑπόμενα τῆς ἐπικύκλου ὁ ἀστὴρ ποιεῖται τῆς πάροδον. διατοῦτο τῇ τοιαύτῃ ὑποθέσει ὑπὸ τῆς τοιαύτης ἀνωμαλίας προσχρῆται, συμφώνω γινομένη τοῖς ὑπὸ τούτων τῶν ἀστέρων φαινομένοις. ἡ δὲ περὶ τὰ τῆς ζωδιακοῦ μέρη ἀνωμαλία καταλαμβάνετο τὴν εἰρημένον τρόπον ἀκολούθως τοῖς ὑπὸ τοῦ ἡλίου, τὴν ἀπὸ τῆς ἐλαχίστης κινήσεως ὑπὸ τῆς μέσην χρόνον, μείζονα ποιοῦσα τῆς ἀπὸ τῆς μέσης ὑπὸ τὴν μεγίστην, ὅθεν πρακολουθοῦντος καθ' ἑκατέραν τῶν ὑποθέσεων ταύτην καταλαμβάνεσθαι ὡς ἐν τῷ Γ βιβλίῳ διεξήλθομεν, τῇ κατ' ἔκκεντρον μᾶλλον ἐπ' αὐτῆς συνεχρήσατο, διὰ τὸ τῆς παρὰ τὰς πρὸς τὴν ἡλίου ἀπστάσεις γινομένην, τῇ κατ' ἐπίκυκλον μόνῃ ἐφαρμόζειν, ἢ καὶ ἵνα μὴ δόξῃ ἀτόπω περιπίπτειν τῆς αὐτῆς ὑποθέσεως, ποτὲ μὲν εἰς τὰ ἑπόμενα τῆς ἐπικύκλου ὑποτιθέμενος κινεῖσθαι τὴν αὐτὸν ἀστέρα, ποτὲ δὲ εἰς τὰ προηγούμενα. ἐπεὶ καὶ ὑπὸ τῆς κατ' ἔκκεντρον ὑποθέσει ὑπὸ τὰ ἑπόμενα αὐτῷ ὑπόκειτο ὁ ἀστὴρ κινούμενος, καθάπερ νῦν ὑπὸ τῆς κατ' ἐπίκυκλον. ἤδη δὲ διὰ τῆς τῶν κατὰ μέρος τετηρημένων πρόδων ὑπὸ τὰς συνισταμένας ἀγωγὰς ἐκ τῆς μίξεως ἀμφοτέρων τῶν ὑποθέσεων. ἤδη δὲ φησὴν ἐκ τῆς συνεχεστέρας τῶν κατὰ μέρος πρατηρήσεων συγκρίσεως τὲ καὶ ἐξετάσεως προκόπτων, τῆς ἐκ τῆς μίξεως τῶν ὑποθέσεων ἀμφοτέρων ἐφαρμογὴν, ἐκ τῶν φαινομένων περὶ τὰς κινήσεις αὐτῶν κατελαμβάνετο, ὅτι οὔτε τὰ ἐπίπεδα ἐν οἷς οἱ ἔκκεντροι κύκλοι γράφοντες, δύνατο ἀκίνητα εἶναι, ὡς ἴσον πάντοτε ἀπέχειν τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων, καθάπερ καὶ ὑπὸ τῆς ἡλίου τῆς διὰ τῶν ἀπογείων καὶ περιγείων, καὶ ἔτι δὶ ἀμφοτέρων τῶν κύκλων τοῦ τε ζωδιακοῦ καὶ τῆς ἐκκέντρου διάμετρον εὕρισκε πάντοτε πίπτουσαν, διά τε τῆς κατὰ τοὺς διδύμους καὶ τὴν τοξότην μοιρᾶς ε λ, καὶ τὰς αὐτὰς δηλονότι ἀπὸ τῶν τροπικῶν ἀπέχουσαν πάντοτε μοιρὰς κδ λ, οὔτε τοὺς ἐπικύκλους ὑπὸ τούτων τῶν ἐκκέντρων τρέχειν φερόμενα τὰ κέντρα ὧν ἐστὶ τὰ κέντρα, ἐφ' ὧν αἱ περιάγουσαι εὐθεῖαι τοὺς ἐπικύκλους ὁμαλῶς εἰς τὰ ἑπόμενα ἐν τοῖς ἴσοις χρόνοις, ἴσας γωνίας ἀπλαμβάνουσι πρὸς τοῖς αὐτοῖς κέντροις τῶν περιφορῶν, ἀλλὰ καὶ τὰ ἀπόγεια αὐτῶν καθάπερ ὑπὸ τῆς σελήνης περιαγόμενα εἰς τὰ ἑπόμενα μέντοι καὶ περὶ τὸ κέντρον τοῦ

διὰ μέσων τῶν ζωδίων ὁμαλῶς κατὰ ρ ἔτη μοιρᾶς α, καθάπερ καὶ ἡ τῶν ἀπλανῶν σφαῖρα ἐφ' ὅσον ἐστὶ συνιδεῖν ἐκ τῆς ὠδῖ τὸ τοσοῦτον χρόνον τῆς συγκρίσεως, ὅσος ἐστὶν ὁ ἀπὸ τῶν καθ' αὐτῶν μέχρι τῶν παλαιοτέρων ἅμα καὶ ἀκριβεστέρων τηρήσεων. καὶ τὰ κέντρα δὲ τῶν ἐπικύκλων, φερόμενα ὑπὸ ἴσων μὲν ἐκκέντρων ἐκείνοις ὧν ἐστὶ τὰ κέντρα περὶ ἃ ὁμαλῶς ὑπὸ τῶν εὐθειῶν εἰς τὰ ἑπόμενα περιάγοντες, γραφομένων δὲ κέντροις ὑπὸ μὲν τῶν δ, λέγω δὴ κρόνου τε καὶ ζῆνος καὶ ἀρέως καὶ ἀφροδίτης τοῖς δίχα τέμνουσι τῆς μεταξὺ τῶν κέντρων εὐθείαν τοῦ τε διὰ μέσων τῶν ζωδίων καὶ τοῦ ἐκκέντρου ἑκάστου, περὶ οὓς τὸ κέντρον ὁμαλῶς ὡς ἔφαμεν αἱ εὐθεῖαι τῶν ἐπικύκλου μετάγουσιν οὓς καλεῖ τῆς ἀνωμαλίαν ποιοῦντας ἐκκέντρους. ἐπεὶ ὑπὸ τούτων αἱ ὁμαλαὶ κινήσεις λαμβάνοντες, πρὸς δὲ ταύτας αἱ παρὰ τῆς ἀνωμαλίαν διαφοραί. ὑπὸ δὲ ἑρμοῦ, πάλιν γραφομένου τοῦ τοιούτου ἐκκέντρου, ἐφ' οὗ ὡς ἔφαμεν τὸ κέντρον τοῦ ἐπικύκλου πάντοτε εἰς τὰ ἑπόμενα κινεῖται, τῷ ἴσον ἀπέχοντι σημείῳ περιάγοντος αὐτὴν εἰς τὰ προηγούμενα, ὅσον αὐτὸ ἔσω περιάγων τὴν ἐκκέντρον τοῦ ἐκκέντρου τοῦ περὶ ὃν ἡ ὁμαλὴ πάροδος τοῦ ἐπικύκλου ἀπαρτελεῖτες, ὡς πρὸς τὸ ἀπόγειον ἀπέχον καὶ ἔσω τοῦ ζωδιακοῦ, ὡς εἶναι τῶν δ σημείων ἴσας τὰς γ διαστάσεις. καὶ γὰρ ὠδῖ τούτου τοῦ ἀστέρος σύμφωνον καταλαμβάνετε τὸ περιάγεσθαι τὸ ἀπόγειον, εἰς τὰ ἐναντία τῆς τοῦ ἐπικύκλου μεταβάσεως, περὶ τὸ εἰρημένον κέντρον. ἐπεὶ καὶ ἔσω εὑρίσκει δὶς ἐν τῷ ἐνιαυσίῳ χρόνῳ περιγειότατον γινόμενον, καθάπερ καὶ τῆς σελήνην δὶς ἐν τῷ ἑνὶ μηνὶ περιγειοτέραν εὑρίσκων γινομένην, σύμφωνον κατελαμβάνετο, καὶ τὴν ἐκείνης ἔκκεντρον καὶ τὸ ἀπόγειον αὐτῆς περιάγεσθαι, εἰς τὰ ἐναντία τῇ τοῦ ἐπικύκλου εἰς τὰ ἑπόμενα μεταβάσει. ὥστε συνελόντι φᾶναι ἐκ τῆς εἰρημένης κατὰ μέρος πρὸς τὰ φαινόμενα τῶν ὑποθέσεων ἐφαρμογῆς, ἀναγκαῖον ἐστὶ καὶ ὠδῖ τῶν ε πλανωμένων ἐκκέντρους μὲν εἶναι δύο ἴσους, περὶ διάφορα κέντρα ἐν ἑνὶ ἐπιπέδῳ, ἵνα μὲν ἐφ' οὗ πάντοτε φέρετε τὸ κέντρον, τοῦ ἐπικύκλου, ἕτερον δὲ, οὐ περὶ τὸ κέντρον, ὁμαλῶς περιάγετε. εἰς τὰ ἑπόμενα ὁ ἐπίκυκλος, ὃν καὶ καλεῖ ὡς ἔφαμεν τῆς ἀνωμαλίαν ποιοῦντα, ὠδῖ τούτου δὲ εἶναι καὶ ἑκάστου ἀστέρος τὸ ἀπόγειον, ἐφ' οὗ καὶ ἐν τῆς ὁμαλῆς κινήσεις ἀριθμοὺς ὑφιστάμεθα. διὰ τὸ καὶ περὶ τὸ τούτου κέντρον ὡς ἔφαμεν τῆς ὁμαλὴν τοῦ ἀστέρος κίνησιν ἀπαρτελεῖσθαι. καὶ ὑπὸ μὲν τῶν δ ἀστέρων λέγω δὴ κρόνου ζῆνος καὶ ἀρέως καὶ ἀφροδίτης τὰ κέντρα τῶν εἰρημένων δύο ἐκκέντρων καὶ τὰ ἀπόγεια, καὶ ἔτι τὸ τοῦ ζωδιακοῦ κέντρον, ὑπὸ μιᾶς ἀεὶ εἰσὶν εὐθείας συμπεριαγόμενα τῷ ἐπιπέδῳ, ἐν ᾧ εἰσὶν οἱ ἔκκεντροι τὸ τοῦ ζωδιακοῦ κέντρον κατὰ ρ ἔτη μοιρ. α, καὶ τὸ κέντρον δὲ τοῦ ἐκκέντρου ἐφ' οὗ ἐστι πάντοτε τὸ κέντρον τοῦ ἐπικύκλου κατὰ τῆς διχοτομίας τυγχάνει τῆς μεταξὺ τῶν κέντρων τοῦ τε διὰ μέσων τῶν ζωδίων καὶ τοῦ ἐκκέντρου ἐφ' οὗ ἡ ὁμαλὴ πάροδος θεωρεῖτε. τὴν δὲ ἀστέρα ὠδῖ τοῦ ἐπικύκλου κινεῖσθαι ἀκολούθως τῇ ἐκτεθειμένῃ ἑκάστου τῶν ἀνωμαλιῶν ἡμερησία παρόδῳ, ἀπὸ τοῦ ἀπογείου αὐτοῦ ὡς ὑπὸ τὰ ἑπόμενα, ὠδῖ δὲ τοῦ τοῦ ἑρμοῦ ἀστέρος ἀναγκαῖον πάλιν εὑρίσκομεν ἐκ τῶν φαινομένων τὸ καὶ τὸ κέντρον τοῦ ἐκκέντρου καὶ αὐτὸν δηλονότι τὴν ἔκκεντρον ἐφ' οὗ ἐστι πάντοτε τὸ κέντρον τοῦ ἐπικύκλου, κινεῖσθαι περί τι σημεῖον ὑπὸ τῆς τῶν κέντρων εὐθείας τοῦ τε διὰ μέσων καὶ τοῦ τῆς ὁμαλὴν πάροδον ποιοῦντος ἐκκέντρου τοῦ διὰ μέσων, καὶ τὸ κέντρον δὲ τοῦ ἐκκέντρου ἐφ' οὗ ἐστι πάντοτε τὸ κέντρον τοῦ ἐπικύκλου, τῆς θέσιν ἔχει ὅταν κατὰ τοῦ ἀπογείου τυγχάνει ὁ ἐπίκυκλος ὑπὸ τῆς διὰ τῶν εἰρημένων κέντρων εὐθείας, ἀπογειοτέρου τυγχάνοντος τοῦ περιάγοντος αὐτὸν κέντρου, ὅσον τὰ λοιπὰ ἀλλήλων διεστήκασι. κινούμενον δὲ ὡς ἔφαμεν ὠδῖ τὰ προηγούμενα, γράφειν κυκλίσκον, οὗ κέντρον ἐστὶ τὸ σημεῖον περὶ ὃ περιάγετε ὁ αὐτὸς ἔκκεντρος, ἐρχόμενον δηλονότι καὶ διὰ τὸ κέντρον τοῦ τῆς ἀνωμαλίαν ποιοῦντος ἐκκέντρου, διὰ τὸ ἴσας εἶναι τὰς μεταξὺ τῶν κέντρων. καὶ δηλονότι ἐφαρμοζομένου τοῦ κέντρου τοῦ ἐκκέντρου, ἐφ' οὗ ἐστιν ὁ ἐπίκυκλος τῷ κέντρῳ τοῦ τῆς ἀνωμαλίαν ποιοῦντος ἐκκέντρου, ἐφαρμόσουσι καὶ αὐτοὶ οἱ ἔκκεντροι διὰ τὸ ἴσους αὐτοὺς ὑποκεῖσθαι. κινεῖτε δὲ καὶ ὑπὸ τοῦ ἀστέρος τὸ ὅλον ἐπίπεδον ἐφ' οὗ εἰσὶν οἱ ἔκκεντροι περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον εἰς τὰ ἑπόμενα μεταβιβάζον τῆς διὰ τῶν κέντρων καὶ τῶν ἀπογείων, καὶ ἀκολούθως τοῖς ὑπὸ τῶν ἄλλων κατὰ ἑκατὸν ἔτη.

ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΚΑΙ ΤΗΣ ΔΙΑΦΟΡΑΣ τῶν ὑποθέσεων.



ΙΝα δὲ ἔτι μᾶλλον εὐκατανόητος γένητε ἡ γεγενημένη αὐτῷ σύμφωνος τοῖς φαινομένοις τῶν ὑποθέσεων ἐφαρμογὴ, νοείσθω ὑπὸ τῆς τῶν δ ἀστέρων ὑποθέσεως, λέγω δὴ κρόνου ζῆνος ἀρέως καὶ ἀφροδίτης, ἔκκεντρος ὁ αβγ, περὶ κέντρον τὸ δ, ἡ δὲ διὰ τοῦ κέντρου τοῦ ζωδιακοῦ καὶ τοῦ δ διάμετρος ἡ αδγ, ἐφ' ἧς τὸ τοῦ ζωδιακοῦ κέντρον ἔστω τὸ ε, τὸ αὐτὸ ὂν καὶ ὑπὸ τούτων τῷ κατὰ τῆς ὄψιν, διὰ τὸ σημείου λόγον ἔχειν πρὸς αἴσθησιν τῆς γῆν καὶ πρὸς τὰ τούτων ἀποστήματα αἰσθητῶν παραλλάξεων μὴ καταλαμβανομένων ἐπ' αὐτῶν. ὥστε

τὸ μὲν

ὁ ΜΑ γίνεσθαι ὁ ἀπογειότατον, τοῦ ἐκκέντρου σημεῖον, ὁ δὲ Γ ὁ περιγειότατον. Καὶ τμηθείσης τῆς δε δίχα κατὰ τὸ Ζ, γεγράφθω κέντρῳ τῷ Ζ καὶ διαστήματι ἴσῳ τῷ δα ἐκκέντρος κύκλος ὁ ηθκ. ἵνα δηλονότι ἴσος ἡ τῷ αβγ, καθάπερ ἔλεγε, Καὶ τὰ κέντρα δὲ τοῦ ἐπικύκλου φερόμενα ὠθεῖ ἴσων ΜΑ ἐκκέντρων τοῖς τὰς ἀνωμαλίας ποιοῦσιν ἐκκέντροις. καὶ κέντρῳ τῷ θ, γεγράφθω ἐπίκυκλος ὁ λμ. Καὶ ἐπεζεύχθω ἡ λθμα. Ὑποτίθετο δὲ οὖν λελοξῶσθαι τὰ ἐπίπεδα τοῦ ἐκκέντρου πρὸς τὸ τοῦ διὰ μέσων τοῦ ζωδίου. Καὶ ἔτι τὰ τοῦ ἐπικύκλου πρὸς τὰ τοῦ ἐκκέντρου διὰ τῆς ἐφαρμογὴν τοῦ κατὰ πλάτος αὐτῶν καταλήψεων, ἀκολούθως τοῖς εἰς τὸ ιγ βιβλίον εἰς ἴσον τὸ μέρος αὐτῷ ἀποδεχθησομένοις πρὸς δὲ τὰς κατὰ μῆκος καταλήψεις ὡς ἐν ἑνὶ ἐπιπέδῳ τοῦ τοῦ διὰ μέσων τοῦ ζωδίου αὐτῷ παραλαμβάνοντο, οἵ τε ἐκκέντροι καὶ οἱ ἐπίκυκλοι, μηδεμιᾶς ἀξιολόγου διαφορᾶς τῇ κατὰ μῆκος παρόδῳ προσγινομένης, ἐκ τῆς ὠθεῖ τοσοῦτον ἐγκλίσεως, ἡλίκαι ἀναφονήσονται. καθάπερ πάλιν ἐν τῷ ιγ βιβλίῳ δείκνυσι τῆς παρὰ τῆς ἔγκλισιν τοῦ εἰρημένου ἐπιπέδου γινομένην κατὰ μῆκος διαφορὰν μὴ μείζονα οὖσαν ἑξηκοστῶν β. ἔπειτα ὁ ἐπίπεδον ὅλον ἐν ᾧ ἐστὶ ἐκκέντρους



κύκλους γράφει ὑποτίθετο περιάγεσθαι εἰς ἑπόμενα τοῦ ζωδίου περὶ τὸ τοῦ ζωδιακοῦ κέντρον μετὰ βιβάζοντά τε ἀπόγεια καὶ τὰ περίγεια τοῦ εἰρημένου ἐκκέντρου, κατὰ ρ ἔτη. τὸ δὲ λμ ἐπίκυκλον κινούμενον περιάγεσθαι ὑπὸ τῆς δθ εὐθείας περὶ τὸ δ κέντρον ὁμαλῶς εἰς τὰ ἑπόμενα τοῦ ζωδίου ἀκολούθως τῇ ἐκτεθειμένῃ τοῦ μήκους ὁμαλῇ κινήσει, τῆς λθμ διαμέτρου τῆς αὐτὴν θέσιν συντηρούσης τῇ περιαγούσῃ εὐθείᾳ τὸ ἐπίκυκλον τῇ δμθ, Καὶ νεύειν, ὅπερ ἄν τις καὶ ἀκόλουθον ἡγήσαιτο πρὸς τὸ κέντρον τῆς περιαγωγῆς, πρὸς ὃ Καὶ ἐν τοῖς ἴσοις χρόνοις ἴσαι γωνίαι τῆς ὁμαλῆς κινήσεως ἀπολαμβάνοντο. Καὶ διατοῦτο τῆς δμθ κατὰ τοῦ λ μ σημείων τοῦ ἐπικύκλου πάντοτε πίπτειν. Καὶ μὴ κατ' ἄλλων καὶ ἄλλων, καθάπερ ὠθεῖ τῆς σελήνης διὰ τῆς τοῦ ἐπικύκλου πρόσνευσιν παρακολουθεῖ. καὶ τὸ θ κέντρον φέρεσθαι πάντοτε ὠθεῖ τοῦ ηθκ ἐκκέντρου, Καὶ τὸ ἀστέρα δὲ αὐτὸν κινούμενον πάλιν ὁμαλῶς ὠθεῖ τοῦ λμ ἐπικύκλου, τῆς πρὸς τῆς ὠθεῖ τὸ δ νεύουσαν διάμετρον ποιούμενον τὰς ἀποκαταστάσεις, τουτέστι πρὸς τὰ λ μ σημεῖα ἐπ' εὐθείας πάντοτε τῷ δ τυγχάνοντα ποιούμενον τὰς ἀποκαταστάσεις ἀκολούθως τῇ μέσῃ περιόδῳ τῆς πρὸς τὸ ἥλιον ἀνωμαλίας. ἐπεὶ ἐκ τῆς ἐπικύκλου τοῦ ἀστέρος μέσης περιόδου τουτέστιν ὁμαλῆς πρόδου, ἡ παρὰ τὰς πρὸς τὸ ἥλιον ἀποστάσεις ἀνωμαλία ὡς ἔφαμεν ἀποτελεῖτο, ἀντὶ οὖν τοῦ εἰπεῖν καὶ τὸ ἀστέρα δὲ αὐτὸν ποιούμενον τὰς ἀποκαταστάσεις ἀκολούθως τῇ ἑκάστου ἐκτεθειμένῃ ὠθεῖ τοῦ τῆς ὁμαλῆς κινήσεως παρόδῳ τῆς ἀνωμαλίας ἡμερησίᾳ παρόδῳ, φησὶν ἀκολούθως τῇ μέσῃ περιόδῳ τῆς πρὸς τὸ ἥλιον ἀνωμαλίας. Τὸ δὲ ὠθεῖ τοῦ τοῦ ἑρμοῦ τῆς ὑποθέσεως ἴδιον λάβοιμεν ἂν ὑπ' ὄψιν οὕτως. Τὰ δὲ ὠθεῖ τῆς ὑποθέσεως τοῦ τοῦ ἑρμοῦ αὐτῷ εἰρημένα, γένοιτ' ἂν ἡμῖν εὐκατανόητα, τὸ τρόπον ἰδόντων. ἔστω γὰρ ὁ ΜΑ τῆς ἀνωμαλίας ἔκκεντρος ὁ αβγ, περὶ κέντρον τὸ δ, περὶ ὃ ὁμαλῶς ὁ ἐπίκυκλος ἅμα, τῇ περιαγούσᾳ αὐτὸν εὐθείᾳ τῆς εἰς τὰ ἑπόμενα μετάβασιν ποιεῖται. ἡ δὲ διὰ τούτου διάμετρος καὶ τοῦ κέντρου τοῦ ζωδιακοῦ, ἔστω τὸ ε. Καὶ κείσθω τῇ δε ὡς πρὸς τὰ ἀπόγεια ἴση ἡ δζ. τοῦ οὖν περὶ τῆς ὑπόθεσιν τοῦ ἄλλων δ ἀστέρων τῶν αὐτῶν καὶ ἐνταῦθα συμβαινόντων, τουτέστιν ὅλου τε τοῦ ἐπιπέδου περὶ τὸ ε κέντρον εἰς τὰ ἑπόμενα τῶν ζωδίων.



τῶν ζδ δε εὐθειῶν. ὥστε τὸ γραφόμενον ὑπὸ τῆς εἰς τὰ προηγούμενα περιαγωγῆς τοῦ π κυκλίσκου, κέντρῳ τοῦ ζ ἀφοριζέσθω, καὶ ὑπὸ τοῦ δ κέντρου τοῦ πρώτου καὶ μένοντος ἐκκέντρου. ἔτι δὲ μᾶλλον κατάδηλα ἡμῖν γενήσετο τὰ οὕτω περὶ τοῦ ὑποθέσεων αὐτῷ εἰρημένα, ἐκ τῶν καθ' ἕνα ἕκαστον τοῦ ἀστέρων περὶ τὰς ὁμαλὰς αὐτῶν κινήσεις καταλαμβανομένων περὶ τῆς ἀνωμαλίαν διαφορῶν ἀκολούθως τῇ πρὸς τὰ φαινόμενα συμφωνίᾳ, ἐν οἷς καὶ τὰ κινήσαντά πως αὐτὸν πρὸς τὰς τοιαύτας τοῦ ὑποθέσεων ἐφαρμογὰς, ἀκόλουθα τούτοις φαίνετο. προλη-

